ПРАВОСЛАВНЫЙ

ПАЛЕСТИНСКІЙ СБОРНИКЪ

57-й ВЫПУСКЪ

ИЗДАНІЕ
ИМПЕРАТОРСКАГО ПРАВОСЛАВНАГО ПАЛЕСТИНСКАГО
ОБЩЕСТВА

С.-ПЕТЕРБУРГЪ
1907

ПРАВОСЛАВНЫЙ ПАЛЕСТИНСКІЙ СБОРНИКЪ

Томъ XIX

ВЫПУСКЪ ТРЕТІЙ

ИЗДАНІЕ
ИМПЕРАТОРСКАГО ПРАВОСЛАВНАГО ПАЛЕСТИНСКАГО
ОБЩЕСТВА

С.-ПЕТЕРБУРГЪ
Типографія В. Ѳ. Киршбаума
1907.

ΣΥΛΛΟΓΗ

ΠΑΛΑΙΣΤΙΝΗΣ ΚΑΙ ΣΥΡΙΑΚΗΣ

ΑΓΙΟΛΟΓΙΑΣ

ΕΚΔΙΔΟΜΕΝΗ

ὑπὸ

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΥ-ΚΕΡΑΜΕΩΣ

καὶ συνοδευομένη μετὰ ῥωσσικῆς μεταφράσεως

Β. ΛΑΤΥΣΣΕΒΟΥ.

ΤΕΥΧΟΣ ΠΡΩΤΟΝ.

СБОРНИКЪ

ПАЛЕСТИНСКОЙ и СИРІЙСКОЙ

АГІОЛОГІИ

ИЗДАВАЕМЫЙ

Ае. Ив. Пападопуло-Керамевсомъ

СЪ РУССКИМЪ ПЕРЕВОДОМЪ

В. В. Латышева.

ВЫПУСКЪ ПЕРВЫЙ.

ПРЕДИСЛОВІЕ.

Недостатокъ топографическихъ и историческихъ свѣдѣній о палестинскихъ и сирійскихъ городахъ и селеніяхъ въ извѣстныхъ намъ произведеніяхъ древнихъ греческихъ авторовъ давно уже побудилъ Императорское Православное Палестинское Общество обратить вниманіе и на тѣ народные греческіе агіологическіе тексты христіанской эпохи, которые обычно называются синаксарями, мученичествами и житіями. Эти тексты, при всемъ ихъ многословіи, обыкновенно содержатъ въ себѣ столь подробныя свѣдѣнія топографическаго или историческаго характера, что представляютъ какъ бы вѣрные памятники данныхъ мѣстъ, или даже сокровищницы преданій ихъ старинныхъ обитателей. Впрочемъ, извѣстно и вниманіе, повсюду обращенное въ теченіе послѣдняго тридцатилѣтія на агіологическіе памятники, и почерпаемый изъ нихъ изобильный матеріалъ разнообразнаго интереса. Понятно, что и наше Общество не могло въ извѣстной мѣрѣ не принять участія въ ихъ изученіи, издавая по мѣрѣ возможности представлявшіеся ему греческіе агіологическіе тексты, имѣющіе отношеніе къ Палестинѣ [1]. Конечно, слѣдовало бы предпринять по отношенію къ этимъ текстамъ что-нибудь цѣльное, напр., системати-

[1] См. *Правосл. Палест. Сборникъ*, вып. 17, 32 и 34. Ἀνάλεκτα Ἱεροσολυμ. Σταχυολογίας, т.т. 1, 4 и 5.

ческое собраніе ихъ по опредѣленной программѣ и критическое изданіе на основаніи если не всѣхъ, то, по крайней мѣрѣ, лучшихъ рукописей. Но такое предпріятіе, понятно, требуетъ долговременныхъ подготовительныхъ работъ и расходовъ на поѣздки. Поэтому не безполезна и постепенная подготовка къ такому предпріятію путемъ собиранія и тщательнаго по возможности изданія болѣе доступныхъ текстовъ; ибо подобное собираніе, хотя бы и безъ опредѣленной программы и безъ удовлетворенія строгихъ требованій критики, во всякомъ случаѣ принесетъ пользу послѣдующимъ дѣятелямъ, какъ пособіе къ составленію желательнаго систематическаго Corpus'a Палестинской и Сирійской агіологіи. Съ этою цѣлью издается настоящій первый выпускъ, заключающій въ себѣ бывшіе у насъ подъ руками списки различныхъ агіологическихъ житій и мученичествъ.

Тексты этого выпуска, числомъ 12, написаны въ разныя времена. Изъ нихъ девять издаются нынѣ впервые, а остальные три были уже изданы раньше, но дурно, неполно и въ трудно доступныхъ сборникахъ.

Первый текстъ (греч. стр. 1—41, русск. 1—48) заключаетъ въ себѣ сказаніе о нападеніи Арабовъ на лавру преподобнаго Савы и произведенномъ ими избіеніи значительнаго числа монаховъ лавры. Нападеніе случилось въ VIII вѣкѣ, именно въ 797 году. Этому событію, являющемуся историческимъ свидѣтельствомъ мусульманскаго фанатизма противъ христіанства и борьбы монаховъ въ пустынномъ мѣстѣ за спасеніе важнаго для христіанъ святого мѣста старинной и извѣстной лавры преподобнаго Савы, православная церковь справедливо опредѣлила особую память въ своей еортоло-

гіи. Нынѣ эта память совершается 20-го марта [1], а въ старину, какъ свидѣтельствуютъ старинные списки греческаго Пролога, совершалась 19-го марта [2]. Авторъ нашего текста не названъ по имени, но такъ какъ въ § 50 онъ сообщаетъ, что кромѣ этого сказанія составилъ и пѣснопѣнія въ честь избіенныхъ отцовъ святосавитовъ, то не остается сомнѣнія, что авторомъ сказанія былъ извѣстный пѣснописецъ Стефанъ Саваитъ. Ибо дѣйствительно его произведеніемъ является единственный извѣстный стихотворный канонъ въ честь отцовъ святосавитовъ, находящійся какъ въ греческой, такъ въ славянской служебной минеѣ 8-го марта. Признаніемъ Стефана Саваита за автора нашего сказанія мы обязаны Болландистамъ, первымъ его издателямъ, смѣло поставившимъ имя Стефана и въ заголовкѣ латинскаго перевода [3]. Имъ же принадлежитъ и опредѣленіе года (797) нападенія Арабовъ на лавру, такъ какъ они угадали, что въ § 2 годъ обозначенъ по александрійской системѣ [4]. Греческій текстъ изданъ Болландистами ex codice membraneo MS. Petri Seguierii cancellarii Franciae. Этотъ кодексъ впослѣдствіи перешелъ во владѣніе Coislin'я, а нынѣ находится въ Парижской Bibliothèque Nationale [5]. Другой списокъ изъ какой-нибудь другой рукописи доселѣ не извѣстенъ. По-

[1] См. Νικοδήμου Ἁγιορείτου Συναξαριστὴς τῶν δώδεκα μηνῶν τοῦ ἐνιαυτοῦ. Ἀθήνησι 1868 (изд. Филадельфевса), т. II, стр. 45.—К. Х. Δουκάκη Μέγας Συναξαριστὴς ἤτοι χαλκηδών. Ἐν Ἀθήναις 1891, стр. 324—326.—Сергія Полный Мѣсяцесловъ Востока. Изд. 2. Владиміръ 1901, т. II, стр. 79.

[2] См. Hippolyte Delehaye, Synaxarium Ecclesiæ Constantinopolitanæ. Bruxellis 1902, стр. 548.

[3] Acta sanctorum. Martii tomus III. Antverp. 1568, стр. 166—168.

[4] Тамъ же, стр. 166.

[5] B. de Montfaucon, Bibliotheca Coisliniana, olim Segueriana. Parisiis 1715, стр. 416. № 303.—H. Omont, Inventaire sommaire des manuscrits grecs de la Bibliothèque Nationale. Paris 1886—1898, т. 3, стр, 175.

этому и мы удовольствовались единственнымъ парижскимъ спискомъ, выписавъ сюда, благодаря посредству Императорскаго Палестинскаго Общества, въ 1891 г. рукопись Coislin. 303 для снятія изъ нея копій нѣкоторыхъ другихъ текстовъ и для сличенія сказанія о преподобныхъ святосавитахъ съ изданіемъ Болландистовъ, во многихъ мѣстахъ ошибочнымъ и неточнымъ.

Изъ той же рукописи издается здѣсь и второй текстъ (греч. стр. 42—59, русск. 49—68), который повѣствуетъ о мученіи Арабами въ Дамаскѣ святого Иліи Новаго, изъ другихъ источниковъ не извѣстнаго, котораго память совершалась (вѣроятно только въ Дамаскѣ) 1-го февраля. И этотъ текстъ не встрѣчается въ другихъ рукописяхъ; раньше онъ былъ изданъ не вполнѣ, безъ первыхъ четырехъ параграфовъ (греч. стр. 42—45), Combefis'омъ въ рѣдчайшей и не имѣющейся въ петербургскихъ библіотекахъ книгѣ подъ заглавіемъ: Christi martyrum lecta trias. Parisiis 1666. При нашемъ изданіи мы имѣли подъ руками экземпляръ изъ библіотеки Брюссельскаго Общества Болландистовъ, которымъ и выражаемъ искреннюю благодарность за его одолженіе.

Третій текстъ (греч. стр. 60—74, русск. 69—85),—житіе преподобнаго Симеона Столпника (память 1-го сентября), составленное ученикомъ его Антониномъ и нынѣ впервые издаваемое,—взятъ изъ рукописи С.-Петербургской Императорской Публичной Библіотеки № 213, X вѣка. Онъ представляетъ интересные варіанты и дополненія къ житію св. Симеона, извѣстному по другимъ редакціямъ.

Изъ той же рукописи заимствованъ и четвертый текстъ (греч. стр. 75—85, русск. 86—96), мученичество св. Вавилы архіепископа Антіохійскаго, котораго память совершается 4-го сентября.

За нимъ поставлены (греч. стр. 86—114, русск. 97—130) двѣ разныя редакціи житія преподобнаго Мартиніана (память 13 февраля) изъ рукописей Московской синодальной библіотеки. Третью редакцію того же житія издалъ Paul Rabbow въ Wiener Studien XVII, 1896, стр. 253—293.

Далѣе слѣдуютъ два разныя житія преподобнаго Герасима отшельника. Редакція перваго (греч. стр. 115—123, русск. 131—140) въ видѣ «похвалы» основана на текстѣ, который мы издали въ другомъ мѣстѣ, приписавъ его по внутреннимъ основаніямъ Кириллу Скиѳопольскому [1]. Эта безъименная похвала раньше была издана весьма ошибочно Константиномъ Дукаки по не указанной и, слѣдовательно, неизвѣстной рукописи, въ которой авторомъ названъ св. Софроній Іерусалимскій [2]. Наше изданіе основано на рукописи 145 аѳонскаго Діонисіева монастыря [3], написанной въ 1619 г.; нашъ текстъ занимаетъ въ ней листы 156—161; къ сожалѣнію, конца текста здѣсь недостаетъ. Второй текстъ о препод. Герасимѣ съ именемъ монаха Космы ритора (греч. стр. 124—135, русск. 141—152), нынѣ впервые издаваемый, мы списали изъ codex Messanensis № MB′, 1308 года [4]. Другой копіи его мы не знаемъ. Въ этомъ текстѣ житіе препод. Герасима

---

[1] Ἀναλεκτα Ἱεροσολυμ. Σταχυολογίας, т. IV, стр. 175—184; т. V, стр. 396. Русскій переводъ И. В. Помяловскаго въ Палест. Патерикѣ, вып. 6. Спб. 1895.

[2] К. Δουκάκη, Μέγας συναξαριστὴς ἤτοι χαλκηδών, стр. 35—42. Ср. Κλεόπα Κοτσυλίδου, Αἱ περὶ τὸν Ἰορδάνην λαῦραι Καλαμῶνος καὶ Ἁγίου Γερασίμου καὶ οἱ βίοι τοῦ ἁγίου Γερασίμου καὶ Κυριακοῦ τοῦ Ἀναχωρητοῦ. Ἐν Ἱεροσολύμοις, 1902, стр. 12—23.

[3] См. S. Lambros, Catalogue of the greek manuscripts on mount Athos. Cambridge 1895—1900, т. I, стр. 344, № 3679.

[4] См. H. Delehaye, Catalogus codicum hagiogr. graec. monasterii S. Salvatoris nunc Bibliothecae Universit. Messanensis. Bruxelles 1904, стр. 46.

представляется болѣе подробнымъ и во многомъ отличнымъ отъ извѣстныхъ доселѣ преданій о немъ. Стоитъ отмѣтить, что, между тѣмъ какъ память его совершается 4 марта, текстъ изъ Діонисіева монастыря ставитъ 5-й день того же мѣсяца, а изъ codex Messanensis—8-й день. О памятяхъ препод. Герасима въ разные дни въ древнѣйшія времена см. свидѣтельства у архіепископа Сергія, Полный Мѣсяцесловъ[2], т. II, стр. 62.

Въ 1892 г. мы издали изъ cod. Coisl. 303 небольшой греческій текстъ, переведенный въ старыя времена съ сирійскаго языка и содержащій въ себѣ сказаніе о мученичествѣ въ Іерусалимѣ 60 мучениковъ во времена Льва Исаврянина [1]. Этотъ текстъ имѣетъ много общаго съ другимъ, очень пространнымъ текстомъ, нынѣ впервые здѣсь издаваемымъ подъ № девятымъ (греч. стр. 136—163, русск. 153—183), и нѣтъ сомнѣнія, что въ обоихъ текстахъ рѣчь идетъ объ одномъ и томъ же событіи по двумъ разнымъ іерусалимскимъ преданіямъ. Авторомъ второго текста называется не извѣстный намъ изъ другихъ источниковъ Симеонъ іеромонахъ и молчальникъ святой пещеры Четыредесятницы, т. е. извѣстнаго въ Палестинѣ Quarantaine. Этотъ текстъ мы впервые узнали изъ codex Messanensis № MB′ и списали изъ него въ С.-Петербургѣ, куда рукопись была прислана по нашей просьбѣ при любезномъ посредствѣ Императорскаго С.-Петербургскаго университета и министерства народнаго просвѣщенія. Этотъ списокъ переполненъ ошибками и, еслибы мы не имѣли передъ глазами другого, то было бы необходимо отмѣтить почти всѣ его погрѣшности. Къ счастію,

[1] Правосл. Палест. Сборникъ, вып. 34.

отъ этого скучнаго труда насъ избавилъ узнанный нами впослѣдствіи codex Vaticanus 2042, XII вѣка, съ котораго, при дружескомъ посредствѣ достопочтеннаго отца Aurelio Palmieri, мы получили фотографическіе снимки всѣхъ страницъ нашего текста. Такимъ образомъ наше настоящее изданіе составлено при помощи обѣихъ названныхъ рукописей, при чемъ мы отмѣтили изъ cod. Messanensis лишь немногія написанія, да и то не имѣющія важнаго значенія.

На десятомъ мѣстѣ (греч. стр. 164—172, русск. 184—192) мы поставили неизвѣстное доселѣ на греческомъ языкѣ мученичество святого Киріака архіепископа Іерусалимскаго, раньше бывшее извѣстнымъ по нѣкоторымъ отличающимся редакціямъ въ разныхъ переводахъ [1]. Мы списали и это сказаніе изъ cod. Messanensis № MB'.

Одиннадцатымъ (греч. стр. 173—185, русск. 193—208) поставлено похвальное слово Николая Кавасилы, писателя XIV вѣка, святому Андрею Новому, пострадавшему въ Іерусалимѣ, къ сожалѣнію, въ неизвѣстное время. Этотъ св. Андрей нынѣ впервые становится извѣстнымъ, такъ какъ имя его не встрѣчается ни въ одномъ служебномъ Прологѣ. Это произведеніе Кавасилы нынѣ издается въ первый разъ на основаніи единственнаго извѣстнаго доселѣ списка въ cod. Bibl. Nation. Paris. 1213 (ancien fonds), XV вѣка [2]. Копію «похвалы», по нашей просьбѣ, тщательно снялъ па-

---

[1] Сирійскій, коптскій и эѳіопскій переводы издалъ I. Guidi въ Revue de l'Orient Chrétien, 1904, стр. 79—95, 311—332. Deuxième série, t. I, 1906, стр. 337—351.

[2] Этотъ кодексъ подробно описалъ Сп. Ламбросъ. См. Νέος Ἑλληνομνήμων. Ἐν Ἀθήναις 1905, т. II, стр. 303—321. См. еще Catal. codicum hagiogr. graecorum Bibliothecae Nationalis Parisiensis. Bruxellis 1896, стр. 102.

рижскій профессоръ Henri Lebègue, которому выражаемъ и печатно нашу сердечную благодарность.

Двѣнадцатый и послѣдній текстъ (греч. стр. 186—216, русск. 209—243) представляетъ также впервые нынѣ издаваемое житіе преподобнаго Антонія Новаго, жившаго въ первой четверти IX вѣка [1]. Текстъ его изъ Вѣнскаго cod. hist. graecus 31 переписалъ для меня тамошній ученый діаконъ Софроній Евстратіадисъ, а лѣтомъ 1906 г. я самъ сличилъ половину его копіи съ рукописью въ Вѣнѣ. Другой списокъ доселѣ не извѣстенъ. Слѣдуетъ, однако, замѣтить, что кромѣ нашего текста существовалъ и другой, отличный отъ него, изъ котораго большой отрывокъ извѣстенъ намъ по аскетическому сборнику Павла Евергетина, жившаго въ XI вѣкѣ [2].

Въ заключеніе этой краткой библіографической замѣтки о собранныхъ въ настоящемъ выпускѣ агіологическихъ текстахъ считаю долгомъ выразить мою живѣйшую благодарность многоуважаемому академику В. В. Латышеву, который съ величайшею готовностью принялъ на себя трудъ перевода на русскій языкъ всѣхъ этихъ текстовъ и указалъ намъ на нѣкоторые недосмотры, вкравшіеся при ихъ печатаніи.

А. Пападопуло-Керамевсъ.

15 апрѣля 1907 года.

---

[1] Память его совершалась то 1 декабря, то 11 ноября. Ср. Никодима Συναξαρ. I, стр. 265; Сергія Полный Мѣс.², т. II, стр. 352 и 372.

[2] Συναγωγὴ τῶν θεοφθόγγων ῥημάτων καὶ διδασκαλιῶν τῶν θεοφόρων καὶ ἁγίων πατέρων. Ἐν Κ/πόλει 1861, т. I, стр. 116—118.

I.

ΕΞΗΓΗΣΙΣ

ΗΤΟΙ ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ

ΤΩΝ ΑΝΑΙΡΕΘΕΝΤΩΝ ΥΠΟ ΤΩΝ ΒΑΡΒΑΡΩΝ,

ΗΓΟΥΝ ΣΑΡΑΚΗΝΩΝ,

ΕΝ ΤΗ ΜΕΓΙΣΤΗ ΛΑΥΡΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΣΑΒΑ.

1. Ἄξιόν ἐστι τοὺς μηδέπω τῆς τῶν ἁμαρτημάτων ἰλύος ἑαυτοὺς προκαθάραντας, ἀλλ' ἔτι τοῖς πάθεσι τὸν νοῦν κεκρατημένους, σιγὴν ἀδιαλείπτως ἀσκεῖν καὶ κρυφίοις στεναγμοῖς τὸν ἐμβατεύοντα καρδίας καὶ νεφροὺς Χριστὸν ἱκετεύειν τῆς συνεχούσης δουλείας ἐλευθερίαν χαρίσασθαι καὶ μὴ ἐπιδιδόναι προπετῶς ἑαυτοὺς λόγων συγγραφαῖς εἰς ἐπήκοον ἐκκλησίας καὶ ἱερᾶς ὁμηγύρεως ὀφειλούσαις ἀναγινώσκεσθαι, δεδοικότας μάλιστα τὴν διὰ τοῦ προφήτου πρὸς τοὺς τοιούτους θείαν ἐπιτίμησιν φάσκουσαν· "τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεός, ἵνα τί σὺ ἐκδιηγεῖ τὰ δικαιώματά μου"; καὶ τὰ ἑξῆς. Εἰ δὲ πρὸς τούτοις τύχοι τις ὢν ἀμαθίᾳ συντεθραμμένος καὶ τῆς ἐν λόγοις παιδεύσεως ἄμοιρος, πόσον οὐκ ὀφλήσει τὸν γέλωτα τῆς θρασύτητος ἅμα καὶ τῆς ἀνοίας, κατ' ἄμφω συγγνώμης ἁπάσης ὑπάρχων ἐστερημένος; Ἀλλὰ τί δράσω τούτων μὲν ἁπάντων χρηματίζων ἀνάπλεως καὶ ἐν ἀδύτοις σιωπῆς κρύπτειν καὶ καθείργειν ἐμαυτὸν προθυμούμενος, ἱεροῦ δὲ ποιμένος ἐπιτάγματι κελευόμενος καὶ τούτῳ οἷα μάστιγι πνευματικῇ

E cod. Coislin. 303, s. X, fol. 99ᵇ—135ᵃ. Editio princeps: Acta Sanctorum. Martii tomus III in app. p. *1—*12.

8 ἐμβ. καρδίας καὶ νεφροὺς] cf. Ier. XVII, 10. XXI, 12. 12/14 Psalm. XLIX, 16. 13 σὺ] cod. σοὶ. 15 τῆς] cod. τοῖς. 16/17 cod. κατάμφω.

τὴν καρδίαν βαλλόμενος καὶ τῆς παρακοῆς τὸν κίνδυνον χαλεπὸν καὶ δυσφόρητον ὄντα φοβούμενος; Ἄμεινον οὖν καὶ λυσιτελέστερον τὸ χρῆμα τῆς εὐπειθείας ἡγούμενος, ἐμαυτὸν τῇ πατρικῇ κελεύσει ἐκδίδωμι, ταῖς τούτου προσευχαῖς θαρρῶν τε καὶ δυναμούμενος καὶ τὴν ἄνωθεν τοῦ πνεύματος χάριν ἐν ἀνοίξει τοῦ στόματος ἐπισπώμενος. Ὑπόμνημα καὶ διήγημα σύντομον ὁ πανάριστος οὑτοσὶ ποιμὴν ἐκθέσθαι Βασίλειος τῇ ἐμῇ βραχυλογίᾳ προσέταξε τῆς τῶν ἁλιτηρίων βαρβάρων εἰς τὴν ἡμετέραν ἤτοι τοῦ ἁγίου πατρὸς ἡμῶν Σάβα λαύραν ἐπιδρομῆς καὶ τῆς τῶν αὐτόθι μακαρίων καὶ ἀειμνήστων πατέρων γενομένης ὑπ' αὐτῶν ἀναιρέσεως ἐν τοῖς καθ' ἡμᾶς χρόνοις, ἧς αὐτόπτης καὶ θεατὴς γέγονα, εἷς ὢν τῶν τὴν εὐαγῆ ταύτην λαύραν, εἰ καὶ ἀνάξιος, οἰκούντων καὶ ἐν τῇ τούτων ὀλεθρίᾳ ἐφόδῳ καὶ προσβολῇ εὑρεθέντων τῷ τηνικαῦτα, ἵνα μὴ τηλικαύτη ἀρετὴ καὶ κατὰ Χριστὸν ἀνδρία καὶ γενναιότης τοιούτων ἀνδρῶν τῆς ἀληθείας ἀθλητῶν ἀμαυρωθείη τῷ χρόνῳ παραρρυεῖσα καὶ σιωπῇ καλυφθεῖσα καὶ λήθης ἀκλεοῦς βυθοῖς παραπεμφθεῖσα, δυναμένη πολλοὺς εἰς ἀρετὴν ἀλεῖψαι καὶ εἰς προθυμίαν ὑπομονῆς διεγεῖραι καὶ μίμησιν.

2. Ἐν ἔτει ἀπὸ μὲν κτίσεως κόσμου ἑξακισχιλιοστῷ διακοσιοστῷ ὀγδοηκοστῷ ὀγδόῳ κατὰ τὴν ἐκκλησιαστικὴν ἀκριβεστάτην ψηφοφορίαν, ἀπὸ δὲ τῆς κατὰ σάρκα γεννήσεως τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἑπτακοσιοστοῦ ὀγδοηκοστοῦ ὀγδόου, ἰνδικτιῶνος πέμπτης, ἱεραρχοῦντος τῆς τῶν Ἱεροσολυμιτῶν Ἐκκλησίας καὶ ἐπαρχίας τοῦ μακαριωτάτου Ἠλία τοῦ πατριάρχου, ἡγουμενεύοντος δὲ τῆς μεγίστης λαύρας τοῦ ὁσίου πατρὸς ἡμῶν Βασιλείου τοῦ ἀοιδίμου τε καὶ θεόφρονος, κατ' ἐνέργειαν τοῦ ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας ἐνεργοῦντος μισανθρώπου, μᾶλλον δὲ τοῦ ἀπ' ἀρχῆς ἀνθρωποκτόνου ἀρχεκάκου τε καὶ χαιρεκάκου δαίμονος, συνεκροτήθη ἐν τῇ τῶν Παλαιστινῶν χώρᾳ μέγας ἐμφύλιος πόλεμος τῶν Σαρακηνικῶν φυλῶν, ἐξ ἀρχῆς μὲν εὐτελεῖς τὰς ἀφορμὰς ἐσχηκώς· τῆς ἔριδος δὲ καὶ παμπονήρου φιλονεικίας πρὸς βραχὺ κατὰ μικρὸν ἐν αὐτοῖς ὡς δουλοπαθέσι

5 ἐν ἀνοίξει τοῦ στόματος] cf. Ephes. vi, 19. 23 cod. ἱεροσολυμητῶν. 27 τοῦ ἐν τοῖς υἱοῖς - μισανθρώπου] cf. Ephes. ii, 2. 28 cod. ἀρχαικάκου. 30 cod. σαρακηνίκων. 31 cod. πανπονήρου.

καὶ τῆς ἁμαρτίας ὑποσπόνδοις καὶ ὑποχειρίοις αὐξανομένης καὶ ὁπλιζομένης καὶ οἶκον οἴκῳ συναπτούσης καὶ συγγενείᾳ συγγένειαν προστιθείσης καὶ πατριᾷ πατριὰν ἐπαθροιζούσης καὶ συγκινούσης τοὺς ἀεὶ εἰς στάσιν ἑτοίμους καὶ φόνον πνέοντας, εἰς τὰς γενικωτάτας παρ' αὐτοῖς φυλὰς τὴν διχοστασίαν τε καὶ διχόνοιαν ἐκορύφωσεν, λέγω δὴ τοὺς τῆς Ἄγαρ καὶ Ἰσμαὴλ ἀπογόνους καὶ τοὺς ἐκ τοῦ παλαιοῦ Ἰεκτὰν τὸ γένος κατάγοντας.

3. Διχῇ τοίνυν στρατόπεδα συστησάμενοι, ἐν ἀμφοτέροις τοῦ τῆς κακίας εὑρετοῦ ὁμοίως στρατοπεδαρχοῦντος καὶ καθηγεμονεύοντος, ὁπόσας μὲν ἀταξίας καὶ ἀθεμιστίας ἐποίησαν, ὁπόσας δὲ πραίδας καὶ πραγμάτων ἁρπαγὰς εἰργάσαντο, πόσας δὲ αἱματεκχυσίας καὶ ἀνδροκτασίας ἀδίκους ἔδρασαν, πόσα τε χωρία, τοὺς οἰκήτορας λεηλατήσαντες καὶ φυγαδεύσαντες καὶ τὰ ἐνόντα παιδεύσαντες ἢ καὶ εὑρεθέντας φονεύσαντες, πυρὶ παραδόντες ἐρείπια καταλελοίπασιν, οὔτε τῆς ἐμῆς δυνάμεως οὔτε τοῦ παρόντος καιροῦ καὶ τῆς ἐν χερσὶν ὑποθέσεως κατὰ μέρος διηγήσασθαι. Διαφόρους γὰρ πολυανθρώπους πόλεις ἐρήμωσαν· καὶ γὰρ Ἐλευθερόπολιν παντελῶς ἀοίκητον ἔθηκαν, πᾶσαν ἐκπορθήσαντες· ἀλλὰ καὶ Ἀσκάλωνα καὶ Γάζαν καὶ Σαριφαίαν καὶ ἑτέρας πόλεις δεινῶς ἐληΐσαντο. Κατὰ δὲ τὰς λεωφόρους λῃσταρχίας καὶ συστροφὰς ἐφεδρεύειν κατατάξαντες, τοὺς παροδεύοντας γυμνοὺς καὶ ἀνείμονας, πάντα ἀφῃρημένους, πληγὰς δὲ καὶ τραύματα φοροῦντας ἀπέλυον, χάριν ὁμολογοῦντας ὅτι τοῦ θανάτου τὴν πεῖραν διέφυγον. Ἀφορμῆς δὲ λαβόμενοι οἱ τῆς πονηρίας ἀνάμεστοι, οὐκ ἀλλήλους μᾶλλον ἠμύνοντο καὶ ποινὰς εἰσεπράττοντο καὶ τὰς οἰκείας ἐξεδίκουν ἀπ' ἀλλήλων ἀδικίας ἢ ἐπηρείας, ἀλλ' ἕκαστος λοιπὸν τοῦ ἁρπάζειν τι τῶν αὐτῷ μὴ προσηκόντων ἐφρόντιζε καὶ ἐξ ἀλλοτρίων χρημάτων καὶ πραγμάτων πλοῦτον ἑαυτῷ ἀθροίζειν καὶ περιποιεῖσθαι ἔσπευδε καὶ ἠπείγετο· εἰ δέ πού τις αὐτῶν ἔτυχε μῆνιν πρός τινα καὶ μάλιστα τῶν χριστιανῶν κεκτημένος, ὡς εὐκαιρίας δραξάμενος εὐθὺς αὐτὸν τῆς ζωῆς βιαίως ἀπαλλάττειν καὶ τὰ ὑπάρχοντα αὐτοῦ σφετερίζεσθαι ἠγωνίζετο.

7 cod. ἰεκτὰν || Ἰεκτὰν] cf. Gen. x, 25, 26. 8 cod. διχὶ. 14 cod. ἐρήπια 17 ἐρήμωσαν] sic in cod. 20 cod. λεοφόρους. 21 cod. ἀνίμονας. 31 cod ἀπαλάττειν.

*

4. Ταύτης οὖν τῆς ἀκαταστασίας κρατούσης καὶ δίκην φλογὸς ἀφανιστικῆς πάντα κατανεμομένης, πολλοὶ τῶν ἐν ἀγροῖς καὶ κώμαις οἰκούντων πάντα τὰ ἑαυτῶν ἀφέντες καὶ δεύτερα τῆς ἰδίας θέμενοι σωτηρίας εἰς τὰς πολυάνδρους ὡς εἰς φυγαδευτηρίους κατέφυγον πόλεις· λοιπὸν δὲ καὶ οἱ τῶν ἄστεων οἰκήτορες, καὶ μάλιστα τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν πόλεως, τῶν ἰδίων ἕκαστος ἀμελήσαντες ἔργων καὶ ἐγχειρήσεων, τάφρους περὶ τὴν πόλιν ὤρυττον καὶ τείχη ἀνοικοδομεῖν ἐπειρῶντο καὶ πύλας ἐφήρμοζον, νύκτωρ τε καὶ μεθ' ἡμέραν φύλακας καὶ σκοποὺς ἔθεντο, τὰς ἀθρόους καὶ ἀπροόπτους ἐφόδους τῶν λῃστρικῶν ὑφορώμενοι συναγμάτων, φόβῳ πολλῷ συνεχόμενοι καὶ πόρθησιν δεινὴν ἐκδεχόμενοι· οὐχ ὑπολέλειπτο γὰρ τοῖς ἐρημικοῖς ἄνθραξι καὶ ἀνημέροις καὶ ὀρεσιτρόφοις θηρίοις ἐκείνοις, φημὶ δὴ τοῖς (τῆς) τοῦ Ἰεκτὰν φυλῆς, εἰς πᾶσαν τῆς Ὀρεινῆς τὴν περίχωρον χωρίον οὐδὲ τόπος ἀνεπίβατος. Ἤδη δὲ ἠπείλουν καὶ τῆς ἁγίας ἐπιβαίνειν πόλεως καὶ ταύτην λῃΐσασθαι καὶ τοῦ οἰκείου φοσσάτου ὀχύρωμα καταστήσασθαι· ὃ καὶ ποιεῖν ἐπειράθησαν, πανδημεὶ ταύτης καταστρατεύσαντες καὶ ὁμοθυμαδὸν καθορμήσαντες, καὶ δὴ ἂν τὰ τῆς προαιρέσεως ἐξετέλεσαν, εἰ μὴ θεία τις δύναμις τοῖς τῆς πόλεως φύλαξι, καίπερ ὀλιγοστοῖς οὖσιν, εἰς ἀντιπαράταξιν αὐτῶν προαπαντήσασι συμμαχήσασα τοὺς μιαροὺς παραδόξως ἥττησε καὶ κατῃσχυμμένους ἀπέστρεψεν καὶ τῆς ἐλπίδος παρέσφηλε, τῶν σεβασμίων τόπων καὶ τῆς Χριστοῦ Ἀναστάσεως μάλιστα φροντίσασα καὶ τῶν αὐτόθι οἰκούντων πιστῶν ἀνδρῶν τε καὶ γυναικῶν καὶ ἀσκητηρίων προνοησαμένη.

5. Μετέπειτα δὲ εἰς τὰ περὶ τὴν λαύραν τὴν παλαιὰν τοῦ ἁγίου πατρὸς ἡμῶν Χαρίτωνος μέρη ἐπισυναχθέντες καὶ δίκην ἀκρίδος καὶ θεηλάτου ὀργῆς πάσας τὰς κύκλῳ κώμας καταναλώσαντες (τί γὰρ ἤρκει τῇ παμφάγῳ αὐτῶν γνώμῃ, καὶ χιλιάδων ὄντων τῷ πλήθει;), ὕστερον καὶ αὐτὴν ἐπραίδευσαν τὴν εὐαγῆ λαύραν, τὴν παλαιάν φημι, μηδὲν τοῖς ἐκεῖσε πατράσι καταλιπόντες τὸ σύνολον, ἀλλὰ καὶ πάνδεινα κακὰ εἰς αὐτοὺς διαπραξάμενοι καὶ πολλοὺς αὐτῶν πολυειδέσι περιβαλόντες βασάνοις· ἐπὶ ἡμέρας

7 cod. ἐγχειρίσεων. 13 τῆς addidi. 14 cod. ὁρινῆς. 16 cod. φωσσάτου hic et deinceps. 17 cod. πανδημεί.

γὰρ ἱκανὰς ἐν αὐτῇ οἱ λυμεῶνες διέτριψαν. Ἠπείλουν δὲ μετ' ὀργῆς καὶ τοὺς ὀδόντας ὡς ἄγριοι σύες ἠκόνων καὶ ὡς λέοντες ἔβρυχον κατὰ τῆς ἡμετέρας λαύρας, καὶ αὐτὴν καταπιεῖν ὀρεγόμενοι· οὐδὲν γὰρ ἐν πάσῃ τῇ καθ' ἡμᾶς περιχώρῳ ἀπόρθητον αὐτοῖς μεμένηκεν, ἢ αὕτη μόνη ἡ λαύρα τοῦ ἁγίου πατρὸς ἡμῶν Σάβα ὡς ῥᾶξ ἐν ἀμπελῶνι μετὰ τρυγητόν, ἣν Χριστὸς ὁ θεός, τὴν κραταιὰν ὑπερεκτείνας παλάμην, παραδόξως ἐφύλαττεν εἰς ἔνδειξιν τῆς παντοδυνάμου αὐτοῦ καὶ ἀνικήτου δυνάμεως καὶ τῆς περὶ αὐτὴν ἐπιμελοῦς προνοίας καὶ ἀγαπήσεως. Τίς γάρ, ἀδελφοί, οὐκ ἐθαύμασε καὶ ἐξεπλάγη τὴν τοῦ θεοῦ σκέπην καὶ προμήθειαν, ὁρῶν τῶν θεοστυγῶν ἐκείνων τὸ ὀλέθριον ἄθροισμα μὴ μακρὰν ἡμῶν διακείμενον, ὁρμῶν τε καὶ ἀπειλοῦν ἡμῖν τὴν ἀπώλειαν, ἀοράτῳ δέ τινι καὶ θείᾳ ἰσχύι ἀντωθούμενον καὶ τῆς πρὸς ἡμᾶς ἐπελεύσεως κωλυόμενον;

6. Καὶ τὸ παράδοξον, ὅτι τινὲς ἐχθροὶ τοῦ Χριστοῦ καὶ τῆς Ἐκκλησίας ἔκπαλαι γείτονες ταύτης ὄντες καὶ κατακυριεῦσαι αὐτῆς καὶ τῶν αὐτῆς ἔκπαλαι διψῶντες καὶ ἐπαπειλούμενοι καὶ τοιαύτην καιροφυλακοῦντες περίστασιν καὶ στάσιν καὶ φύρσιν ἐπιτηροῦντες καὶ ἐκδεχόμενοι, καθ' ἣν, ἀδείας καὶ ἀφοβίας παρὰ τῆς ἐξουσίας εἰ δράξοιντο, ἔρημον παντελῶς καὶ ἀοίκητον θεῖναι τὴν λαύραν ἐπηγγέλλοντο· οὗτοι τοίνυν ἐν τῷ μεγάλῳ ἐκείνῳ φοσσάτῳ ὄντες ἐπίσημοι καὶ πρωτεύοντες, καθ' ἡμῶν ἀεὶ παροτρύνειν καὶ παροξύνειν τὸ πλῆθος οὐκ ἐπαύοντο, ἄγειν αὐτοὺς ἐφ' ἡμᾶς ἐπισπεύδοντες. Καὶ οὐδὲ οὕτως αὐτοῖς τὰ τῆς κακῆς καταθυμίως ἐξέβαινε προαιρέσεως, τοῦ θεοῦ ταῖς τοῦ παμμάκαρος ἡμῶν πατρὸς καὶ γνησίου αὐτοῦ θεράποντος Σάβα εὐχαῖς τὴν αὐτοῦ ποίμνην τειχίζοντος καὶ τὴν τῶν ἐναντίων βουλήν, ὡς πάλαι Ἀχιτόφελ, διασκεδάζοντος καὶ τὴν ἡμῶν φυλακὴν θαυματουργοῦντος ὡς βούλεται. Ἀμέλει ἐν μιᾷ τὸ ἀντίθεον σύναγμα οἱ προρρηθέντες ἡμῶν δυσμενεῖς ἐπισυρόμενοι, ἐπὶ τὴν λαύραν ἡμῶν θυμὸν πνέοντες ἐχώρουν, ὡς ὕστερόν τινες αὐτῶν διηγήσαντο, οὐχ ἁπλῶς πραιδεύειν αὐτήν, ἀλλὰ καὶ παντελεῖ ἐρημώσει ἐξαφανίσαι προθυμούμενοι. Ἀλλ' ἡ θεία δίκη καὶ ἡμῶν ἠρεμούντων καὶ ἀγνοούντων αὐτοῖς προσα-

12 cod. ὁρμόν. 26 cod. εὐχαῖσι. 27 cod. ἀχιτώφελ || Ἀχιτ. διασκεδάζοντος] cf. Reg. 2, xv, 32. xvii, 14.

πήντησε, τοὺς αὐτῶν ἀντιπάλους κατ' αὐτῶν ἐκστρατεύσασα· αἰσθόμενοι γὰρ οἱ τὴν πόλιν τηρεῖν τεταγμένοι στρατιῶται τὴν τούτων κίνησίν τε καὶ ὁρμησιν (καὶ γὰρ εἶχον κατασκόπους τὰ κατ' αὐτοὺς ἀκριβῶς μακρόθεν σκοποῦντας καὶ μηνύοντας), δόξαντες ὅτι τῇ πόλει ἐπελθεῖν ἐσκέψαντο, προαπήντησαν αὐτοῖς ἐν τοῖς κατὰ τὴν ἁγίαν Βηθλεὲμ μέρεσι, καὶ συμβαλόντες πολέμῳ πολλοὺς αὐτῶν ἀνεῖλον καὶ κατὰ τὴν ἔρημον φεύγοντας ἀπέκτειναν, καὶ οὕτως ἡ ἀντίθεος αὐτῶν ἀνετράπη σκέψις καὶ βούλευσις.

7. Ἄλλοτε σμῆνος καὶ πλῆθος βαρβάρων παγκάκιστον ὑπὸ τοῦ διαβόλου καὶ τῶν τῆς λαύρας ἐχθρῶν προβιβασθὲν συνεφώνησεν ὁρθρίσαι καθ' ἡμῶν καὶ τὴν λαύραν ληΐσασθαι· ἀλλ' ὁ ταύτης ὑπέρμαχος κύριος τὴν αὐτῶν πονηρὰν συμφωνίαν διέλυσεν, ὡς πάλαι τῶν ἐπὶ τοῦ Ἔβερ πυργοποιούντων τὴν σύμπνοιαν. Εὑρόντες γὰρ ἔν τινι κώμῃ κεράμους ἱκανοὺς οἴνου μεστοὺς ὑπὸ φρυγάνοις κεκρυμμένους, ἁπλήστως καὶ ἀμέτρως τοῦ ἀκράτου ἐμφορηθέντες, ἀλλήλους πολεμεῖν ὑπὸ τῆς μέθης ἐτράπησαν. καὶ οὕτως αὐτῶν ἡ βουλὴ διεσκορπίσθη καὶ ἄθροισις.

8. Τούτων οὖν οὕτως τελουμένων (καὶ γὰρ διεκράτησεν ἡ τοιαύτη ἀδιαφορία καὶ ἀταξία ἐπὶ μῆνας ἱκανούς), φόβου καὶ ἀπογνώσεως ἐπικειμένης καὶ τῶν ὁδῶν τῶν τῆς Ἁγίας Πόλεως πανταχόθεν σχεδὸν μὴ διοδευομένων, ἐν ποίῳ φόβῳ καὶ τρόμῳ καὶ ἀγωνίᾳ καὶ θλίψει καὶ προσδοκίᾳ δεινῶν καὶ κινδύνων χαλεπῶν καὶ ἀφορήτων οἴεσθε ἡμᾶς τὸν τοσοῦτον καιρόν, ἀγαπητοί, διάγειν, τῶν χρειῶν ἡμῶν μετὰ στενώσεως ἐκ τῆς Ἁγίας Πόλεως φερομένων καὶ κατὰ τὴν ὁδὸν πλειστάκις ἁρπαζομένων; Διήγομεν δὲ τὰ πολλὰ ἐπ' ἀκρωρείας τινὸς συνηγμένοι, συγκαιόμενοι τῷ καύσωνι τῆς ἡμέρας καὶ τῷ παγετῷ τῆς νυκτός, τὴν αἰφνίδιον τῶν δυσσεβῶν ὁρμὴν καὶ ἔφοδον προσδεχόμενοι, φήμας συνεχεῖς περὶ ταύτης ἀκουτιζόμενοι (μήκοθεν δέ πού τινας σκοπευτὰς ἐφύπερθεν ἐξοχῆς ὄρους καὶ περιωπῆς καταστήσαντες διά τινος σημείου τὴν τῶν βαρβάρων παρουσίαν εἰ θεαθείη καταμηνύειν ἡμῖν παρηγγεί-

6 Βηθλεὲμ] in margine codicis: Ἡ Βηθλεὲμ κεῖται πρὸς νότον τῆς Ἱερουσαλὴμ ἀπὸ μιλίων γ' καὶ ὀλίγον, ἡ δὲ λαύρα τοῦ ἁγίου Σάβα πρὸς ἀνατολὰς τῆς Βηθλεὲμ ἀπὸ μιλίων η', τοῦ ἁγίου Χαρίτωνος πρὸς ἄρκτον τῆς Βηθλεὲμ ἀπὸ μιλίων δύο. 13 Ἔβερ] cf. Gen. xi, 7—17. 15 cod. ἀπλεῖστως. 26 cod. ἐπακρορίας. 27 cod. αἰφνήδιον. 30 cod. περιοπῆς.

λαμεν), καθ' ἡμέραν καὶ μυριάκις πρὸ τοῦ ἑνὸς φυσικοῦ θανάτου τῷ φόβῳ καὶ τῇ τῶν αἰκισμῶν ἐλπίδι προαποθνήσκοντες, καὶ μάλιστα τὴν ἔχθραν καὶ δυσμένειαν τῶν προρρηθέντων δεινῶς ὑποπτεύοντες. Ποσάκις πληθύος αὐτῶν ἀπὸ Ἀραβίας ἢ καὶ ἀλλαχόθεν ἐπὶ τὸ μέγα αὐτῶν φοσσᾶτον δι' ἡμῶν παρερχομένης (καὶ γὰρ διαφόρως τοῦτο πεπόνθαμεν, κατὰ συστροφὰς συναγομένων αὐτῶν πανταχόθεν εἰς ἕνα χῶρον), εἶτα τῆς τούτων παρουσίας μηνυομένης ὑπὸ τῶν σκοπευτήρων καὶ ὡς ἐφ' ἡμᾶς καὶ δι' ἡμᾶς παραγενέσθαι ὑπονοουμένης, κρουσμάτων τε καὶ σημαντήρων τούτου ἕνεκα γινομένων, πρὸς τὸ συναχθῆναι πάντας τοὺς πατέρας ἐν τοῖς ἑαυτῶν κελλίοις ὄντας διεσπαρμένους, ὡς θανάτου παρουσίας μηνυτικὰ τοῦ ξύλου τὰ κρούσματα ἠχροώμεθα· πολλῷ δὲ πλέον ἡ τῶν βαρβάρων θέα, καθωπλισμένων καὶ ἱππέων πολλάκις προβάδην προσιόντων καὶ ἐγγιζόντων, ἐθορύβει καὶ ἐξετάρατεν καὶ τῷ φόβῳ διέλυεν· οἵτινες βρωμάτων τῶν ἡμετέρων κορεννύμενοι καὶ ἐφοδιαζόμενοι φονικῶς καὶ ληστρικῶς περιέβλεπον, τὴν ἐνυπάρχουσαν αὐτοῖς πρὸς ἡμᾶς πονηρὰν διάθεσιν διὰ τοῦ βλέμματος ὑποφαίνοντες· τοῦ θεοῦ δὲ ταῖς τοῦ ἁγίου πατρὸς ἡμῶν Σάβα προσευχαῖς αὐτοὺς ἀποτρέποντος ἐπορεύοντο.

9. Ἐν τούτοις χρόνου πολλοῦ διιππεύσαντος, ἐν ἀγωνίᾳ μὲν ἀμετρήτῳ οἱ πατέρες διῆγον καὶ φόβῳ συνείχοντο· εὐχαῖς δὲ καὶ δεήσεσι νυκτὸς καὶ ἡμέρας τῆς τοῦ θεοῦ φιλανθρωπίας ἐδέοντο τὸ συμφέρον ταῖς αὐτῶν ψυχαῖς καὶ εὐάρεστον αὐτῷ διαπράξασθαι. Οὐδεὶς μέντοι γε παρ' αὐτῶν μετέστη τοῦ ἰδίου ἀσκητηρίου, οὐδὲ τὴν λαύραν κατέλιπεν, καίπερ ἀδείας οὔσης αὐτοῖς ἀναχωρῆσαι καὶ διασωθῆναι εἰς τὰς πόλεις, εἴπερ ἐβούλοντο· ἀλλ' ὥσπερ ἐξ ἀρχῆς τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ καταλιπόντες ὅλους ἑαυτοὺς τῷ Χριστῷ ἀναθέμενοι αὐτῷ ἠκολούθησαν καὶ τὸν σταυρὸν ἄραντες καὶ ἑαυτοὺς τῷ κόσμῳ νεκρώσαντες ὑπ' αὐτοῦ εἰς ταύτην τὴν ἔρημον ὡδηγήθησαν, οὕτως καρτερεῖν καὶ παραμένειν καὶ φέρειν πάντα πειρασμὸν καὶ κίνδυνον ἐπερχόμενον αὐτοῖς διεγνώκεισαν, τοῦτο ἀλλήλοις παραινοῦντες καὶ ἀδελφικῶς ἐγκελευόμενοι, ὡς "Εἰ μὲν

13 cod. καθοπλισμένων. 14 cod. προβάδιν. 25 cod. κατέλειπεν. 27 cod. καταλειπόντες. 28 τον σταυρὸν ἄραντες] cf. Matth. xvi, 24. Marc. viii, 34. Luc. ix, 23.

θελήσοι ὁ Χριστός, ᾧ ἐνυμφεύθημεν καὶ δι' ὃν ταύτην οἰκοῦμεν τὴν ἔρημον, τὴν πατρίδα ἕκαστος ἑαυτοῦ καταλείψαντες, σῶσαι ἡμᾶς ἐκ χειρὸς ἀνόμου καὶ βαρβαρικῆς, δύναται πάντα ῥᾳδίως δυνάμενος· εἰ δὲ κελεύει παραδοῦναι ἡμᾶς ταῖς ἐκείνων χερσὶν ἐναποθανεῖν, πάντως ὡς ἐπιστάμενος τοῦτο κρεῖττον ὂν καὶ ὑψηλότερον παραχωρήσειεν. Δεξώμεθα οὖν τὰ παρὰ τοῦ θεοῦ ὡς συμφέροντα, καὶ μὴ φόβῳ βαρβάρων ἀλιτηρίων ἐπὶ τοὺς κοσμικοὺς θορύβους παλινοστήσωμεν, δειλίας πάθος αἴσχιστον νοσεῖν πᾶσιν ὑπόνοιαν παρεχόμενοι· ἐκελεύσθημεν γὰρ παρὰ τοῦ δεσπότου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μὴ φοβεῖσθαι ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. Ὡς ὡραῖον μὲν ἰδεῖν ἀπὸ τοῦ κόσμου ἀναχωροῦντας καὶ τῷ Χριστῷ ἀκολουθοῦντας εἰς τὰς ἐρήμους πορεύεσθαι, αἰσχρὸν δὲ καὶ δυσειδὲς καὶ ἐπονείδιστον τοὺς ἅπαξ ἀποξενωθέντας τοῦ κόσμου καὶ χρόνους οὐκ ὀλίγους ταῖς ἐρήμοις ἐναυλισθέντας ἐπὶ τὸν κόσμον χωρεῖν καὶ παλινδρομῆσαι διὰ φόβον ἀνθρώπινον. Μὴ καταγελάσῃ ἡμῖν ὁ κοινὸς ἐχθρὸς ὁρῶν ἡμᾶς παρὰ τῶν ὑπασπιστῶν αὐτοῦ ἐκδειματωθέντας καὶ ἐπὶ τὰς πόλεις φεύγοντάς τε καὶ τρέχοντας, ὁ πολλάκις παρ' ἡμῶν ἡττηθεὶς καὶ φυγαδευθεὶς καὶ ὡς κύων διωχθεὶς ἀναιδέστατος τῇ συμμαχίᾳ Χριστοῦ τοῦ παντάνακτος. Οὐκ ἔχομεν πόλεις τειχήρεις καὶ πεπυργωμένας, αἷς φρουρηθείημεν· ἀλλ' ἔχομεν ἀκατάλυτον τεῖχος τὸν Χριστόν, ᾧ συνεχῶς μελῳδεῖν παρὰ τοῦ Δαβὶδ μεμαθήκαμεν: Γενοῦ μοι εἰς θεὸν ὑπερασπιστὴν καὶ εἰς οἶκον καταφυγῆς καὶ τόπον ὀχυρὸν τοῦ σῶσαί με. Οὐκ ἔχομεν ἀλυσιδωτὸν θώρακα καὶ περικεφαλαίαν καὶ βυρσίνην ἀσπίδα, οἷς τὰ βέλη τῶν ὑπεναντίων διακρουσόμεθα· ἀλλ' ἔχομεν τὴν πανοπλίαν τοῦ πνεύματος, ἀγάπης καὶ ἐλπίδος θώρακα καὶ θυρεὸν πίστεως καὶ σωτήριον περικεφαλαίαν, οἷς περιφραχθείημεν. Οὐκ ἔχομεν φάλαγγα στρατιωτικὴν ἡμῶν προπολεμῆσαι, ἀλλὰ παρεμβαλεῖ ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων

5 cod. κρείττων ὤν. 8 cod. ἔσχιστον. 10/11 μὴ φοβεῖσθαι - ἀποκτεῖναι] cf. Matth. x, 28. 23/25 Γενοῦ - σῶσαί με] Psalm. xxx, 3. 25 cod. ἁλυσιδοτόν. 27 τὴν πανοπλίαν τοῦ πνεύματος] cf. Ephes. vi, 11, 13 || ἀγάπης - θώρακα] cf. Thes. 1, v, 8. 28 θυρεὸν - περικεφαλαίαν] cf. Ephes. vi, 16, 17. 30 παρεμβαλεῖ - ῥύσ. αὐτούς] Psalm. xxxiii, 8.

αὐτὸν καὶ ῥύσεται αὐτούς· ἡμῖν γὰρ καὶ τὸ ζῆν Χριστὸς καὶ τὸ ἀποθανεῖν κέρδος· οὐδὲ γὰρ φιλοζωΐας ἕνεκεν ἐν ταύτῃ τῇ ἐρήμῳ ηὐλίσθημεν. Τίνος χάριν ἐν τῇ ἀοικήτῳ ταύτῃ οἰκεῖν προαιρούμεθα; οὐκ εὔδηλον ὅτι διὰ Χριστόν; Ἐὰν οὖν ἐν αὐτῇ ἀναιρεθῶμεν, διὰ Χριστὸν ἀναιρούμεθα, δι' ὃν αὐτὴν οἰκεῖν ᾑρετισάμεθα· τί δὲ τοῦ διὰ Χριστὸν ἀποθανεῖν ἡδύτερον ἢ μακαριώτερον τοῦ διὰ τὴν πρὸς ἡμᾶς ἀποθανόντος ἀγάπην"; 5

10. Τοιούτοις λόγοις ἀλλήλους οἱ πατέρες παρακαλέσαντες καὶ παραθαρσύναντες, εἰλικρινῶς ἑαυτῶν τὰς ψυχὰς καὶ τὰ σώματα τῷ Χριστῷ ἀναθέμενοι, τῇ λαύρᾳ παρέμενον. Ἀλλὰ καὶ ἕτερος λογισμὸς εὐσεβὴς καὶ θεάρεστος προσκαρτερεῖν αὐτοὺς ἀμετακινήτως ἀνέπειθεν· ᾔδεισαν γὰρ ὡς οὐδὲν τοῖς ἀδίκως ἐχθραίνουσιν αὐτοῖς γείτοσιν ἐρασμιώτερον πέφυκε τοῦ ἐρημῶσαι καὶ καταστρέψαι τὴν λαύραν καὶ ταύτην ἰδεῖν ἀπὸ μοναχῶν ἀοίκητον· εἰ γὰρ ἤσθοντο κἂν πρὸς ὀλίγον ἀνακεχωρηκότων τῶν μοναχῶν, οὐδὲν ἂν μελλήσαντες προύργου παντὸς τήν τε ἐκκλησίαν κατέκαιον καὶ τὰ κελλία κατέλυον καὶ ἠδάφιζον καὶ ἀοίκητον εἰς τὸ παντελὲς τὸν τόπον τοῦ λοιποῦ ποιήσειν ἐσπούδαζον. Ὅπερ ἵνα μὴ γένηται, γενναίως οἱ γενναῖοι προσεκαρτέρουν τε καὶ προσέμενον, οὐχ ὡς κάλαμοι παντὶ ἀνέμῳ περιφερόμενοι, ἀλλ' ὡς πύργοι ἐπὶ πέτρας ἀρραγοῦς τεθεμελιωμένοι· οἳ καὶ χειμάρρων πειρασμῶν ἐπιρρεόντων καὶ πνευμάτων πονηρῶν καταιγίδος προσβαλούσης καὶ προσρηγνυμένης ἀκλινεῖς καὶ ἀσάλευτοι μεμενήκασιν, οὐχ ὑπὲρ λίθων καὶ ξύλων ἁπλῶς προκινδυνεύοντες, ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ Χριστοῦ, τοῦ ἐν τῷ τόπῳ τούτῳ ἔκπαλαι καὶ νῦν δοξαζομένου, εἰλικρινῶς τε καὶ εὐαγῶς εὐαρεστουμένου καὶ λατρευομένου ἐν πνεύματι καὶ ἀληθείᾳ. Τίς γὰρ οὐκ οἶδεν, ὅτι οὐ τοσοῦτον οἱ λιμένες τοὺς ἐν τῷ πελάγει κινδυνεύοντας ὑποδεχόμενοι σῴζουσιν, ὅσον αὕτη ἡ περιφανὴς καὶ θεόδμητος λαύρα τοὺς ἐν τῇ βιωτικῇ θαλάσσῃ νοητῶς ναυαγοῦντας ἐγκολπουμένη τοῦ ψυχικοῦ ῥύεται θανάτου, καὶ ζωγρεῖ λοιπὸν πρὸς ζωὴν αὐτοὺς τῷ Χριστῷ δι' ἐναρέτου βίου καὶ πολιτείας ἀκριβοῦς παριστῶσα καὶ παραπέμπουσα; Τῆς οὖν τῶν ψυχῶν σωτηρίας τῶν ἐν αὐτῇ νῦν σῳζομένων καὶ τῶν

1/2 ἡμῖν - κέρδος] Philip. 1, 21. 5 cod. ᾑρετησάμεθα. 12 cod. εἶδεισαν. 21 cod. χειμάρων.

ὁσημέραι καὶ εἰσαεὶ τῷ θεῷ σωθησομένων οἱ γενναῖοι προκινδυνεύειν δίκαιον καὶ ἐποφειλόμενον ὑπάρχειν κεκρίκασιν, ὑπὲρ ἧς ψυχῶν σωτηρίας καὶ αὐτὸς ὁ Χριστὸς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ἀποθανεῖν εἵλετο· οὗ κατ' ἴχνος ἑπόμενοι οἱ Χριστοῦ μιμηταὶ καὶ θεράποντες, καὶ αὐτοὶ ἀντὶ τῆς προκειμένης αὐτοῖς διὰ τῆς φυγῆς τῶν κινδύνων ἀπαλλαγῆς πᾶν ὁτιοῦν δεινὸν ἐπερχόμενον παθεῖν καὶ ὑπομεῖναι προῄρηνται.

11. Ὦ στερροῦ καὶ ὑψηλοῦ καὶ περιεσκεμμένου καὶ θεοσόφου φρονήματος· ὡ λογισμοῦ εὐσεβοῦς καὶ θεοφιλοῦς καὶ χριστόφρονος. Πῶς ὑμᾶς ἀξίως ὑμνήσω, πατέρες πανόλβιοι, τούς τε διὰ Χριστὸν ἀναιρεθέντας καὶ πρὸς αὐτὸν διὰ θανάτου μεταβεβηκότας. τούς τε ἔτι ζῶντας ἐν σαρκί, τῇ δὲ προαιρέσει καὶ προθυμίᾳ τῆς ψυχῆς μαρτυρήσαντας; Οὓς ἰδὼν ὁ τὰς κινήσεις τῶν καρδιῶν θεώμενος καὶ τῶν προαιρέσεων ἐξεταστὴς κύριος τοιαύτην διάθεσιν κεκτημένους θεάρεστον, καὶ τῆς προθέσεως ἀποδεξάμενος καὶ ἐπαινέσας καὶ τοῖς ἄθλοις αὐτοῖς καὶ τῇ πείρᾳ τῶν αἰκισμῶν ἐστεφάνωσεν. Ἐπειδὴ γὰρ ἱκανῶς αὐτοὺς χειρὶ κρυφαίᾳ καὶ κραταιᾷ καὶ βραχίονι ὑψηλῷ ὁ παντεπόπτης Χριστὸς ἐπὶ πλεῖστον ἀπημάντους καὶ ἀσινεῖς ἐν μέσοις κινδύνοις παρ' ἐλπίδας ἐφύλαξεν, ὥστε πάντας ἐκπλαγῆναι τὴν τοσαύτην παράδοξον τοῦ θεοῦ σκέπην τε καὶ ἀντίληψιν, ἵνα μὴ καὶ περὶ τούτων εἴπῃ ὁ ἐχθρός, ὅπερ καὶ περὶ τοῦ δικαίου Ἰὼβ εἰπεῖν τετόλμηκε· "μὴ δωρεὰν" φησίν "Ἰὼβ σέβεται τὸν θεόν; οὐ σὺ περιέφραξας τὰ ἔσω αὐτοῦ καὶ τὰ ἔξω; ἀλλ' ἀπόστειλον τὴν χεῖρά σου καὶ ἅψαι πάντων ὧν ἔχει, καὶ τῶν σαρκῶν καὶ ὀστέων αὐτοῦ· ἢ μὴν εἰς πρόσωπόν σε εὐλογήσει"· τάχα δέ που καὶ περὶ τούτων τὰ αὐτὰ ὁ πειραστὴς εἴρηκεν, ἐπεὶ καὶ τὸν Πέτρον ἐξητήσατο· ἵνα οὖν πάσης προφάσεως ἀφορμὴν τῷ ἐχθρῷ ὁ Χριστὸς περιέλῃ καὶ ἔργῳ διδάξῃ τοὺς αὐτοῦ ἀθλητὰς ἐν τοῖς δεινοῖς ἀηττήτους ⟨εἶναι⟩ καὶ νικηφόρους, δέδωκεν αὐτῷ ἐξουσίαν καθὼς βούλεται γυμνάσαι τοὺς ἀσκητάς.

6 cod. ὅτι οὖν. 13/14 cod. θεόμενος. 17 χειρὶ κρυφαίᾳ] cf. Exod. xvii, 16 || κραταιᾷ κ. βραχ. ὑψηλῷ] cf. Psalm. cxxxv, 12. Ezech. xx, 33. Deut. vii, 19. 19 cod. παρελπίδας. 22/26 μὴ δωρεὰν - εὐλογήσει] cf. Iob. i, 9–11. 25 ἢ] cod. εἰ. 27 Πέτρον ἐξητήσατο] cf. Luc. xxii, 31. 29 εἶναι addidi.

12. Ὁ δὲ ταύτην περιχαρῶς δεδεγμένος τὴν αἴτησιν, δρομαίως τοὺς ἑαυτοῦ ὑπασπιστὰς καὶ θεράποντας ἐπεζήτει, δι' ὧν καὶ πρώην τὰ ἀνήκεστα, καθὼς προείρηται, δέδρακε, φημὶ δὴ τοὺς βαρβάρους· τοὺς δὲ εὗρεν διασπαρέντας, καὶ γὰρ αὐτοὺς φόβος, ἐξουσιαστικῆς παρουσίας μηνυθείσης, ἐσκόρπισεν. Ὅμως συμμορίαν τινὰ κακίστην εὑρὼν εὐαρίθμητον καὶ διὰ τῶν ἔχθρᾳ προκατειλημμένων καὶ μῖσος ἄδικον πρὸς τὴν λαύραν ἡμῶν ἐπανηρημένων γειτόνων, ὧν προεμνήσθημεν, ἄλλοθεν ἄλλον συναγαγών, καὶ συλλεξάμενος θεομάχον σύστημα τὸν ἑξηκοστὸν ἀριθμὸν ὑπερβαῖνον, τόξοις καθωπλισμένον ἡμῖν περιέστησεν. Τούτων οὖν μήκοθεν ἐρχομένων, τινὲς τῶν ἀδελφῶν αἰσθόμενοι διὰ κραυγῶν καὶ σημαντήρων τὴν τούτων ἐδήλωσαν ἄφιξιν. Ἡμεῖς δέ, καίπερ ἐλπίσαντες ἀπηλλάχθαι τῶν δεινῶν (καὶ γὰρ προακηκόαμεν τὸν τῶν βαρβαρικῶν συναγμάτων σκορπισμὸν καὶ διάλυσιν), ἠρεμεῖν τε λοιπὸν τῇ ἁγίᾳ Τεσσαρακοστῇ προσδοκήσαντες, ἐπειδὴ καὶ παρεισβᾶσα ἐτύγχανεν, ὅμως τῶν μὴ κατὰ καιρὸν κρουσμάτων καὶ κραυγῶν τὸν κτύπον ἐνηχηθέντες δρομαῖοι ἐπὶ τὸν συνήθη λόφον κατηπ[illegible]χθημεν· τρισκαιδεκάτη ἦν τοῦ Μαρτίου μηνός, ἡμέρα Δευτέρα, περὶ τὴν τοῦ ἡλίου ἀνατολήν. Τούτους δὲ μακρόθεν ἐρχομένους ἑωρακότες καὶ πρὸς πόλεμον ηὐτρεπισμένους ἐπεγνωκότες (καὶ γὰρ ξίφος καὶ τόξα ἐκτεταμένα ἐπετείνοντο), λοιπὸν πρὸ τοῦ προσπελάσαι αὐτοὺς τῷ φόβῳ διελύθημεν.

13. Εἰς δύο δὲ τάξεις ἑαυτοὺς οἱ φόνιοι καταμερίσαντες διεσκέπτοντο· προσεγγίσασι δέ, τινὲς τῶν πατέρων τολμήσαντες προσαπήντησαν, παρακλητικοῖς αὐτοὺς τιθασεύειν λόγοις πειρώμενοι. Τοιούτοις δὲ πρὸς αὐτοὺς ἐκέχρηντο ῥήμασι· "Τί ἐν τοιούτῳ, ὦ οὗτοι, ἡμῖν προσεληλύθατε σχήματι, ὡς πρὸς πολεμίους τινὰς καὶ τὰ μέγιστα προηδικηκότας καὶ χείριστα διαπραξαμένους, καὶ μεγάλως ὑμᾶς λωβησαμένους τε καὶ κακώσαντας; Ἡμεῖς, ὦ ἄνδρες, εἰρηνικοί ἐσμεν πρὸς ἅπαντας· οὔτε γὰρ ὑμᾶς οὔτε ἑτέρους ἐλυπήσαμεν ἢ ἐβλάψαμεν πώποτε. Καὶ τοσοῦτον ἔριδος καὶ μάχης ἀπεχόμεθα, ὅτι καὶ τὰ ἑαυτῶν καὶ πάντα τὸν κόσμον καταλελοίπαμεν καὶ εἰς ταύτην, ὡς ὁρᾶτε, κατοικοῦμεν τὴν ἔρημον, ἵνα

1/2 cod. δρομέως. 17 cod. δρομέοι || κατηπήχθημεν sic in cod.

παντὸς θορύβου βιωτικοῦ καὶ ταραχῆς καὶ ἀντιλογίας καὶ φύρσεως μακρὰν γενόμενοι δυνηθῶμεν ἀπερισπάστως κλαῦσαι τὰς ἁμαρτίας ἡμῶν καὶ τῷ θεῷ εὐαρεστῆσαι. Οὐ μόνον δὲ ὑμᾶς οὐδὲν παρεβλάψαμεν, ἀλλὰ καὶ εὐεργετεῖν οὐ διελείπομεν κατὰ δύναμιν· τοὺς γὰρ ἐξ ὑμῶν δι' ἡμῶν παρερχομένους ξενοδοχεῖν καὶ τρέφειν καὶ διαναπαύειν οὐκ ἐπαυσάμεθα. Μὴ οὖν ἀντὶ ἀγαθῶν πονηροῖς ἡμᾶς ἀνταμείψησθε, καί γε ὀφείλοντες συγκροτεῖν ὅση δύναμις δι' ἄσπερ εἰς ὑμᾶς ἀεὶ εὐποιίας ἐπεδειξάμεθα· ἀλλὰ καὶ νῦν πρόθυμοί ἐσμεν βρώμασι τοῖς παρ' ἡμῖν εὐπορουμένοις ἀφθόνως ὑμᾶς δεξιώσασθαι καὶ συνήθως διαναπαῦσαι". Οἱ δὲ "Οὐ βρωμάτων ἀλλὰ χρημάτων ἕνεκεν ἐνταῦθα παραγεγόναμεν" μεθ' ὕβρεων καὶ ἀπειλῶν ἀπεκρίναντο. "Ἓν οὖν τῶν ἀμφοτέρων ὑμῖν πρόκειται, ἢ χρήματα ἡμῖν παρασχεῖν", πλῆθος ὀνομάσαντες, "ἢ διαχειρισθῆναι τοῖς βέλεσι". Πρὸς οὓς αὖθις οἱ ἡμέτεροι ἀπεκρίθησαν· "Πιστεύσατε, ὦ ἄνδρες, πιστεύσατε, ὅτι ταπεινοί ἐσμεν καὶ πτωχοὶ καὶ πανάποροι, οὔτε ἄρτον εἰς κόρον ἀεὶ εὐποροῦντες καὶ ἐμπιπλώμενοι· ἀλλ' οὐδὲ ἀμφίων καὶ ἱματίων κεκτήμεθα περιουσίαν καὶ πολυτέλειαν. Ἣν δὲ χρυσοῦ ποσότητα λέγετε, οὐδὲ κατ' ὄναρ ἐφαντάσθημεν πώποτε· μόνοις γὰρ τοῖς ἀναγκαίοις, καὶ τούτοις ἐνδεῶς, αὐταρκούμενοι μετὰ στενώσεως ἐνθάδε τὸ ζῆν διανύομεν".

14. Οἱ δὲ ὥσπερ τὰ μέγιστα ὑβρισμένοι, ὀργῇ ἐξαφθέντες, τὰ βέλη λοιπὸν ἀφειδῶς ἐπαφίεσαν, νιφάσι χειμερινοῖς ἀμιλλώμενα, καὶ οὐ πρότερον ἔληξαν, πρὶν αὐτῶν τὰς φερέτρας ἐκένωσαν. Τῶν μέντοι πατέρων ἐπλήγησαν ἐγγὺς τῶν τριάκοντα, οἱ πλεῖστοι μὲν καιρίως, οἱ δὲ καὶ ἐπιπολαίως. Τινὰ οὖν μέτριον τῆς μανίας κόρον λαβόντες οἱ τῆς πονηρίας ἀκόρεστοι, ἐπὶ τὰς κέλλας ἐχώρουν, τὰς μὲν θύρας μεγάλοις κατακλῶντες λίθοις, τὰ δὲ ἔνδον ἁρπάζοντες ἀποκείμενα. Ἡμεῖς δέ, τούτων ἐν τούτοις ἀσχολουμένων, τῶν πληγέντων ἀδελφῶν ἐφροντίζομεν· οὓς βαρουμένους καὶ στένοντας ἀνελόμενοι εἰς τὸ πλησιάζον κελλίον εἰσηγάγομεν καὶ τὰ ἐμπεπηγότα βέλη ἀνεσπῶμεν, οὐχ ἧττον αὐτῶν τῷ βέλει τῆς ἀθυμίας καὶ συμπαθείας τὰς καρδίας πεπληγμένας ἔχοντες, ὁρῶντες αὐτοὺς πεφυρμένους τοῖς αἵμασι κατὰ διαφόρους

22 cod. νειφάσι - - - ἀμιλλόμενα. 25 καιρίως] cod. κυρίως || cod. ἐπιπολέως.

τόπους τοῦ σώματος, καθ' οὓς καὶ τὰς τρώσεις ἐδέξαντο· οἱ μὲν γὰρ ἐν τοῖς στέρνοις, οἱ δὲ ἐν τοῖς μεταφρένοις, οἱ δὲ ἐν τῷ προσώπῳ τὰ βέλη ἔφερον ἐμπεπαρμένα· ἦσαν δὲ οἳ καὶ λίθοις τὰς κεφαλὰς τραυματισθέντες τὰς ὄψεις εἶχον μεμολυσμένας τοῖς αἵμασι· πάντας δὲ ῥῖγος καὶ τρόμος καὶ ὀδόντων βρυγμὸς καὶ θανάτου συνεῖχεν ὠχρίασις. Οὓς ἀνακλίνας ὁ πανάριστος ἰατρὸς καὶ εὐλαβέστατος ἀββᾶς Θωμᾶς, ὁ μετὰ ταῦτα τῆς παλαιᾶς χειροτονηθεὶς λαύρας ἡγούμενος, τῆς προσηκούσης ἐπιμελείας ἠξίου.

15. Οἱ δὲ ὄντως ἐρημικοὶ ἄνθρακες καὶ λυμαντήριοι καὶ θηριότροποι βάρβαροι ὡς οὐδὲν αὐταρκες τῇ πονηρᾷ αὐτῶν γνώμῃ ποιήσαντες, καίπερ πλείστους τό γε ἐπ' αὐτοὺς ἀνελόντες καὶ τὰ ἐνόντα πραιδεύσαντες, πυρίκαυστα θεῖναι τὰ κελλία μανικῶς ἐπεχείρησαν· θάμνους γάρ, τὰ λεγόμενα μανούθια, ἐν ἑκάστῳ εὑρίσκοντες (εἰώθασι γὰρ οἱ πατέρες αὐτὰ συνάγειν καὶ ἀποτίθεσθαι), ἑτοίμως λοιπὸν δι' αὐτῶν τὰ οἰκήματα ἐνεπύριζον. Ἡμεῖς δὲ τὰς φλόγας εἰς ὕψος αἰρομένας καὶ τοὺς καπνοὺς εἰς αἰθέρα βλέποντες ἀναπεμπομένους, τὰς καρδίας ἐπυρπολούμεθα καὶ ὀδύνῃ ἀφάτῳ καὶ σκοτώσει καὶ ἀπορίᾳ δεινῶς ἐκρατούμεθα ὡς τῆς λαύρας ἀπεγνωκότες· ἤδη γὰρ καὶ τὴν ἐκκλησίαν πυρίφλεκτον καταλιπεῖν ἐβουλεύοντο· μόνον δὲ εἰς οὐρανὸν τὸ ὄμμα ἀνατείνοντες, ἐκεῖθεν τὴν βοήθειαν πεμφθῆναι ἡμῖν ἐδεόμεθα, τὰς τοῦ ἁγίου πατρὸς ἡμῶν Σάβα πρεσβείας ἐπικαλούμενοι. Ὁ δὲ τῶν καταπονουμένων ἀντιλήπτωρ θεός, ὁ "ἐγγὺς πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ", ἠὐδόκησε μήκοθεν τινὰς ὀλίγους φανῆναι, οὓς ἰδόντες οἱ ἄνομοι καὶ εἰς ἡμετέραν αὐτοὺς ὑποπτεύσαντες ἥκειν ἐπικουρίαν καὶ βοήθειαν, δείσαντες δὲ μὴ καὶ ἑτέρους προσεπελεύσεσθαι, τοῦ θεοῦ αὐτοὺς ἀποσοβήσαντος, τὰ σκῦλα βαστάσαντες ἀνεχώρησαν. Ἀλλ' οὐδὲ ἀναχωρησάντων ἐκείνων ἡμῶν ὁ φόβος ἐλώφησεν· ἐδεδίειμεν γὰρ τὴν αὐτῶν ἐπανέλευσιν. Μέχρι δὲ τῆς τοῦ ἡλίου δύσεως καὶ τῆς τοῦ φωτὸς ἐκλείψεως ἀμετακίνητοι διετελέσαμεν, τῇδε κἀκεῖσε τὸ ὄμμα περιπέμποντες, ὡς τὴν τούτων ἐπάνοδον ὑφορώμενοι· κἀπὶ τὴν αὔριον δὲ πρωΐθεν ἕως ἑσπέρας

6 cod. ὠχρείασις. 9 ἐρημικοὶ ἄνθρακες] cf. Psalm. CIXX, 4. 12/13 cod. ἐπεχείρισαν. 13 μανούθια] vide Du Cange, Glossarium ad scriptores mediae et infimae graecitatis, p. 873—874. 23 ἐγγὺς — ἀληθείᾳ] Psalm. CXLIV, 18. 29 cod. ἐδεδείημεν. 32 cod. προΐθεν.

βαθείας ἐν τῷ αὐτῷ συναγόμενοι τόπῳ λιτὰς καὶ προσευχὰς πανημέριοι ἐπετελοῦμεν, τῷ αὐτῷ δέει κρατούμενοι· ὡσαύτως δὲ καὶ πᾶσαν ἐκείνην τὴν ἑβδομάδα ποιεῖν οὐκ ἐπαυσάμεθα. Ὁμοῦ δὲ πάντες συνηθροιζόμεθα, τοῦτο μὲν παράκλησιν καὶ παραμυθίαν ἱκανὴν ἐξ ἀλλήλων καρπούμενοι (εἴτε γὰρ ζῆν εἴτ' οὖν ἀποθνήσκειν σὺν ἀλλήλοις ηὐχόμεθα), τοῦτο δὲ καὶ τὰς βασάνους ἐγκλίνοντες, ἃς τοῖς καταμόνας εὑρισκομένοις ἐπέφερον, ὡς καὶ ἐν λαύρᾳ τῇ παλαιᾷ πεποιήκασι, τινὰς πυρὶ διαφλέξαντες καὶ ἑτέρας βασάνων ἰδέας ἐπινοήσαντες.

16. Ἐν τούτοις ἐκείνην τὴν ἑβδομάδα διελθόντων ἡμῶν, ὀψὲ Σαββάτῳ περὶ δευτέραν τῆς νυκτὸς ὥραν ἐν τῇ ἐκκλησίᾳ τὴν συνήθη τῆς ἁγίας Κυριακῆς ἀγρυπνίαν ἐπιτελούντων, ἰδοὺ δύο μοναχοὶ εὐλαβεῖς καὶ στερρόφρονες δρομαῖοι καὶ ἠπειγμένοι καὶ ἱδρῶτι περιρρεόμενοι παρεγένοντο· οὓς οἱ τῆς παλαιᾶς λαύρας τίμιοι πατέρες, τὸν τῆς ἀγάπης τηροῦντες νόμον καὶ φιλαδελφικῆς συμπαθείας πυρσῷ συγκινούμενοι, πρὸς ἡμᾶς ἀπεστάλκασι, ταῦτα ἀπαγγέλλοντες· "Ὅτι (φασὶν) οἱ πρὸ ἓξ ἡμερῶν ἐπιρρίψαντες ὑμῖν ἀσεβεῖς καὶ παμμίαροι πᾶσαν ταύτην τὴν ἑβδομάδα συλληστὰς καὶ συναποστάτας ἐπισυνάγοντες, καὶ εἰς πλῆθος μέγα γενόμενοι, ταύτῃ τῇ νυκτὶ ἐπιπεσεῖν ὑμῖν καὶ τὴν λαύραν ἐρημῶσαι φρυάττονται· ἀπειλοῦσι δὲ πᾶν ὅ τι δεινὸν καὶ παγχάλεπον εἰς ὑμᾶς διαπράξασθαι, θυμοῦ καὶ ὀργῆς πεφυκότες μεστοί· τοῦτο γὰρ παρά τινων συμφυλετῶν αὐτῶν, γειτνιαζόντων ἡμῖν, μαθεῖν ἠδυνήθημεν. Ἤδη δὲ καὶ τῆς πρὸς ὑμᾶς πορείας ἐκ τῶν καθ' ἡμᾶς μερῶν δύναντος τοῦ ἡλίου ἀπήρξαντο, καὶ ἡμεῖς ἔμφοβοι καὶ ἐναγώνιοι ἀφικόμεθα τρέχοντες καὶ ἑαυτοὺς παρεβουλευσάμεθα, τὴν αὐτῶν κατὰ τὴν ὁδὸν δειλιῶντες ἀπάντησιν. Εἴ τι οὖν πάρεστιν ὑμῖν ποιεῖν, ἐν τάχει ποιήσατε".

17. Ἡμεῖς δὲ ταύτην τὴν ὀδυνηρὰν ἀγγελίαν ἀκούσαντες, ῥομφαίαν ὥσπερ ἕκαστος τῇ καρδίᾳ δεξάμενοι καὶ τῇ ἀπορίᾳ ἰλιγγιάσαντες καὶ τῷ πάθει σκοτοδινήσαντες, τὰς δυνάμεις καὶ τοὺς ἁρμοὺς ἐξελύθημεν. Θορύβου δὲ καὶ ταραχῆς πληρωθέντες, τινὰς μὲν ἐν τῇ ἐκκλησίᾳ ψάλλειν ἀφήκαμεν, οἱ πλείους δὲ τὸ

9 cod. εἰδέας. 13 cod. δρομέοι. 17 cod. φησὶν. 18/19 συλληστὰς] cod. σὺν ληστὰς. 26 cod. ἀφηκόμεθα.

σύνηθες ἀκρωτήριον κατελάβομεν, κἀκεῖσε μέχρις ὄρθρου διανυκτερεύοντες τῷ κρύει σχεδὸν ἐπηγνύμεθα, ἔνδοθεν μὲν τοῦ φόβου τὸ αἷμα συστέλλοντος, ἔξωθεν δὲ τοῦ ψύχους πάλιν αὐτὸ συνωθοῦντος καὶ συνελαύνοντος. Οὐ μέντοι γε τῆς εὐχῆς ἠμελοῦμεν, εἰ καὶ τῆς ἐκκλησίας ἐντὸς οὐχ ὑπήρχομεν· μᾶλλον δὲ ὅλον τὸν νοῦν καὶ πάντας τοὺς λογισμοὺς καὶ πᾶσαν ἐνθύμησιν ἔξω ῥεμβομένην ἐπισυνάξαντες, ἀκραιφνέσιν εὐχαῖς καὶ ἀρεμβάστοις ἐντεύξεσι πρὸς τὸν δυνάμενον σῴζειν ἐκ κινδύνων θεὸν ἐκεχρήμεθα, ὡς εἰς τὴν ἔξοδον λοιπὸν τῆς παρούσης ζωῆς ἑαυτοὺς ἑτοιμάζοντες· ἄλλος δὲ ἀλλαχοῦ διεσκόπει καὶ ἔβλεπε καὶ τὸ οὗς ἐπεῖχε προσεχῶς εἰς ἀκρόασιν, τὸ πόθεν αὐτοὺς ἐπιβαίνῃτας ἴδοι καὶ αἴσθοιτο. Πολλάκις γοῦν καὶ τοῦ τυχόντος θέα καὶ κίνησις πάντας ἡμᾶς ἐξεθρόησε, τῶν ἀθέων νομισθεῖσα ἡ ἄφιξις.

18. Ἐν τοιαύτῃ συγχύσει διαγόντων ἡμῶν καὶ δέους ἐμπεπλησμένων καὶ ἀνίας καὶ φύρσεως, ἰδοὺ δύο τινές, ἐσπευσμένως βαδίζοντες, προϊόντες ἐφαίνοντο· ὡς δὲ πλησίον γεγόνασιν, ὁ μὲν εἷς γέρων ἐωρᾶτο μοναχὸς ὁλοπόλιος, τὸν δὲ ἕτερον διασώστην ὥσπερ τῆς ὁδοῦ καὶ ὁδηγὸν ἐπεφέρετο· ὃς τῷ δρόμῳ κεκμηκὼς καὶ τῷ πένθει συνεχόμενος τὸν λόγον προέφερεν, τῷ συνεχεῖ διακοπτόμενον ἄσθματι, ἄναρθρον καὶ ἀτράνωτον· ἐπιστολίδιον δὲ τῇ χειρὶ προβαλλόμενος ἐξ αὐτοῦ μαθεῖν ἠξίου τῆς αὐτοῦ παρουσίας τὸ αἴτιον. Τὴν οὖν ἐπιστολὴν ἀναπτύξαντες καὶ διὰ τοῦ σεληναίου φέγγους ἀναγνῶναι δυνηθέντες, ἔγνωμεν αὐτὴν παρὰ τῶν πατέρων τῆς εὐαγοῦς μονῆς τοῦ σημειοφόρου πατρὸς ἡμῶν ἁγίου Εὐθυμίου ἀγάπης θεσμῷ πνευματικῆς πρὸς ἡμᾶς γραφεῖσαν, περιέχουσαν τάδε· "Γινώσκειν ὑμᾶς βουλόμεθα, πατέρες, ὡς ἔγνωσται ἡμῖν παρὰ τῶν ἀκριβῶς εἰδότων, ὅτι συναγωγὴ πονηρευομένων ἐκ τῶν κατὰ βορρᾶν μερῶν τῆς Ἁγίας Πόλεως ἐπὶ κακῷ συναθροισθεῖσα σκέπτεται ταύτῃ τῇ νυκτὶ ἐπιρρῖψαι ὑμῖν καὶ τὴν λαύραν πραιδεῦσαι καὶ ἐρημῶσαι· ἀλλ' ἑαυτοὺς ἀσφαλίσασθε καὶ εὔξασθε ὑπὲρ ἡμῶν".

19. Ταύτην κομισάμενοι τὴν ἐπιστολὴν ἔγνωμεν ὅτι ἑτέρα κουστωδία ἐστὶν αὕτη καὶ ἄλλη περὶ ἧς οἱ Παλαιολαυρῖται ἐδή-

1 cod. ἀκροτήριον. 20 cod. ἐπιστολήδιον. 27 συναγωγὴ πονηρευομένων] cf. Psalm. xxi, 16.

λωσαν· οἱ γὰρ τῆς ἡμετέρας λαύρας καὶ τῆς ἑαυτῶν σωτηρίας ἐχθροί, οὓς προωνομάσαμεν, ὡς μὴ ἀρκεσθέντες μιᾷ πονηρᾷ ὁμηγύρει καὶ ἕτερον ἀνδροφόνων σύστημα καὶ σύστρεμμα συνεκρότησαν, ἵνα ἀμφοτέρους συνάψαντες παμπληθεὶ ἡμῖν ἐπιρρίψωσι. Ταῦτα διδαχθέντων ἡμῶν, ἐδιπλασιάσθη ἐφ' ἡμᾶς ὁ φόβος καὶ ἡ δειλία, καὶ τὸ πένθος ἦν ἀφόρητον καὶ ὁ κίνδυνος ἀδιάφυκτος· μηδεμίαν δὲ ἐξ ἀνθρώπων ἢ ἀπὸ γῆς βοήθειαν εὑρεῖν ἐλπίζοντες, εἰς οὐρανὸν τὰς χεῖρας καὶ τοὺς ὀφθαλμοὺς ἀνετείναμεν καὶ τὸν ἐφορῶντα θεόν, τὴν ἀνάγκην καὶ θλῖψιν ἡμῶν μετὰ δακρύων καὶ στεναγμῶν ἀναγγέλλοντες, ἱκετεύομεν, "Ἔπιδε" λέγοντες "ἐπὶ τὴν ταπείνωσιν καὶ ταλαιπωρίαν ἡμῶν, δέσποτα, καὶ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τῶν δούλων σου. Οἶδας, κύριε, ὅτι διὰ τὸ ὄνομά σου τὸ ἅγιον ἕκαστος ἡμῶν τὸν ἑαυτοῦ οἶκον καὶ τοὺς ἰδίους καὶ συγγενεῖς παρεάσας εἰς ταύτην τὴν τραχεῖαν καὶ ἄνικμον καὶ ἀπαρηγόρητον ἐλήλυθεν ἔρημον, οὐ τινὸς ἐπιγείου κέρδους ἕνεκεν, ἀλλ' ἵνα τῆς σῆς δόξης καὶ τῆς θέας τοῦ προσώπου σου μὴ ἐκπέσωμεν· καὶ νῦν ἐλθὲ εἰς βοήθειαν ἡμῶν, ὅτι θλῖψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν. Ἰδοὺ οἱ ἐχθροί σου, κύριε, ἤχησαν· ἰδοὺ οἱ μισοῦντές σε ἦραν κεφαλήν. Εἶπαν, Δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους, καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα τοῦ πνευματικοῦ Ἰσραὴλ ἐν ταύτῃ τῇ ἐρήμῳ ἔτι. Καὶ νῦν, δέσποτα, ἐπιστάμεθα καὶ πιστεύομεν, ὅτι ἐὰν θέλῃς ἀορασίᾳ αὐτοὺς πατάξαι ὡς τοὺς Σύρους ἐπὶ Ἐλισσαίου, ἢ δι' ἀγγέλου ἐν μιᾷ ῥοπῇ θανατῶσαι ὡς τοὺς . . . . . .

. . . . . .

20. . . . . καὶ ἀφειδῶς ἔπλητταν ἕκαστος τῷ μετὰ χεῖρας κατεχομένῳ ὅπλῳ, ξίφει ἢ ῥοπάλῳ ἢ ῥάβδῳ ἢ τόξῳ· οἱ πολλοὶ δὲ λίθους μεγάλους καὶ χειροπληθεῖς ἀπὸ γῆς ἀνελόμενοι καὶ ταῖς δυσὶ χερσὶν εἰς ὕψος αἴροντες, πάσῃ τῇ ἰσχύι αὐτῶν κατὰ τῶν ἁγίων ἔβαλλον.

21. Ἀλλ' οἴμοι, πῶς τῆς φρικτῆς καὶ ἐλεεινῆς ὥρας ἐκείνης τὴν ἀνάμνησιν ἀδακρυτὶ ἐνέγκω; πῶς παραστῆσαι δυνήσομαι τῷ

4 cod. παμπληθῆ. 18 ὅτι θλῖψις - βοηθῶν] Psalm. xxi, 12, 13. 18/21 ἰδοὺ οἱ ἐχθροὶ - Ἰσραὴλ] Psalm. lxxxiii, 3, 5. 22/23 ἀορασίᾳ - Ἐλισσαίου] cf. Reg. 4, vi, 18. xix, 35. 24/26 inter τοὺς et καὶ deest folium; in margine codicis: ζήτει φύλλ. α̅. 28 cod. ἀνελώμενοι.

λόγῳ, ἅπερ οἱ ὀφθαλμοὶ ἡμῶν ἑωράκασιν; οὐδὲ γὰρ εἰ δέκα μοι γλῶσσαι εἶεν καὶ τοσαῦτά γε νῦν τὰ στόματα (ὡς ἀληθῶς γὰρ τῶν πραγμάτων ὁ λόγος κατὰ πολὺ ἐλάττων τε καὶ καταδεέστερος), ἀλλ' οὔτε τὰ δι' ἀκοῆς παραλαμβανόμενα φαντασθῆναι δύναντα ὡς τὰ δι' ὄψεως θεωρούμενα. Ἡ δὲ πεῖρα καὶ αἴσθησις ἀμφοτέρων χαλεπωτέρα· οὐδὲ γὰρ οὕτως δρυτόμοι τινὲς καὶ ξυλοκόποι πολυδένδρῳ ἐμπεσόντες ὕλῃ ἀφειδῶς αὐτὴν κατακόπτουσιν, ὡς οἱ ὠμοὶ οὗτοι καὶ θηριώδεις καὶ ἀπάνθρωποι βάρβαροι καθάπερ ἐν μακελλείῳ τὰ σώματα τῶν πατέρων ἀνηλεῶς καὶ ἀσυμπαθῶς ταῖς πληγαῖς ἔκοπτον, οὐχ ὥστε ἐκφοβῆσαι ἢ μετρίως ἀλγῦναι, ἀλλ' ἤδη λοιπὸν καὶ θανατῶσαι καὶ πικρᾷ τελευτῇ παραδοῦναι. Τοὺς μὲν γὰρ ξίφεσιν ἐπαίον πάλιν τὰ μετάφρενα, τῶν δὲ λίθοις μεγάλοις καὶ βαρέσι τὰς κεφαλὰς βάλλοντες κατέθλων, τῶν δὲ τὰς κνήμας συνέτριβον, ἄλλων ξύλοις ἢ πέτραις τὰ πρόσωπα ἔτυπτον, καὶ οὐκ ἦν ἰδεῖν τινα μὴ τῷ λύθρῳ μεμολυσμένον καὶ βεβαμμένον καὶ περιρρεόμενον αἵματι. Ὥσπερ δὲ λύκοι ἀγέλῃ προβάτων ἅμα ἠθροισμένῃ καὶ συνεχεῖ ἐμπεσόντες διασκορπίζουσιν, οὕτως καὶ οὗτοι οἱ ἄγριοι καὶ ἀνήμεροι καὶ θηριότροποι τοῖς λογικοῖς καὶ πραέσι τοῦ Χριστοῦ θρέμμασι ἐμπηδήσαντες τὴν συνέχειαν αὐτῶν διέλυσαν. Εἶτα ἱκανῶς ὡς ἐν χαλκείῳ τοὺς ὁσίους σφυροκοπήσαντες, πάντας πανταχόθεν λίθων βολαῖς καὶ τραχέσι καὶ ἀπηγριωμέναις βοαῖς ἄνωθεν διὰ τοῦ χειμάρρου εἰς τὴν ἐκκλησίαν συνήλαυνον.

22. Τινὲς μὲν οὖν τῶν ἀδελφῶν τὴν βίαν ταύτην καὶ ἀνάγκην παθόντες ἑαυτοὺς περικρύβειν ἐπειρῶντο, ἐν σπηλαίοις καὶ σχισμαῖς ὀρέων καὶ ῥαγάσιν ὑποδυόμενοι, ὀλίγοι δὲ ὅμως λαθεῖν ἠδυνήθησαν. Τὸν γοῦν ἡγουμενειάρχην, ἤτοι τὸν εἰς ὑποδοχὴν τεταγμένον τῶν εἰς τὸ ἡγουμενεῖον καταλυόντων ξένων, Ἰωάννην τῷ ὀνόματι, εὐλαβῆ δὲ καὶ ἐπιεικῆ τὸν τρόπον καὶ νέον τῇ ἡλικίᾳ, οἱ τοῦ διαβόλου δορυφόροι γνωρίσαντες, μυρίας πληγὰς καὶ λίθων βολὰς ἐπιθέντες καὶ νευροκοπήσαντες, ἡμιθανῆ πως ἀφέντες, οὐκέτι διὰ τῶν οἰκείων ποδῶν εἰς τὴν ἐκκλησίαν ἐλαυνόμενον κατιέναι παρείασαν, ἢ μὴ ἰσχύοντα διὰ τὴν τῶν πληγῶν ἀνάγκην,

9 cod. μακελίω || ἀνειλεῶς. 20 cod. χαλκίω. 27 cod. ἡγουμενιάρχην. 28 cod. ἡγουμενίον.

ἢ πρὸς μείζονα κόλασιν· ἀλλ' ἀπὸ τῶν ποδῶν κατασύροντες οἱ ἄσπλαγχνοι καὶ ἀνηλεεῖς διὰ πετρῶν καὶ τραχυτάτων λίθων ἄνωθεν ἐκ τῆς ὄρους ἀκρωρείας ἕως τῆς ἐκκλησίας καθεῖλκυσαν, ὡς εἴ τις κτῆνος θνησιμαῖον ἢ ξύλον εὕροι ἀναίσθητον· πᾶσαν δὲ τὴν δερματίδα τοῦ νώτου καὶ τῶν ὀπισθίων μερῶν ἐκδήραντες (καὶ γὰρ οὐκ ὀλίγον ἦν τὸ τῆς ὁδοῦ μῆκός τε καὶ διάστημα, καὶ τοῦτο κάταντες), ὀλίγον πνέοντα ἐν τῇ αὐλῇ τῆς ἐκκλησίας κατέθηκαν· ὃς τῷ καπνῷ πάλιν βασανισθεὶς τῷ Χριστῷ τὴν ψυχὴν παρέδωκεν μετὰ τῶν ἄλλων ὁσίων, περὶ ὧν σὺν θεῷ ῥηθήσεται.

23. Ἦσαν δὲ οἱ τοῦ σοφιστοῦ τῆς κακίας μαθηταὶ καὶ τοῦ φρονίμου εἰς τὸ κακοποιῆσαι ὄφεως υἱοὶ καὶ ἐχιδνῶν γεννήματα τινὰς ἐξ αὐτῶν ἐν ὑψηλοτέροις τόποις στήσαντες σκοπεύειν πρὸς τὸ εἴ τινα διαφυγεῖν βουλόμενον θεάσοιντο, (ἵνα) ἐπίσχωσι καὶ κωλύσωσι καὶ εἰς τὴν λαύραν καὶ ἐκκλησίαν ἄκοντα ἀποστρέψωσι. Τὶς τοίνυν Δαμασκηνὸς τῷ γένει, Σέργιος τὴν προσηγορίαν, ἰδὼν τοὺς πατέρας ὑπὸ τῶν βαρβάρων βαρβαρικῶς μετὰ τοσαύτας πληγὰς εἰς τὴν ἐκκλησίαν συνελαυνομένους καὶ συνωθουμένους (τοῦ βασανίσαι αὐτοὺς ἕνεκεν τοῦτο οἱ τρισάθλιοι καὶ κακεντρεχεῖς ἐπενόησαν καὶ ἐπετήδευσαν) — ἐγνώριζε δὲ τόπον ἐν παραβύστῳ, ἐν ᾧ τινα τῆς ἐκκλησίας ἱερατικῶν πραγμάτων κεκρυμμένα ἐτύγχανον, καὶ γὰρ μαθητὴς ὑπῆρχε τοῦ καθωσιωμένου ἡγουμένου· φοβηθεὶς οὖν μήποτε ὡς ἄνθρωπος τὴν βίαν τῶν βασάνων μὴ φέρων τὸν τόπον καταμηνύσῃ καὶ παρὰ τοῦτο κρίματι ὑποπέσῃ ὡς προδοὺς τὰ ἅγια τοῖς κυσὶ καὶ τὰ τῷ θεῷ προσενεχθέντα τοῖς τοῦ Σατανᾶ παρασχὼν θεραπευταῖς, ᾤετο δεῖν ὁ μακάριος καὶ κρεῖττον ὑπάρχειν φυγεῖν καὶ τὴν τοῦ τοιούτου κρίματος κερδῆσαι φυγὴν καὶ ἐκλύτρωσιν.

24. Τοῦτον τοιγαροῦν δρόμῳ ὑποχωροῦντα καὶ μακράν που τῆς λαύρας γενόμενον οἱ εἰς τοῦτο τεταγμένοι φύλακες θεασάμενοι, καταβάντες συνέλαβον, καὶ δὴ ξίφεσι νύττοντες εἰς τὴν λαύραν πάλιν ὑποστρέφειν ἠνάγκαζον· ὁ δὲ εὐθαρσεῖ καρδίᾳ καὶ ἀδειλάντῳ

2 cod. ἀνειλεεῖς. 3 cod. ἀκρορίας. 11 φρονίμου - - ὄφεως] cf. Matth. x, 16 || ἐχιδνῶν γεννήματα] Matth. III, 7. XII, 34. XIII, 33. Luc. III, 7. 13 ἵνα add. Bollandini || cod. ἐπισχῶσι. 21 cod. καθοσιωμένου. 24 τὰ ἅγια τοῖς κυσὶ] cf. Matth. VII, 6.

φρονήματι πρὸς αὐτοὺς ἀπεκρίνατο· "Οὐχ ὑποστρέφω κελευόντων ὑμῶν, οὐδὲ γὰρ δι' εὐχὴν ἢ θεοσέβειαν εἰς τὴν ἐκκλησίαν ἡμᾶς εἰσιέναι κελεύετε σήμερον". Οὗ τὴν ἀνδρίαν καὶ ἔνστασιν καὶ αὐτοὶ οἱ βάρβαροι κατεπλάγησαν. Πάλιν δὲ ἐμβριθῶς καὶ ἀναιδῶς καθυβρίζοντες καὶ λίθοις κόπτοντες ἐπανιέναι προσέταττον· ὁ δὲ οὐδόλως αὐτῶν ἐπειθάρχει τῷ ἐπιτάγματι. Τοῦτον τοίνυν γυμνὸν ἐπανατείνοντες διεβεβαιοῦντο αὐτὸν καρατομήσειν, εἰ μὴ ἐπαναδράμῃ ἐπιτρεπόμενος· ὁ δὲ γενναῖος ἀθλητὴς τὴν αὐτὴν καρτερίαν ἐπιδεικνύμενος, κατ' ἀνατολὰς ἑαυτὸν τρέψας καὶ τοὺς ὀφθαλμοὺς τῆς καρδίας ὁμοῦ καὶ τοῦ στόματος πρὸς τὸν ἐν οὐρανοῖς οἰκοῦντα Χριστὸν ἄρας, πρὸς αὐτοὺς ἀπεφθέγγετο· "Ἐγὼ μὲν δι' ὑμετέρας κελεύσεως τῳτέως ἐκεῖσε οὐκ ἐπανέρχομαι· εἰ δέ μου τὴν κάραν ἀφελέσθαι, ὥς φατε, βούλεσθε, τοῦ Χριστοῦ παραχωροῦντος οὐκ ἔστιν ὑμῖν οὐδὲν τὸ ἐμπόδιον". Ταῦτα δὲ λέγων καὶ τὸν αὐχένα ὑπέκλινε· τοῦτο δέ τις τῶν ἀδελφῶν συνευρεθεὶς αὐτῷ καὶ στραφεὶς ἐξηγήσατο. Ἀναπηδήσας δέ τις τῶν ἀποστατῶν, ζήλῳ καὶ θυμῷ βράσας καὶ τὸν διάβολον ἐγκυμονήσας, παρὰ τοῦ ἑαυτοῦ ἑταίρου τὸ ξίφος ἀποσπάσας τοῦ μακαρίου τὸν τράχηλον ἔπαισεν. Μὴ κορέσας δὲ τὴν ἰδίαν μανίαν, δευτέραν αὐτῷ πληγὴν καὶ τρίτην ἐπήγαγεν· εἴς τινα δὲ χείμαρρον ὠθήσαντες λίθους αὐτῷ μεγάλους ἐπέρριψαν, ὥστε σχεδὸν ὅλον συνθλάσαι τοῦ ὁσίου τὸ σκήνωμα. Οὕτως γενναίως κατὰ τῆς τοῦ ἐχθροῦ μεθοδείας ἀγωνισάμενος καὶ πρὸς τὴν ἁμαρτίαν ἀντικαταστὰς μέχρις αἵματος, καὶ μηδὲν τῆς ἄκρας ἀρετῆς ὅλως ὑποχαλάσας τε καὶ ὑφέμενος διὰ δειλίας πάθος ἀγεννὲς καὶ οἰκτρότατον, ἢ διὰ θανάτου φόβον παρόντα καὶ ἀπειλούμενον, εὐγενὴς ὄντως ἐκφανθεὶς καὶ θεοειδὴς τῇ ψυχῇ καὶ στερρότατος, πρῶτος τοῦ μαρτυρίου τὸν στέφανον ἀνεδήσατο. Τούτου τὸ ἅγιον λείψανον μετὰ τὴν τῶν βαρβάρων κομίσαντες ἀναχώρησιν ὅλον βεβαμμένον καὶ πεφοινιγμένον, μᾶλλον δὲ λελουμένον καὶ κεκαθαρμένον τοῖς αἵμασιν, ἐν θήκαις ὁσίαις ὁσίως ἐθήκαμεν μετὰ τοῦ ἱεροῦ τῶν κατ' αὐτὴν τὴν ἡμέραν ἀναιρεθέντων ὁσίων πατέρων συνθήματος. Καὶ ταῦτα μὲν ὕστερον, ἡμεῖς δὲ ἐπὶ τὴν τοῦ λόγου συνέχειαν ἐπανέλθωμεν.

7/8 cod. ἐπαναδράμει. 9/10 τοὺς ὀφθ. τῆς καρδίας] Ephes. I, 18 Tisch. ed. oct. 10/11 ἐν οὐρανοῖς οἰκοῦντα] cf. Tob. V, 17. 12 cod. τοτέως. 18 cod. ἑτέρου; cf. p. 20,25: τοὺς ἑτέρους (pro ἑταίρους) ἑαυτοῦ. 22 cod. μεθοδίας.

*

25. Οἱ ποικίλοι τῇ κακίᾳ στασιασταὶ καὶ δεινοὶ καὶ παμπόνηροι προπέμψαντες ἦσάν τινας αὐτῶν εἰς τὸ πέραν κατ' ἀνατολὰς τοῦ χειμάρρου, ὅθεν τὰ δυτικὰ μέρη φανερῶς ὡς ἐνώπιον φαίνονται, ἵνα τοὺς φυγεῖν καὶ λαθεῖν καὶ κρυβῆναι εἰς ἄντρον ἢ ὀπὴν ἢ ὑπὸ σκέπην πέτρας ἐθέλοντας φωνῇ καὶ χειρὶ τοῖς ὁμόφροσι διαδείξωσι καὶ μηνύσωσι· καὶ οὕτως λοιπὸν οὐδεὶς τὴν θανατηφόρον αὐτῶν σαγήνην καὶ περιφορὰν διαφυγεῖν ἢ ἐξειλῆσαι ἴσχυσε, πάντων πανταχοῦ ἀναζητουμένων καὶ καταμηνυομένων, ὡς εἴρηται.

26. Ἀλλ' ἐνταῦθα τοῦ λόγου γενόμενος οὐ παραδράμω τὸν γενναῖον καὶ χαρτερόφρονα καὶ ὄντως τῆς τελείας ἀγάπης τὸν τέλειον ὅρον ἐφθακότα καὶ τῷ ἔργῳ τελέσαντα· οὐδὲ γὰρ θέμις τὸν τοιοῦτον λόγῳ παραδραμεῖν ἀστηλίτευτον, ἀξιάγαστον ὡς ἀληθῶς ὄντα καὶ Χριστοῦ μιμητὴν χριστομίμητον. Ἄντρῳ τινὶ στενωτάτῳ τινὲς τῶν ἀδελφῶν προσέφυγον διωκόμενοι, ἐν ᾧ κρυβῆναι καὶ λαθεῖν τοὺς λυμεῶνας καὶ βδελυροὺς προσεδόκησαν. Τούτους τις τῶν ἀντικρὺ κατ' ἀνατολὰς σκοπευτήρων τὴν ὀπὴν ὑπεισερχομένους θεώμενος, φωνῇ μεγάλῃ δακτυλοδεικτῶν τοῖς συναποστάταις τὸ ἄντρον ἐμήνυσεν. Ἐπιστὰς δέ τις ξιφήρης τῇ θύρᾳ καὶ εἰσόδῳ τῆς τοιαύτης ὀπῆς, μετὰ κραυγῆς σφοδρᾶς καὶ φοβερᾶς ἐπιπλήξεως τοὺς ἐνυπάρχοντας ἔνδον ἐξιέναι προσέταττεν· οἱ δὲ ἀδελφοὶ ὡς φωραθέντες καὶ ἁλῶναι μέλλοντες καὶ πικραῖς παραδοθῆναι βασάνοις τῷ φόβῳ ὑπέπτηξαν. Ἦσαν δὲ πέντε τὸν ἀριθμόν, ὧν ὁ εἷς ἀξιομνημόνευτος, θαυμάσιός τε καὶ ἀξιέπαινος, Ἀδραΐνὸς τῷ γένει, τῇ δὲ προσηγορίᾳ Πατρίκιος. Τοὺς ἑταίρους ἑαυτοῦ καὶ συναδελφοὺς ἰδὼν τῇ δειλίᾳ ἀσχάλλοντας, θείου ζήλου καὶ ἀγάπης καὶ φιλαδελφίας γενόμενος ἔμπλεως, θαρσαλέως ἀνώρμησεν καὶ τοῖς σὺν αὐτῷ κεκρυμμένοις ἀδελφοῖς προσωμίλησε· "Θαρσεῖτε, ἀδελφοί μου ἀγαπητοὶ καὶ ὁμόψυχοι· ἐγὼ τὸν ὑπὲρ ὑμῶν ἀναδέχομαι κίνδυνον καὶ θάνατον σήμερον· ἐγὼ ὑπὲρ τῆς ὑμετέρας λυτρώσεως ταῖς τῶν ἀνελεημόνων βαρβάρων χερσὶν ἐμαυτὸν προθύμως ἐκδίδωμι· ὑμεῖς δὲ αὐτοῦ καθεζόμενοι σιγήν μοι καὶ ἀφωνίαν ἀσκήσατε καὶ τοῦ σπηλαίου ἀπρόϊτοι διαμείνατε." Καὶ ταῦτα ψιθυρίσας ἐξέθωρε καὶ πρὸς τὸν αἰμοπότην ἐξελήλυθε.

7 cod. ἐξηλῆσαι. 25 cod. ἑτέρους.

βάρβαρον, καὶ "Ἄγωμεν" ἔφη, "ὅπου κελεύεις". Ὁ δὲ "Καὶ τοὺς λοιποὺς" εἶπεν "ἐξάγαγε, οἳ σὺν σοὶ ἔνδον κεκρυμμένοι τυγχάνουσιν." Ὁ δὲ γενναῖος τοῦ Χριστοῦ στρατιώτης καὶ ἀριστεὺς ἀκατάπληκτος διισχυρίζετο καὶ λόγοις πλείστοις τὸν δήμιον ἐπληροφόρει καὶ ἔπειθεν, ὡς μονώτατος ὑπῆρχεν ἔνδον κρυπτόμενος καὶ ἄλλος οὐδεὶς σὺν αὐτῷ τὸ παράπαν ἐτύγχανεν. Τούτοις τοῖς λόγοις τὸν ἀσεβῆ πείσας ὁ τῆς ἀγάπης καὶ φιλαδελφίας προασπιστὴς καὶ ὑπέρμαχος ἐπὶ τὴν ἐκκλησίαν ἐλάμβανεν, αὐτὸς ἐκείνῳ τῆς ὁδοῦ προηγούμενος προθυμότατα.

27. Ὦ γενναίας καὶ θεοφόρου ψυχῆς· ὦ στερρᾶς καὶ ἀδαμαντίνου καρδίας· ὦ ἀγάπης ἐνθέου καὶ εἰλικρινοῦς, αὐτὸν τὸν ἀκρότατον καὶ ἀκραιφνέστατον της τελειότητος ὅρον τὸν ὑπὸ τοῦ κοινοῦ σωτῆρος τελεσθέντα καὶ θεσμοθετηθέντα σφραγισάσης· "ἐν τούτῳ γάρ" φησι "γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους". Τὸ δὲ μέτρον τῆς ἀγάπης ὁπόσον ἐστίν, ἐγνώρισεν ἐπαγαγών· "αὕτη γάρ ἐστιν ἡ τελεία ἀγάπη, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ·" ὅπερ ἔργῳ ποιήσας ὁ πανάριστος οὗτος καὶ ἀξιοῦμνητος Πατρίκιος φαίνεται. Μακάριος ὄντως ὑπάρχεις, τρισόλβιε, ὅτι πληρωτὴς τῆς καινῆς τοῦ Χριστοῦ ἐντολῆς ἀνελλιπῶς ἐχρημάτισας ("ἰδοὺ γάρ" φησιν "ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους"), ὅτι κατ' ἴχνος τῷ δεσπότῃ Χριστῷ ὡς δοῦλος εὐγνώμων καὶ εὐπειθὴς μαθητὴς ἠκολούθησας, ὅτι σύμμορφος τῶν αὐτοῦ παθημάτων γενόμενος εἰκότως κοινωνὸς καὶ συμμέτοχος τῆς αὐτοῦ δόξης καὶ τῆς ἐν οὐρανοῖς βασιλείας πέφηνας. Μέμνησο οὖν καὶ ἡμῶν τῶν ἐκ πόθου τὴν σὴν εὐφημούντων ἀνδρίαν, ἀοίδιμε. Σοῦ γὰρ τοῖς ἐγκωμίοις ἐμφιλοχωρεῖν ποθῶ μὲν καὶ γνησίως ἐφίεμαι· καὶ γὰρ ἀληθῶς μυρίων ἐπαίνων ἐπάξιος πέφυκας, εἰ καὶ τῶν παρ' ἡμῶν ἀνώτερος καὶ ἀνενδεὴς εὐφημιῶν καὶ κρότων καθέστηκας· ἀλλά με δῆμος ὅλος ἀναμένει μαρτύρων τὴν αὐτὴν ἐπιδεδειγμένων μαρτυρίαν καὶ στερρότητα, καὶ τὴν ἴσην πρόθεσιν καὶ τῆς ἀγάπης τελείωσιν μέχρις ἐσχάτων ἐν βασάνοις ἀναπνοῶν φυλαξάντων ἀλώβητον, ὡς δήπουθεν ὁ λόγος ἀποδείξει φανότατα· δέδοικα δὲ μὴ ὄγκον ἐπι-

14 Iohan. xiii, 35. 16/17 cf. Iohan. xv, 13. 20 cod. ἀνελλειπῶς. 20/21 Iohan. xiii, 34. 23 σύμμορφος] cf. Philip. iii, 21. 33 cod. φανώτατα.

θήσω τῷ διηγήματι. Τούτου τοίνυν, ἀγαπητοί, τοῦ στερεμνίου νεανίου τὴν προαίρεσιν ἀθρήσας τελείαν Χριστὸς ὁ θεὸς τῶν γνώσεων καὶ ἐτάζων καρδίας καὶ νεφρούς, τελείῳ τοῦ μαρτυρίου στεφάνῳ κοσμήσας κατέστεψεν· εἷς δὲ καὶ αὐτὸς ηὑρέθη τῶν βασάνῳ καπνοῦ τελευτησάντων, ὡς ἐμφανίζειν ὁ λόγος ἐπείγεται.

28. Συναθροίσαντες τοιγαροῦν τοὺς πατέρας οἱ φονικοὶ καὶ ἀλάστορες, τοὺς μὲν ἐν τῇ ἐκκλησίᾳ, τοὺς δὲ ἐν τῷ ἡγουμενείῳ, οἱ λήσταρχοι αὐτῶν καὶ προύχοντες τοὺς ἐν διακρίσει φανέντας καὶ δόξαντας αὐτοὺς πρώτους τῶν μοναχῶν συλλαβόμενοι, "Ἐξαγοράσατε ἑαυτοὺς καὶ τὴν ἐκκλησίαν ὑμῶν τετρακισχιλίων νομισμάτων" ἔφησαν, "ἢ τάχιστα ὑμᾶς ἀποκεφαλισθῆναι κελεύομεν καὶ τὸν ὑμέτερον ναὸν ἐμπυρίζομεν." Οἱ δὲ πατέρες δυσωπητικῶς αὐτοὺς παρεκάλουν λέγοντες· "Φείσασθε ἡμῶν διὰ τὸν θεόν, καὶ μὴ ἀδίκως τὰ αἵματα ἡμῶν ἐκχέητε σήμερον· ἣν δὲ χρυσοῦ ποσότητα λέγετε, οὔτε κεκτήμεθα, οὔτε ἐκτησάμεθα πώποτε. Εἰ δὲ ὑμῖν ἀρέσκει, ἰδοὺ ἐπὶ ἡμῶν τὰ ἱμάτια ἡμῶν ἃ περιβεβλήμεθα· καὶ εἰς τὰ ἴδια δὲ κελλία χειραγωγοῦμεν ὑμᾶς καὶ πάντα τὰ ἡμέτερα ἀνεπικρύπτως δεικνύομεν καὶ προθύμως παρέχομεν· μόνον ἡμῖν τὸ ζῆν καὶ γυμνοῖς παρασχεῖν παρακλήθητε". Οἱ δὲ ὡς τὰ μέγιστα ἀδικούμενοι ἠγριαίνοντο, καὶ ἐν τῷ ξηροκήπῳ τοῦ ἡγουμενείου ἐξαγαγόντες αὐτοὺς ἐφώνουν κραυγῇ τοὺς Αἰθίοπας (καὶ γὰρ ἦν μετ' αὐτῶν πλῆθος Αἰθιόπων) ἀγαγεῖν τὰ ξίφη καὶ ἐλθεῖν ἐπισπεύδοντες, ὅπως αὐτόθι τοὺς πατέρας δειροτομήσωσιν. Ὡς δὲ ξιφήρεις παρέστησαν οἱ μελανοὶ καὶ ζοφεροὶ τῇ ψυχῇ καὶ τῷ σώματι, γυμνὰ τὰ ξίφη βαρβαρικῶς ὀλολύζοντες ἔσειον· καὶ τὸν οἰκονόμον δὲ σταυροειδῶς τὰς χεῖρας ἐκτείναντα πρὸς τῷ τοίχῳ ἔστησαν καὶ κατατοξεύειν ἤμελλον, ταῖς νευραῖς τὰς τῶν βελῶν γλυφίδας προσπελάσαντες καὶ τὰ τόξα τείναντες, θανατοῦν τε αὐτοὺς ἠπείλουν, εἰ μὴ οἴσωσι τὰ ὑπ' αὐτῶν ἐπιζητούμενα καὶ ἐξοίσωσι τὰ κεκρυμμένα (φασὶ) τῆς ἐκκλησίας χρυσᾶ καὶ ἀργυρᾶ σκεύη τε καὶ κειμήλια. Οἱ δὲ πατέρες πάσῃ δυνάμει πληροφορεῖν αὐτοὺς ἠγωνίζοντο, ὡς οὔτε χρυσὸν κέκτηνται οὐδὲ θησαυρὸν χρυσῶν γινώσκουσι. Καὶ "Δείξατε ἡμῖν" ἔφησαν "τοὺς παρ' ὑμῖν λογάδας

3 ἐτ. καρδ. καὶ νεφροὺς] cf. Psalm. vi, 10. 7 cod. ἡγουμενίω. 20 cod. ἡγουμενίου. 22 ἐπισπεύδοντες in codice pro ἐπισπεύδοντας. 32 χρυσῶν] cod. χρυσόν.

καὶ προύχοντας, τοὺς ταμιούχους καὶ τῶν τῆς λαύρας καὶ τῶν τῆς ἐκκλησίας ὑμῶν πραγμάτων διοικητάς τε καὶ φύλακας, ἢ αὐθωρὶ τοῦ ζῆν ὑμᾶς ἀπαλλάττομεν." Οἱ δὲ πατέρες πάλιν ἀπεκρίναντο· "Εἴπαμεν ὑμῖν καὶ ἤδη ὅτι οὐδὲν τῶν παρ' ὑμῶν ζητουμένων κεκτήμεθα· εἰ δὲ τὸν ἡγούμενον ἡμῶν ἐπιζητεῖτε, γνῶτε ὅτι ἐνταῦθα οὐ πάρεστιν· οἱ δὲ λοιποὶ πάντες ἴσοι ἐσμὲν καὶ ὁμότιμοι." Καὶ γὰρ ταῖς ἀληθείαις πρὸ καιροῦ τινος ὁ θεοφιλὴς ἡγούμενος διά τινας χρείας τῆς λαύρας ὑπῆρχεν ἀπόδημος. Ἐπὶ ὥρας οὖν ἱκανῶς αὐτοὺς ἐκφοβήσαντες πάλιν ἤγαγον καὶ ἀπήγαγον ἔξω τοῦ ἡγουμενείου ἐν εὐρυχώρῳ τόπῳ, ὅπου τὰς καμήλους ἀποφορτίζειν εἰώθασιν· κἀκεῖσε αὐτοὺς στήσαντες καὶ σχηματίσαντες τὰ αὐτὰ μετ' ὀργῆς ἠπείλουν καὶ προεβάλλοντο οἱ ἀλάστορες, καὶ αὖθις οἱ πατέρες τὰ ὅμοια αὐτοῖς ἀπελογοῦντο καὶ ἀπεκρίνοντο. Ὡς δὲ εἶδον ὅτι οὐδὲν τῶν ποθουμένων ἀνύουσι, καὶ ὅτι ἕτοιμοι εἰς τὸ ἀναιρεθῆναι παρ' αὐτῶν εἰσιν οἱ δίκαιοι, καταγαγόντες αὐτοὺς εἰς τὴν ἐκκλησίαν, ἅπαντας λοιπὸν ὁμοῦ ἀθρόως τοὺς πατέρας παρέστησαν, καὶ ἦν ἰδεῖν θέαμα ἐλεεινόν, δακρύων καὶ στεναγμῶν καὶ θρήνων ὄντας ἄξιον — — — —

29. — — — — — — ζῆν προελόμενος, ὃν τῷ καπνῷ πνίξαντες ἀπέκτειναν, ὡς ῥηθήσεται.

30. Ἀλλ' οὐδὲ τὰ κατὰ τὸν προμνημονευθέντα ἰατρόν, φημὶ δὴ ἀββᾶν Θωμᾶν, τὸν ταῖς κατὰ Χριστὸν ἀρεταῖς διαπρέποντα καὶ τὴν Παλαιὰν Λαύραν ὁσίως διέποντα σήμερον, ἄξιον σιγῇ παραδοῦναι. Ἐκ σκαιοῦ γὰρ δαίμονος ὑποβληθέντες οὗτοι οἱ τῶν δαιμόνων θεραπευταί, ἐνόμιζον χρήματα εὑρεῖν παρὰ τῷ πατρί· ἦν γὰρ καὶ ἐπίσημος. Κατὰ πρόσωπον δὲ αὐτὸν ἀγνοοῦντες περιῄεσαν ἅπαντας τοὺς πατέρας ὑποδεῖξαι αὐτοῖς τὸν ἰατρὸν ἀπαιτοῦντες. Οἱ δὲ τίμιοι πατέρες καὶ ὡς ἀληθῶς εὐγενεῖς καὶ θεοσεβεῖς καὶ φιλάδελφοι, καίπερ ἐν μέσοις αὐτὸν ἔχοντες, οὐ χειρὶ οὐ λόγῳ οὐ νεύματι αὐτὸν διεδήλωσαν· πρὸς ὅπερ μᾶλλον ἀγριωθέντες οἱ ἐκ φύσεως ἄγριοι, καὶ τὴν τῶν ὁσίων θαυμάσαντες καὶ ἐκπλαγέντες ἀγάπην καὶ φιλάδελφον σχέσιν καὶ ἕνστασιν, ἔπαιον ῥάβδοις καὶ ἔνυττον μαχαίραις καὶ βέλεσιν, ἵνα αὐτοῖς ὑποδειχθῇ ὁ ζητού-

1 cod. ταμειούχους. 10 cod. ἡγουμενίου. 18/19 infer ἄξιον et ζῆν deest folium; in marg. codicis: ζήτει φύλλ. ᾱ. 26 cod. περιῖεσαν.

μενος, καὶ οὐδὲν τὸ σύνολον ἦνυον. Ὡς οὖν ἀνήνυτα ἀπαιτοῦντες ἀπέκαμον, πάντας ὁμοῦ εἰς τὸ ἐνδότατον τοῦ σπηλαίου εἰσήγαγον.

31. Οὐκ ἄτοπον δὲ καὶ τὴν θέσιν τοῦ τόπου διαγράψαι καὶ τῷ λόγῳ ποιῆσαι τοῖς ἀγνοοῦσι κατάδηλον. Ἡ μὲν θεόκτιστος αὕτη ἐκκλησία σπήλαιον ὑπάρχει εὐρύχωρον, θέσιν ἀπὸ τῆς προνοίας τοιαύτην λαχὸν, ὡς τύπον ἐκκλησίας ἔχουσαν, καὶ διὰ τοῦτο ταύτην τὴν ἐπωνυμίαν δεξάμενον· ὡς κόγχην γὰρ κατ' ἀνατολὰς ἔχει. Κατὰ δὲ τὸ βόρειον μέρος κατάδυσίς τίς ἐστι καὶ σχῆμα ἐνδόμυχον, οὗπερ ἀποτεμόμενοί τι οἱ πρώην πατέρες διακονικὸν πεποιήκασιν, ἐσώτερον δὲ τοῦ διακονικοῦ κειμηλιαρχεῖον, ἤτοι σκευοφυλάκιον· ἔτι δὲ τούτου ἐνδότατον ῥαγὰς βαθεῖα ὡς ῥύμη τις ἀφεγγὴς καὶ στενωπὸς ὁδὸς κοχλιοειδῶς ὡς διὰ μυχῶν τινων ἐπὶ τὸ ἡγουμενεῖον ἀνάγουσα, δι' ἧς ὁ μακάριος πατὴρ ἡμῶν Σάβας ἔσθ' ὅτε εἰς τὴν ἐκκλησίαν κατῄει, ὡς καὶ ἐν τῷ αὐτοῦ βίῳ τέτακται. Μετὰ δὲ ταῦτα οἱ κατὰ καιροὺς ἡγούμενοι ἔφραξαν ἄνωθεν τὴν τοιαύτην δίοδον, καὶ ἔμεινεν ἡ αὐτὴ ῥαγὰς ἀνέκβατος καὶ ἀδιεξόδευτος καὶ σκότους βαθυτάτου ἀνάμεστος, ὡς καὶ δίχα καπνοῦ βάσανον εἶναι τὴν ἐκεῖσε κατάκλεισιν.

32. Ἐν ταύτῃ οὖν τῇ ὀπῇ καὶ τῷ χάσματι τοὺς πατέρας μετὰ βίας ἐμβαλόντες οἱ ἄθεοι, πυρκαϊὰν ἐπ' αὐτὸ τὸ στόμιον αὐτῆς ἧψαν. Ὑγρῶν δὲ ὄντων τῶν καλάμων, καπνὸν ἀπετέλουν πολύν τε καὶ ἄμετρον, ὃς περιειλούμενος ἐν τῷ τοιούτῳ στενώματι καὶ μὴ εὑρίσκων τὸ παράπαν διαπνοὴν καὶ διέξοδον, δεινῶς (οἴμοι) καὶ δυσφόρως τοὺς πατέρας ἐβασάνιζέν τε καὶ ἔπνιγεν. Ἐάσαντες οὖν αὐτοὺς ἐπὶ ὥραν ἱκανὴν οἱ ἀλάστορες πνίγεσθαι, ὕστερον ἐφώνησαν· "Ἐξέλθετε, μοναχοί, ἐξέλθετε". Ἀνάγκη δὲ πᾶσα ἦν τοῖς ἐξιοῦσι δι' αὐτῆς τῆς φλογὸς καὶ ἐσχάρας διέρχεσθαι· ἀλλ' ἅπαντα τοῦ καπνοῦ καὶ τῆς ἐκ τούτου στενοχωρίας καὶ πνιγμοῦ ἐφαίνοντο εὐφορώτερα. Ἀμέλει καὶ ἐξερχομένων τῶν ἀγωνιστῶν, πολλῶν τὰ ἴχνη καὶ αἱ τρίχες τῆς κεφαλῆς καὶ τῶν γενείων καὶ ὀφρύων καὶ βλεφάρων μετρίως περιεφλέχθησαν.

9 cod. ἀποτεμώμενοι. 12 cod. στενοπὸς. 13 cod. ἡγουμενίον. 14 cod. κατίει. 15 ἐν τῷ αὐτοῦ βίῳ] vide Cotelerii Ecclesiae graecae monumenta, t. III, p. 243—244. А. Помяловскій, Житіе св. Саввы. СПБ., 1890, p. 84—86. 31 cod. γενίων.

Ἐξελθόντες οὖν ἔρριπτον ἑαυτοὺς εἰς τὸ ὕδαφος ὠλιγορηκότες καὶ καθαροῦ σπάσαι ἀέρος καὶ ἀντιλαβέσθαι γλιχόμενοι.

33. Εἶτα πάλιν οἱ ὅῆρκιοι ἐπὶ τὴν ἐξέτασιν ἤρχοντο, ὡς δαμασθέντων ἤδη τῶν ἀθλητῶν τοῖς αἰκισμοῖς καὶ ἅπαντα εὐχερῶς ὁμολογούντων. Αὖθις δὲ ἐπηρώτων αὐτούς, "Δείξατε ἡμῖν τοὺς πρώτους καὶ ἐξάρχοντας ὑμῶν" λέγοντες "καὶ τοὺς κρυπτῆρας τῆς ἐκκλησίας, ἢ χειρόνως ὑμᾶς ἀναλώσομεν". Οἱ δὲ καὶ ἐν τοῖς δεινοῖς καὶ χαλεποῖς κινδύνοις στερροὶ καὶ καρτερικοὶ μᾶλλον τῇ εὐχῇ προσεῖχον ἢ ἐκείνοις ἀπεκρίνοντο, τοῦ μὲν "Κύριε, δέξαι μου τὴν ψυχὴν ἐν εἰρήνῃ" λέγοντος, τοῦ δὲ "Κύριε, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου", ἑτέρου "Κύριε, μνήσθητί μου ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου", καὶ ἄλλου ἄλλην ἱκετείαν τῷ θεῷ προσκομίζοντος. Πρὸς δὲ τοὺς βαρβάρους καταθύμιον οὐδὲν ἀπεφθέγγοντο, μόνα δὲ ἃ πρώην αὐτοῖς ἀπελογοῦντο, ὅτι "Εἰ μὲν τὰ ἱμάτια καὶ τὰ πράγματα τὰ ἐν τοῖς κελλίοις ἡμῶν θέλετε, ἀφθόνως καὶ ἀκωλύτως πάντα λάβετε· εἰ δὲ ἀνελεῖν ἡμᾶς ἐφίεσθε, συντόμως ἀπαλλάξατε· ἕτερον γάρ τι παρ' ἡμῶν οὐκ ἀκούσεσθε".

34. Ὡς οὖν εἶδον οἱ κύνες, ὅτι εἰκῇ καὶ δωρεὰν ὑλακτοῦσιν, ἐκπλαγέντες τῶν ἀξιοθαυμάστων τὴν πρὸς ἀλλήλους σχέσιν καὶ στοργὴν καὶ τὸ καρτερικὸν καὶ φιλάδελφον, ἀσχέτῳ μανίᾳ καὶ θυμῷ ὑπερζέσαντες, καὶ πάλιν εἰς τὸ χωνευτήριον τοὺς ἑπταπλασίως κεκαθαρμένους χρυσοῦς καὶ μηδὲν ἔχοντας νόθον ἢ κίβδηλον ἐδοκίμαζον. Τοὺς γὰρ πατέρας ἔσω εἰς τὸ στενωπὸν τοῦ σπηλαίου ὠθοῦντες καὶ τύπτοντες εἰσήλασαν, παρακαλοῦντας ἔξω μᾶλλον ἀποκτανθῆναι ἢ τοῦ προτέρου καπνώδους πνιγμοῦ πειραθῆναι. Οἱ δὲ ἀσυμπαθεῖς καὶ ἀνελεήμονες καὶ ὄντως χαλκόσπλαγχνοι διὰ πικροτέρων βασάνων τῆς ζωῆς τοὺς ἁγίους ἀπαλλάττειν ἔσπευδον. Τὸ δεύτερον τοίνυν εἰς τὸ πρότερον αὐτοὺς εἰσαγαγόντες ἄντρον, σφοδροτέρως ἐκάπνισαν, καὶ ἐπὶ πολὺ ἀφέντες, ὡς εἰκάσαι ὅτι πολλοὶ ἐξ αὐτῶν τεθνήκασιν, ἐβόησαν ἐξελθεῖν τοὺς ἁγίους· οἱ δὲ διὰ τῆς αὐτῆς φλογὸς ὡς καὶ τὸ πρὶν διαπεράσαντες, ἠμιθανεῖς εἰς τὸν καθαρὸν ἀέρα φθάνοντες, τοῦτον ἀσθμαίνοντες καὶ μεγάλα πνευστιῶντες ἀνέπνεον· μικροῦ γὰρ δεῖν ἅπαντες τὰς ψυχὰς ἀπελίμ-

10 εἰς χεῖρας—πνευμά μου] cf. Psalm. xxx, 6. 11 μνήσθητι — ἐν τῇ βασιλείᾳ σου] Luc. xxiii, 42. 22 ἑπταπλ. κεκαθαρμένους] cf. Psalm. xi, 7. 23 cod. στενοπὸν.

πανον· οἱ δέ γε εὑρεθέντες ἐνδότεροι τὴν τοῦ καπνοῦ σφοδρότητα μὴ ἐνεγκόντες, τὰς ἁγίας ψυχὰς αὐτῶν ταῖς τοῦ δεσπότου Χριστοῦ χερσὶ παρέθεντο, τῷ ἀριθμῷ εὑρεθέντες ὀκτωκαίδεκα.

35. Οἱ δὲ ὠμοὶ καὶ ἀπεσκληκότες λιθοκάρδιοι βάρβαροι οὐδὲ οὕτως τὴν ἀτίθασον γνώμην ἐκάμφθησαν καὶ ἐμαλάχθησαν· τοὺς γὰρ ἐκ τῆς πυρᾶς καὶ τοῦ καπνοῦ μόλις διασωθέντας λιποθυμοῦντας ἔτι ἠκίζοντο καὶ ἔτυπτον, κειμένοις ἐπεμβαίνοντες καὶ λακτικῶς ὡς ἡμίονοι τοῖς ποσὶ καταπατοῦντες καὶ ἐναλλόμενοι, τὰ αὐτὰ ἀπαιτοῦντες. Ὡς δὲ ἤνυον οὐδὲν τῶν ἐλπιζομένων, μᾶλλον δὲ ὡς πᾶσαν θηριώδη ἀπανθρωπίαν ἐνεδείξαντο οἱ ἐκ μήτρας ἀπηλλοτριωμένοι τοῦ θεοῦ, διασκορπισθέντες ἐν τοῖς κελλίοις καὶ λίθοις μεγίστοις τὰς θύρας κατεάξαντες καὶ συντρίψαντες, ἅπαντα τὰ ἐν αὐτοῖς καὶ τὰ ἐν τῷ ἡγουμενείῳ καὶ ἐν τῇ ἐκκλησίᾳ εὑρεθέντα πραιδεύσαντες καὶ λαφυραγωγήσαντες καὶ ταῖς καμήλοις τῆς λαύρας ἐπισάξαντες καὶ φορτώσαντες ἀνεχώρησαν.

36. Μετὰ δὲ πολλὰς τὰς ὥρας οἱ εὐσθενέστερόν πως διακείμενοι τῶν πατέρων διαναστάντες καὶ τοὺς τετρωμένους καὶ βεβαρημένους ταῖς πληγαῖς καὶ τῇ ῥύσει τοῦ αἵματος λιποθυμοῦντας ψηλαφῶντες, καὶ ὕδωρ τοῖς προσώποις ἐπιρρέοντες καὶ ποτίζοντες, τῆς ἐνδεχομένης ἠξίουν ἐπιμελείας. Περὶ δὲ τὰς τοῦ ἡλίου δυσμάς, ὡς μικρὸν ἐλώφησεν ὁ καπνός, ἅψαντες κηροὺς εἰσῆλθον εἰς τὸ στενωπὸν ἐκεῖνο τοῦ σπηλαίου καὶ ηὗρον τοὺς ἁγίους ἐπὶ πρόσωπον κειμένους, τοὺς μυκτῆρας τῷ χώματι ἐμπήξαντας, τινὰς δὲ κατὰ πρόσωπον ἑαυτῶν τοῖς περιβολαίοις ἐλίξαντας καὶ περισκεπάσαντας πρὸς τὸ καὶ ποσῶς τὴν σφοδρότητα καὶ ἀνάγκην τοῦ πνιγμοῦ διαφυγεῖν, πάντας δὲ ὅμως πρηνεῖς ἐρριμμένους νεκρούς. Ἀλλ' οἵμοι τοῦ πικροῦ καὶ ὀδυνηροῦ θανάτου· πῶς ἂν τις διαγράψοι ἢ παραστήσοι τῷ λόγῳ τὴν τοιαύτην ἀψυχαγώγητον στενοχωρίαν καὶ ἀπαράκλητον, μᾶλλον δὲ βιαίαν καὶ παμμόχθηρον τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἔξοδον, ἢ μᾶλλον ἁρμοδιώτερον εἰπεῖν ταύτης ὠθισμὸν καὶ ἐκδίωξιν; Ἐπὶ πολὺ γὰρ τὴν ἀναπνοὴν ἑαυτῶν ἐπισχεῖν οἱ παμμάκαρες μὴ δυνάμενοι διὰ τὴν τοῦ ἐμφύτου θερμοῦ πύρωσιν, τῆς καρδίας πυρπολουμένης καὶ ἕλξαι ψυχρὸν

5 cod. ἀτίθασσον. 10 ἐκ μήτρας ἀπηλλοτριωμένοι] cf. Psalm. LVII, 4. 13 cod. ἡγουμενίω. 21 cod. ἐλόφησεν. 22 cod. στενοπόν. 26 cod. ἐρριμένους.

καὶ ἀθόλωτον ἀέρα κατεπειγούσης, ὡς μόνον τοὺς πόρους τοῦ στόματος καὶ τῶν μυκτήρων ἐγύμνουν καὶ ἤνοιγον, ἀντὶ παραψυχῆς καὶ ἀναψύξεως πνιγμονὴν καὶ σκοτοδινίαν καὶ ἴλιγγα ἐπεσπῶντο καὶ ἐπεσύροντο· τοῦ γὰρ καπνοῦ τοῖς πόροις καὶ ταῖς φυσικαῖς ὁπαῖς καὶ διατρήσεσιν ἐμφιλοχωροῦντος καὶ τὸν θώρακα πληροῦντος, ἔτι τε διηθουμένου διὰ τῶν ἡθμοειδῶν μορίων καὶ εἰς τὰς τοῦ ἐγκεφάλου μήνιγγας ἀναδιδομένου καὶ καιρίως δριμύσσοντος καὶ τὸ ζωτικὸν αἷμα συνέχοντος καὶ συνθλίβοντος παντὸς πόρου, θανάτου (ὥς γέ μοι δοκεῖ) βιαιοτέραν καὶ συντονωτέραν καὶ σκυθρωποτέραν ἐπάγει τὴν τελευτὴν καὶ τὴν ἐκ τοῦ συζύγου σώματος τῆς ψυχῆς ἀναχώρησιν, ἀναγκαστικῶς τῆς θεοδέτου συμφυΐας καὶ συναφείας καὶ ἑνώσεως διαλυομένης καὶ ῥηγνυμένης πολεμικῶς ἄγαν καὶ τυραννικῶς. Ὦ τῆς κατὰ τοῦ θεοῦ τόλμης· ὦ τῆς ἀφειδίας καὶ ἀσυμπαθείας τῶν βροτοκτόνων. Πῶς οὐκ ἐνάρκησαν τὸ τοῦ θεοῦ πλάσμα διχοτομῆσαι καὶ ὅπερ ὁ δημιουργὸς ἀπορρήτῳ σοφίᾳ συνέδησε καὶ συνέζευξε διαζεῦξαι καὶ χωρίσαι καὶ διελεῖν οἱ ὄντως θεομάχοι ἠβουλήθησαν;

37. Ἀλλ' ἐπὶ τὸν εἱρμὸν τῆς διηγήσεως τὸν δρόμον τοῦ λόγου ἰθύνωμεν. Τούτους τοὺς μακαρίους μόγις οἱ πατέρες ἐξαγαγόντες (ἔτι γὰρ ὁ καπνὸς τῷ τόπῳ περιειλούμενος ἀνεστρέφετο), μετὰ δακρύων καὶ θρήνων καθεξῆς ἔθηκαν ἐν τῇ αὐλῇ τῆς ἐκκλησίας, συνάψαντες αὐτοῖς καὶ τὸν καρατομηθέντα ἀββᾶν Σέργιον τὸν μακάριον ἐννεακαιδέκατον, περὶ οὗ ἐν τοῖς ἔμπροσθεν εἰρήκαμεν. Φρικτὸν δὲ ἦν ἰδεῖν θέαμα τοσούτους τραυματίας καθεύδοντας καὶ νεκροὺς καθεξῆς κειμένους ἐφάπαξ καὶ ὑφ' ἓν ἀνῃρημένους. Κοπετὸν οὖν καὶ ὀδυρμὸν μέγαν ποιήσαντες, καὶ τὸν συνήθη κανόνα ἐπιτελέσαντες, ἐν μιᾷ θήκῃ αὐτοὺς ἐπαλλήλους κηδεύσαντες κατέθηκαν, οὐ συνήθως, καθάπερ ἐπὶ τῶν ἄλλως τετελευτηκότων, λούσαντες ἢ ἐνταφιάσαντες, ἀλλ' αὐτοῖς ἱματίοις ἡμαγμένοις ἐνθάψαντες ἀδίκως ὑπὸ ἀδίκων βαρβάρων ἀναιρεθέντας, βιαίως τοῦ ζῆν ἐξωσθέντας καὶ ἐκβληθέντας διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, παντὶ τῷ κόσμῳ χαίρειν εἰπόντας καὶ πάσαις ταῖς τοῦ κόσμου ἡδοναῖς καὶ εὐφροσύναις ἀποταξαμένους διὰ Χριστόν, ἐν ἐρημίᾳ

6 cod. διιθουμένου δ. τ. ἰθμοειδῶν. 27 cod. ἐπ' ἀλλήλους.

τοιαύτῃ χαλεπῇ καὶ τραχυτάτῃ καὶ πάσης σωματικῆς θυμηδίας καὶ παρακλήσεως ἀπηλλαγμένῃ τὴν ἑαυτῶν ζωὴν δαπανήσαντας, ἐν ἀσκήσει καὶ σκληραγωγίᾳ τὰ πάθη νικήσαντας καὶ νεκρώσαντας, νηστείαις καὶ χαμευνίαις καὶ ἀγρυπνίαις τὸ σῶμα μαράναντας καὶ τὴν τῆς σαρκὸς ἡδυπάθειαν δι' ἀποχῆς τῶν ἡδυνόντων ἐκκλίναντας, μελέτῃ θείων λογίων καὶ γραφῶν ἱερῶν ἀναγνώσμασι καὶ ἀκροάσεσι τὰς ἀρετὰς ἐν ταῖς ἑαυτῶν ψυχαῖς εἰσοικισαμένους καὶ θησαυρίσαντας, τὸν θεὸν καὶ τὸν πλησίον ὑπὲρ ἑαυτοὺς ἀγαπήσαντας διὰ τὸν Χριστὸν καὶ τὴν τῶν πλησίον ἀγάπην πικρῷ θανάτῳ ἑαυτοὺς παραδεδωκότας, πολλὰς θλίψεις καὶ φόβους καὶ ἀπειλὰς καὶ βασάνους πρὸ τοῦ θανάτου τῆς πείρας διὰ τὸν δεσπότην γεγευμένους, τὸν καλὸν ἀγῶνα τῆς εὐσεβείας ἠγωνισμένους, τὸν δρόμον τῆς ἀσκήσεως τετελεκότας, τὴν πίστιν μέχρις ἐσχάτων ἀναπνοῶν τετηρηκότας, τὸν τῆς δικαιοσύνης ὁμοῦ καὶ τοῦ μαρτυρίου στέφανον τέλειον παρὰ τῆς παντοκρατορικῆς δεξιᾶς κεκομισμένους.

38. Τίς γὰρ ἔτι ἀμφιβάλλει μετὰ μαρτύρων αὐτοὺς μὴ τετάχθαι; ἢ τίς μάρτυρας ὁμοίως τελείους ὀνομάζειν αὐτοὺς ὀκνεῖ καὶ ἀναβάλλεται; οὐ ποικίλας βασάνους ὑπέμειναν; οὐκ ἀδίκως διὰ τὴν τοῦ Χριστοῦ ἐντολὴν ἀνῃρέθησαν; ἢ μόνοι οἱ διὰ τὸ μὴ εἰδωλολατρῆσαι καὶ τὸν Χριστὸν ἐξαρνήσασθαι ἀναιρούμενοι μάρτυρες καλεῖσθαι ὀφείλουσιν; Ἐγὼ δὲ λέγω, τοῖς τῶν σοφῶν καὶ θεηγόρων διδασκάλων ἑπόμενος λόγοις καὶ πειθόμενος, ὅτι καὶ πᾶς ὁ διὰ μίαν ἐλαχίστην τῶν τοῦ Χριστοῦ ἐντολῶν, ἵνα αὐτὴν στήσῃ ἢ ἵνα ταύτην μὴ παραλύσῃ, ἀναιρούμενος τέλειος μάρτυς ἐστὶ καὶ ἀναγορεύεται, καὶ τέλειον τὸν τοῦ μαρτυρίου ἀποφέρεται στέφανον, καὶ εἰ μὴ τολμηρὸν εἰπεῖν, μᾶλλον δὲ θαρρούντως καὶ σὺν παρρησίᾳ λεκτέον, ὅτι οἱ διὰ τήρησιν τῶν τοῦ Χριστοῦ ἐνταλμάτων φονευόμενοι μείζους εἰσὶ τῶν ἁπλῶς διὰ τὴν εἰς αὐτὸν πίστιν ἀναιρουμένων. Τὸ μὲν γὰρ τῆς τοῦ θεοῦ ἀρνήσεως ἀδρὸν ὂν καὶ μέγα καὶ φανερὰν τὴν ἀπώλειαν ἔχον, καὶ αὐτὰς τὰς νωθροτέρας καὶ ἀναπεπτωκυίας ψυχὰς πολλάκις πρὸς ζῆλον διεγείρει καὶ ἀγανάκτησιν· τὸ δὲ ὑπὲρ ἀρετῆς προκινδυνεῦσαι τῶν λίαν ἰσχνῶν καὶ

7 cod. εἰσηκησαμένους. 12/16 τὸν καλὸν ἀγῶνα — κεκομισμένους] cf. Tim. 2, IV, 7—8. 27 cod. συμπαρρησία.

ὑψηλῶν καὶ ἀνηγμένων ἐστὶ τὴν διάνοιαν. Καὶ τούτου μάρτυς καὶ διδάσκαλος ὁ ἀπόστολος φάσκων· "μόλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται, ὑπὲρ δὲ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν". Καὶ εἰ "ὁ λύων μίαν τῶν ἐντολῶν μου τῶν ἐλαχίστων", φησὶν ὁ κύριος, "ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν", δῆλον ὅτι ὁ μίαν καὶ πασῶν μάλιστα τὴν περιεκτικωτάτην συνιστῶν μέγιστος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν κληθήσεται· ὁ γὰρ ὑπὲρ τῆς τοῦ Χριστοῦ ἐντολῆς ἀποθνήσκων, πολλῷ μᾶλλον ὑπὲρ αὐτοῦ ἂν ἀποθανεῖται· ὁ μὲν γὰρ δι' ἐντολὴν τοῦ Χριστοῦ ἀποθνήσκων καὶ δι' αὐτὸν ἀποθάνοι δῆλον ὅτι, ὁ δὲ δι' αὐτὸν ἀποθανεῖν προαιρούμενος οὐ πάντως ὅτι καὶ διὰ τὰς αὐτοῦ ἐντολὰς τεθνήξεται. Γνώρισμα δὲ καὶ σημεῖον τῆς πρὸς αὐτὸν ἀγάπης ἡ τῶν προσταγμάτων αὐτοῦ τήρησις· "ὁ γὰρ ἀγαπῶν με", φησί, "τὰς ἐντολάς μου τηρήσει". Ποία δὲ τῶν αὐτοῦ σωτηριωδῶν ἐντολῶν ἡ μείζων ἢ περιεκτικωτέρα, ἄκουσον αὐτοῦ τοῦ κυρίου λέγοντος τῷ ἐπερωτῶντι αὐτῷ Φαρισαίῳ· "Διδάσκαλε, ποία ἐντολὴ πρώτη ἐν τῷ νόμῳ"; τὸ δὲ "πρώτη" ἐνταῦθα τὸ ἐξαίρετον δηλοῖ· ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· "Ἀγαπήσεις κύριον τὸν θεόν σου καὶ τὸν πλησίον σου ὡς σεαυτόν· ἐν γὰρ ταῖς δυσὶν ἐντολαῖς ταύταις ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται". Καὶ ὁ ἀπόστολος· "πλήρωμα οὖν νόμου ἡ ἀγάπη". Ὁ δὲ κύριος ἐπιτείνων τὴν νομικὴν ἐντολὴν τὴν φάσκουσαν "Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν", καὶ τὸν τελειότατον καὶ ἀκρότατον αὐτῆς ὅρον νομοθετῶν φησί· "μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ". Ὁ γὰρ ἀποθνήσκων ὑπὲρ τοῦ πλησίον αὐτοῦ, οὐ μόνον ὡς ἑαυτὸν ἀλλὰ καὶ πλέον ἑαυτοῦ ἠγάπησεν αὐτόν· ὅπερ προφανῶς καὶ ἀναντιρρήτως οὗτοι οἱ τρισμακάριστοι πεποιήκασιν· ἐλέγετο γὰρ αὐτοῖς ὑπὸ τῶν μιαιφόνων· "Ὦ ταπεινοὶ καὶ ἄθλιοι, ὑποδείξατε ἡμῖν τοὺς πρωτεύοντας ἐν ὑμῖν καὶ ἀπολύομεν ὑμᾶς, ἐπεί τοί γε φονεύομεν ὑμᾶς". Εἵλοντο οὖν οἱ τοῦ Χριστοῦ στρατιῶται μᾶλλον ἀποθανεῖν ἤπερ τοὺς ἀδελφοὺς αὐτῶν καὶ πατέρας κολάσει παραδοῦναι.

2 ἀπόστολος] cf. Rom. v, 7. 4/5 Matth. v, 19. 13/14 cf. Iohan. xiv, 15. 16/20 Matth. xxii, 36—40. 21 Rom. xiii, 10. 22 Levit. xix, 18. 24/25 Iohan. xv, 13. 31 cod. εἴπερ.

39. Ἐγὼ δὲ καὶ τρίπλοκον αὐτοῖς ἀθλήσεως καὶ μαρτυρίου στέφανον ἀναδήσασθαι φημί, πρῶτον μὲν ὅτι διὰ Χριστὸν ἀνῃρέθησαν· εἰ γὰρ διὰ Χριστὸν ταύτην τὴν ἔρημον ᾤκησαν, πάντα ὅσα ἐν αὐτῇ πάσχουσι, δι' αὐτὸν δῆλον ὅτι ὑφίστανται. Δεύτερον, ὅτι διὰ τὴν λαύραν καὶ τὴν αὐτῆς σύστασιν καὶ τοὺς ἐν αὐτῇ σῳζομένους, ὡς ἀνωτέρω δέδεικται, ἑαυτοὺς παραδεδώκασιν· ἐνῆν γὰρ αὐτοῖς τόπος καὶ καιρὸς φυγῆς, εἴπερ ἐβούλοντο, ἀλλ' ἐμνήσθησαν καὶ ἔπαθον τὸ τοῦ εἰρηκότος· "Ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέν με". Εἰ γὰρ Ναβουθαὶ ὑπὲρ τοῦ μὴ πατρῴαν γῆς κληρονομίαν παραδοῦναι μηδεμίαν σωτηρίαν ψυχῆς παρέχουσαν κατελεύσθη, πόσῳ μᾶλλον οὗτοι ὑπὲρ τοῦ οἴκου τοῦ θεοῦ ἠγωνισμένοι ἀποδεκτέοι καὶ ἐπαινετοὶ καθεστήκασι; Τρίτον, ὅτι διὰ τοὺς αὐτῶν ἀδελφοὺς καὶ πατέρας ἀποθανεῖν ᾑρετίσαντο· ὁ δὲ ὑπὲρ συνδούλου καὶ ὁμοδούλου ἀποθνῄσκων, πῶς οὐχὶ πολλῷ πλέον ὑπὲρ τοῦ ἰδίου δεσπότου μυριάκις ἂν τεθνήξοιτο; Εἰ δὲ μόνοι οἱ ὑπὲρ πίστεως ἀθλοῦντες εἶεν ἂν καὶ κληθεῖεν μάρτυρες, οὐκ ἐν μάρτυσι τετάξεται καὶ λογισθήσεται Ἰωάννης ὁ Πρόδρομος, ὁ διὰ τὸ μὴ παρασιωπῆσαι ἑνὸς ἀνδρός, τοῦ Ἡρῴδου, μίαν παρανομίαν καρατομηθείς; οὐ γὰρ διὰ πίστιν ἀνῄρηται. Τί δὲ οἱ Μακκαβαῖοι; οὐχ ἵνα μὴ μίαν ἐλαχίστην τῶν τοῦ νόμου ἐντολῶν παρέλθωσι, ταῖς τοσαύταις ἀνηκέστοις βασάνοις καὶ αἰκισμοῖς ἑαυτοὺς παραδεδώκασι; Τί γὰρ τοσοῦτον κακὸν ἦν τὸ ὑείων κρεῶν ἀπογεύσασθαι, ὅπου γε "οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον"; Καὶ οἱ ἐν τῷ ἁγίῳ ὄρει τῷ Σινὰ καὶ ἐν τῇ Ῥαϊθοῖ ἀναιρεθέντες πατέρες ἅγιοι οὐχὶ χρήματα ἀπαιτούμενοι, ἅπερ οὐκ εἶχον, ἀδίκως ὑπὸ τῶν βαρβάρων ἐσφάγησαν, ὧν κατ' οὐδένα τρόπον ἐλάττους ὑπάρχουσιν οἱ παρ' ἡμῶν εὐφημούμενοι πατέρες σήμερον; Ἰωάννης δὲ ὁ Χρυσόστομος, ὁ τῆς Ἐκκλησίας φωστὴρ φαεινότατος καὶ τῆς οἰκουμένης ἁπάσης διδάσκαλος, οὐ δι' ἀρετῆς ἀντιποίησιν ὑπερορίαν κατεδικάσθη καὶ τοσούτους πειρασμοὺς καὶ κινδύνους μέχρι τελευτῆς ἀνέτλη; Ἆρα οὖν, ἐπειδή περ οὐχ ὑπὲρ

1 cod. τρίπλωκον. 8/9 Psalm. LXVIII, 10. Iohan. II, 17. 9 cod. ναβουθὲ || cf. Reg. 3, XX, 1—13. 12 cod. ἀποδεκταῖοι. 13 cod. ἠρετήσαντο. 17 Ἰω. ὁ Πρόδρομος] cf. Matth. XIV, 1—12. 22 ὑείων κρεῶν ἀπογεύσασθαι] cf. Maccab. 2, VI, 18—31. VII, 1. 23 Matth. XV, 11.

πίστεως ἠγώνισται, παρὰ τοῦτο φήσομεν αὐτὸν τῶν γερῶν καὶ μισθῶν μαρτυρικῶν ἀποστερεῖσθαι; Ἄπαγε, οὐχ ὑγιαίνοντος ὁ νοῦς, παραφρονοῦντος ὁ λογισμός.

40. Τὸ δὲ ξένον ἀληθῶς τοῦ πράγματος καὶ ἐξαίσιον, ὅτι οὐ πάντες ἦσαν τῇ θεωρίᾳ καὶ γνώσει τέλειοι, ἀλλ' ὑπῆρχον ἐν αὐτοῖς ἰδιῶται τῷ λόγῳ καὶ ἀρχάριοι. Ὅμως δ' οὖν ἦσαν ἅπαντες προπεπαιδευμένοι παθῶν κρατεῖν καὶ δουλαγωγεῖν τὸ φιλήδονον καὶ φιλόζωον καὶ ἐμπαθὲς τῆς σαρκὸς φρόνημα, τὸ συνηδόμενον κατὰ τὸν ἔσω ἄνθρωπον τῷ νόμῳ τοῦ θεοῦ νοΐ· ἡ δὲ τὰ κρυφῇ θεραπεύουσα καὶ τοὺς νηπίους ἀρτίφρονας ἀποτελοῦσα χάρις τοῦ πνεύματος, ἡ διδάσκουσα τὸν ἄνθρωπον γνῶσιν, τὰς προθέσεις αὐτῶν ἀποδεξαμένη ἐνίσχυσε καὶ τετελείωκε καὶ ὁλοκλήρων καὶ ἀπηρτισμένων τῶν βραβείων καὶ στεφάνων ἠξίωσεν. Ἀλλὰ μὴν οὐδὲ οἱ ἔτι ἐν τῷ βίῳ περιόντες καὶ ζῆν περιλελειμμένοι τῶν τοῦ μαρτυρίου εὐκλεῶν ἐπάθλων καὶ ἀντιδόσεων ἀπηξίωνται. Εἰ γάρ, καθώς που φησὶν ὁ θεηγόρος Βασίλειος, "μακάρισον γνησίως τὸν μαρτυρήσαντα, ἵνα γένῃ μάρτυς τῇ προαιρέσει καὶ ἐκβῇς χωρὶς διωγμοῦ, χωρὶς πυρός, χωρὶς μαστίγων, τῶν αὐτῶν ἐκείνοις μισθῶν ἠξιωμένος", πῶς οὐ δικαιότερον μάρτυρες μᾶλλον καὶ ὁμολογηταὶ καλοῖντο οἱ διὰ ποικίλων ἄθλων καὶ ἀγωνισμάτων πρὸς τὸν ἀντίπαλον ἀντιταξάμενοι καὶ τοῖς οἰκείοις φοινιχθέντες αἵμασι καὶ ἀλγεινότερα τυχὸν ὑποστάντες τῶν τῇ τελευτῇ ἀφῃρημένων τὴν αἴσθησιν; Καὶ γὰρ ἄλλην ἄλλως τὰς πληγὰς χαλεπὰς δεδεγμένοι, καὶ οἱ μὲν τὰς χεῖρας, οἱ δὲ τοὺς πόδας ἢ ἄλλο τι μέρος τοῦ σώματος, οἱ πλεῖστοι δὲ τὰς κεφαλὰς κατεαγμένοι καὶ περιτεθραυσμένοι, ἐπὶ καιρὸν οὐκ ὀλίγον ὑπὸ τοῦ προμνημονευθέντος ἀρίστου ἰατροῦ εὐλαβεστάτου ἀββᾶ Θωμᾶ εὐστοχώτατα μὲν καὶ ἐπιστημονικῶς, ὀδυνηρῶς δὲ καὶ ἐπιπόνως ἄγαν ἰατρευόμενοι διετέλεσαν καὶ διήρκεσαν· τὰς γὰρ πληγὰς περιξαίνων καὶ τὸ τῆς κορυφῆς ὀστέον ἀπογυμνῶν, διὰ τρυπάνης καὶ σμίλης, σφύρας τεκτονικῆς κρουομένης, τὰ κατεαγμένα καὶ διαθραυσθέντα ὀστάρια ἀφῄρητο, ὡς καὶ αὐτὸν φαίνεσθαι τὸν περιέχοντα τὸν ἐγκέφαλον ὑμένα, ἀναβρύειν τε πολλάκις ἰχῶρας καὶ πύα. Τοῦτο δὲ οὐχ εἷς

8 συνηδόμενον - θεοῦ] cf. Rom. VII, 22. 15 cod. ἀπηξίοντ̣αι. 16/19 vide Migne Patrol. graec. t. 31, col. 508B. 29 cod. περιξένων.

ἢ δύο, ἀλλὰ καὶ πλεῖστοι πεπόνθασιν. Ἀμέλει γέρων τις ἀκέραιος τῷ τρόπῳ ξίφει τὴν χεῖρα πληγεὶς καὶ τοῦ ἰατροῦ ὡς ἀπογνωσθείσης τῆς θεραπείας βουληθέντος διὰ πρίονος ἐκ τοῦ ὤμου ἀποκόψαι αὐτήν, θεασάμενος ἃς πάσχουσιν ὀδύνας οἱ πατέρες ἰατρευόμενοι, μὴ ἐνεγκὼν τὸ χαλεπὸν τῆς περιποιήσεως, τὴν ἰατρείαν παντελῶς παρητήσατο. Σήψεως δὲ γενομένης καὶ σκωλήκων ἀναβρασάντων αὐτῷ, μεθ' ἡμέρας οὐ πολλὰς τοῦ πολυπαθοῦς καὶ γεώδους σαρκίου πρὸς τὸν Χριστὸν εἰς ἄπονον λῆξιν ἐξεδήμησε καὶ τοῖς ἁγίοις προστέθειται μάρτυσι, τὸν τῆς εἰκάδος αὐτοῖς ἀριθμὸν ἀναπληρώσας, καθάπερ καὶ τῶν πάλαι ἁγίων τεσσαράκοντα μαρτύρων ὁ φρουρὸς τὴν τεσσαρακοντάδα ἐσφράγισεν.

41. Ἀλλ' ἵνα μή τις οἴκοθεν ἡμᾶς ἀποφαινομένους τὴν τῶν μαρτύρων τοῖς μακαρίοις τούτοις προσωνυμίαν καὶ κλῆσιν ὑποτιθέναι ὑπολάβοι ἑαυτοῖς πως χαριζομένους, αὐτὸν τὸν τῆς Ἐκκλησίας διδάσκαλον, Ἰωάννην φημὶ τὸν Χρυσόστομον, εἰς παράστασιν τῶν λελεγμένων παράγομεν, ταῦτα κυροῦντα καὶ βεβαιοῦντα τρανότατα. Ἐν τῷ λόγῳ τοίνυν τῷ κεφαλαιωδῶς αὐτῷ πονηθέντι πρὸς τοὺς ῥᾳδίως σκανδαλιζομένους, ἐν κεφαλαίῳ ἐννεακαιδεκάτῳ, αὐταῖς λέξεσι τοιαῦτα διέξεισιν· "Οὐ γὰρ δὴ μόνον ἐκεῖνοι οἱ εἰς δικαστήρια ἑλκυσθέντες καὶ θῦσαι κελευσθέντες καὶ μὴ πεισθέντες, παθόντες ἅπερ ἔπαθον, μάρτυρες ἂν εἶεν, ἀλλὰ κἀκεῖνοι οἱ ὑπὲρ τῶν τῷ θεῷ δοκούντων παθεῖν τι καταδεξάμενοι· καὶ εἴ τις μετὰ ἀκριβείας ἐξετάσειεν, οὗτοι μᾶλλον ἢ ἐκεῖνοι. Οὐ γάρ ἐστιν ἴσον ὀλέθρου τοιούτου καὶ ἀπωλείας ψυχῆς προτεινομένης καταδέξασθαι παθεῖν τι καὶ μὴ παραπολέσθαι καὶ ὑπὲρ ἐλάττονος κατορθώματος τὴν αὐτὴν ὑπομεῖναι τιμωρίαν. Ὅτι δὲ οὐχ οἱ σφαγέντες μόνον, ἀλλὰ καὶ οἱ παρεσκευασμένοι καὶ γενόμενοι πρὸς τοῦτο ἕτοιμοι μαρτυρίου στέφανον ἀνεδήσαντο, τοῦτό τε αὐτὸ καὶ ὃ πρότερον εἴρηκα, ὅτι περ καὶ ὁ ὑπὲρ ἐλαττόνων σφαγεὶς μάρτυς ἐστὶν ἀπηρτισμένος, ἀπὸ τῆς Παύλου φωνῆς ἀποδεῖξαι πειράσομαι. Ἀρξάμενος γὰρ ἀπαριθμεῖσθαι τοὺς ἐπὶ τῶν προγόνων λάμψαντας ὁ μακάριος Παῦλος, καὶ τὴν ἀρχὴν ἀπὸ τοῦ Ἄβελ ποιησάμενος, εἶτα προελθὼν εἰς τὸν Νῶε, τὸν Ἀβραάμ, τὸν Ἰσαάκ, τὸν Ἰακώβ,

3 cod. πρίωνος. 16/17 cod. τρανώτατα. 19 οὐ γὰρ etc.] vide Migne Patrol. graec. t. 52, col. 519.

τὸν Μωυσέα, τὸν Ἰησοῦν, τὸν Δαυίδ, τὸν Σαμουήλ, τὸν Ἠλίαν, τὸν Ἐλισσαιέ, ἐπήγαγε λέγων: Τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων. Καίτοι γε οὐ πάντες ἐσφάγησαν οὗτοι, μᾶλλον δὲ οὐδὲ εἷς, πλὴν δύο ἢ τριῶν, τοῦ Ἄβελ, τοῦ Ζαχαρίου, τοῦ Ἰωάννου, οἱ δὲ ἄλλοι πάντες οἰκείᾳ τελευτῇ τὸν βίον κατέλυσαν. Καὶ Ἰωάννης δὲ αὐτὸς οὐ θῦσαι κελευσθεὶς καὶ μὴ καταδεξάμενος ἐσφάγη, οὐδὲ εἰς βωμὸν ἀχθείς, οὐδὲ πρὸς εἴδωλον ἑλκυσθείς, ἀλλ' ὑπὲρ ῥήματος ἑνός. Ἐπειδὴ εἶπεν τῷ Ἡρῴδῃ: Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου, καὶ τὸ δεσμωτήριον ᾠκησε καὶ τὴν σφαγὴν ἐκείνην ὑπέμεινεν. Εἰ δὲ ὁ γάμον παρανομούμενον ἐκδικήσας τό γε εἰς αὐτὸν ἦκον (οὐ γὰρ διώρθωσε τὸ κακῶς γεγενημένον, ἀλλ' εἶπεν μόνον, παῦσαι δὲ οὐκ ἴσχυσεν), εἰ τοίνυν ὁ μόνον εἰπὼν καὶ μηδὲν οἴκοθεν ἢ τοῦτο ἐνεγκών, ἐπειδὴ ἀπετμήθη μάρτυς καὶ μαρτύρων ὁ πρῶτος, οἱ τοσαύτας σφαγὰς ὑπομείναντες καὶ οὐχὶ πρὸς Ἡρῴδην ἀλλὰ πρὸς τοὺς κρατοῦντας τῆς οἰκουμένης ἁπάσης ἀποδυσάμενοι, καὶ οὐχὶ γάμῳ παρανομουμένῳ ἀλλὰ νόμοις πατρῴοις καὶ θεσμοῖς Ἐκκλησίας ἐπηρεασθεῖσι παραστάντες, καὶ διὰ τῶν ῥημάτων καὶ διὰ τῶν πραγμάτων τὴν παρρησίαν ἐπιδειξάμενοι καὶ καθ' ἑκάστην ἡμέραν ἀποθνήσκοντες, καὶ ἄνδρες καὶ γυναῖκες καὶ παῖδες, πῶς οὐκ ἂν εἶεν δίκαιοι μυριάκις εἰς τὸν τῶν μαρτύρων καταλεγῆναι χορόν; Ἐπεὶ καὶ ὁ Ἀβραὰμ μὴ σφάξας τὸν υἱὸν ἔσφαξε, καὶ φωνῆς ἤκουσεν ἄνωθεν λεγούσης, ὅτι Οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ. Οὕτως πανταχοῦ καὶ ἡ γνώμη, ὅταν ἀπηρτισμένη ᾖ ἐπὶ τῆς ἀρετῆς, ὁλόκληρον λαμβάνει τὸν στέφανον. Εἰ δὲ ἐκεῖνος υἱοῦ μὴ φεισάμενος οὕτως ἀνεκηρύττετο, οὗτοι οἱ ἑαυτῶν μὴ φεισάμενοι ἐννόησον πόσον ἔλαβον μισθόν, οὐ μίαν καὶ δύο καὶ τρεῖς ἡμέρας, ἀλλ' ὁλόκληρον τὸν ἐνιαυτὸν ἐπὶ τῆς παρατάξεως ἱστάμενοι ταύτης, βαλλόμενοι λοιδορίαις ὕβρεσιν ἐπηρείαις συκοφαντίαις· οὐδὲ γὰρ τοῦτο μικρόν· διὸ καὶ Παῦλος αὐτὸ θαυμάζει λέγων: Τοῦτο μὲν ὀνειδισμοῖς καὶ θλίψεσι θεατριζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτως πασχόντων

2 τοιγαροῦν - μαρτύρων] Hebr. xii, 1. 9 cf. Matth. xiv, 4. 18 cod. ἐπιρεασθεῖσι. 23/24 Gen. xxii, 12. 31 Τοῦτο — γενηθέντες] Hebr. x, 33.

γενηθέντες. Τί ἄν τις εἴποι τοὺς καὶ αὐτοὺς ἀποθνήσκοντας καὶ τοὺς τοιαῦτα ἀθλοῦντας ἀλείφοντας";

42. Ἠκούσατε, ἀδελφοὶ καὶ πατέρες, τῆς μεγαλοφωνοτάτης σάλπιγγος τῆς Ἐκκλησίας διαρρήδην τὰ ἡμέτερα κρατυνούσης καὶ σφραγιζούσης. Κεκαλλώπισται ὁ εὐτελὴς καὶ ἄμορφος ἡμῶν λόγος τῇ ὑψηγορίᾳ τοῦ διδασκάλου καθωραϊσθείς, ὡς διάδημα πολυτίμητον δεξάμενος σμάραγδον. Ἀποδέδεικται καὶ κεκύρωται ἃ προειρήκαμεν τῇ ἀξιοπιστίᾳ τοῦ θεοφόρου καὶ χριστοκήρυκος, καὶ πλέον ἤπερ ἠβουλόμεθα· ὅπου γὰρ Ἰωάννης ὁ τέττιξ τῆς Ἐκκλησίας ταῦτα διδάσκει, τίνος ἔτι ἡ γνώμη περὶ τούτων μένει ἀμφίβολος;

43. Πρὸς δήλωσιν δὲ καὶ πίστωσιν τῆς θεοτερποῦς τῶν μακαρίων τούτων ἀναλύσεως καὶ πρὸς τὸν σωτῆρα Χριστὸν ἐνδόξου ἀποδοχῆς καὶ παρρησίας, παράδοξόν τι καὶ ὑπερφυὲς θαῦμα κατ' ἐκείνην τὴν τῆς ἀθλήσεως τῶν ἁγίων ἡμέραν φανῆναι ὁ τῶν θαυμασίων θεὸς ᾠκονόμησεν· οὗπερ δύο τινὲς θεαταὶ καὶ μάρτυρες γεγόνασιν ἀξιόχρεοι. Μετὰ γὰρ τὴν ἐκ τοῦ βασανιστηρίου ἄντρου ἐκείνου δευτέραν ἔξοδον τῶν πατέρων, ἐναπομεινάντων ἐκεῖσε νεκρῶν τῶν μακαρίων μαρτύρων, ὡς ἤταζον αὐτοὺς οἱ ἀλιτήριοι, καθὰ προείρηται, ὁρᾷ τις τῶν ἀδελφῶν τινα τῶν κεκοιμημένων καὶ ἔνδον ἐν τῷ ἄντρῳ κειμένων, Κοσμᾶν προσαγορευόμενον, ἔμπροσθεν τοῦ ἱερατείου παρὰ μέρος ἱστάμενον, ἐλαίῳ τὴν κεφαλὴν ἠλειμμένον, φαιδρὸν δὲ καὶ λαμπρὸν ἄγαν καὶ ὑπέρυθρον τῷ προσώπῳ, ἱλαρὸν καὶ γεγηθότα τῇ θέᾳ, καὶ "Ἐθαύμαζόν" φησι "καθ' ἑαυτὸν διαλογιζόμενος πρῶτον μὲν τὸ τῆς ὄψεως φαιδρὸν καὶ περιχαρὲς ἐν τοιούτῳ καιρῷ καὶ τόπῳ μάλιστα, δεύτερον δὲ τὸ πῶς" φησιν "οὐ μεθ' ἡμῶν ἀγαγόντες ἐτάζουσι καὶ κολάζουσιν, ἀλλ' ἀφῆκαν αὐτὸν καταμόνας ἱστασθαι οὕτως ἀδεῶς καὶ ἀνενοχλήτως". Οὐδέπω γὰρ τέως ᾔδει ὁ ἀδελφός, ὅτι εἷς ἐστι τῶν ἔνδον κειμένων νεκρῶν ὁ ὁραθείς.

44. Μετὰ δὲ τὴν τῶν ἀσεβῶν ἀναχώρησιν γέρων τις τῶν πατέρων ἡσυχαστὴς καὶ πολλοὺς χρόνους ἐν ταῖς ἐρήμοις τῷ θεῷ εὐαρεστήσας, Σέργιος τῷ ὀνόματι, πενθῶν καὶ ὀδυρόμενος ἐπὶ πᾶσι

17 cod. ἀξιώχρεοι.

τοῖς συμβεβηκόσι τούτοις ἀνιαροῖς, οὐχ ἧκιστα διὰ τὴν τελευτὴν τῶν μακαρίων, ἄψας λαμπάδα εἰς τὴν θεόκτιστον εἰσῆλθεν ἐκκλησίαν, βουλόμενος ἐνδότατον χωρῆσαι (καὶ θεάσασθαι) τίνες ἂν καὶ πόσοι εἶεν οἱ κοιμηθέντες πατέρες, καὶ ὁρᾷ τὸν ἀββᾶν Κοσμᾶν τοῦτον, ὃν καὶ ὁ ἀδελφὸς τεθέαται, ἐξιόντα ἀπὸ τοῦ ἄντρου ἐν τοιούτῳ λαμπρῷ καταστήματι· καὶ βαλόντων ἀλλήλοις μετάνοιαν συνήθως, ὁ ἀββᾶς Κοσμᾶς προσανεχώρησεν εἰς τὸ ἱερατεῖον, τοῦτον εἰπὼν τὸν λόγον· "Εὖξαι ὑπὲρ ἐμοῦ". Εἰσελθὼν οὖν ὁ ἀββᾶς Σέργιος μετὰ σπουδῆς, ἠρεύνα καὶ ἐψηλάφα τῶν ἁγίων τὰ πρόσωπα· ἐν οἷς θεασάμενος τουτονὶ τὸν ἀββᾶν Κοσμᾶν ἄπνουν νεκρὸν κείμενον. ᾧτινι εἰσιὼν ἐξερχομένῳ προσυπήντησεν, ἔμφοβος γενόμενος ἐξῆλθεν ἐν τάχει, καταλαβεῖν αὐτὸν ἐφιέμενος, καὶ πανταχοῦ ζητήσας τοῦτον εὑρεῖν οὐκ ἐδυνήθη. Συνῆκεν οὖν, ὅτι ὀπτασία τις ἦν θεία τὸ φανὲν αὐτῷ, πρὸς πληροφορίαν δειχθεῖσα τῆς ὁσίας αὐτῶν τελειώσεως καὶ τῆς ὑποδεξαμένης αὐτοὺς ἀθανασίας καὶ μακαριότητος.

45. Αὐτίκα γοῦν ἀνομβρίας ἐκείνῳ τῷ ἐνιαυτῷ ἐν τῇ λαύρᾳ γενομένης, αὐτῇ τῇ νυκτὶ τῆς ἐνδόξου τῶν ἁγίων κοιμήσεως διὰ πρεσβείας αὐτῶν καὶ ἐντεύξεως πολὺς ὑετὸς κατενεχθεὶς πάντας τοὺς λάκκους καὶ τὰ δοχεῖα τῆς λαύρας ἐπλήρωσεν καὶ ἐμέστωσεν· παρὰ πόδας δὲ καὶ τὴν ἐκδίκησιν τοῦ αἵματος τῶν δούλων αὐτοῦ, τοῦ ἀδίκως κεχυμένου, ἐποιήσατο κύριος καὶ ἀπέδωκε τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν κατὰ τὰ λόγια. Θανατικοῦ γὰρ γενομένου, οἱ τὰ ἀτόλμητα τολμήσαντες καὶ τὰ ἀθέμιτα ὁράσαντες βάρβαροι, καὶ οἱ τούτους κατὰ τῶν ἁγίων καὶ τῆς λαύρας ἐξοπλίσαντες, νόσῳ καὶ λιμῷ καὶ οἰκτίστῳ θανάτῳ διεφθάρησαν οὕτως ἀθρόως καὶ ἀλλεπαλλήλως, ὡς μὴ φθάνειν τοὺς ἑαυτῶν νεκροὺς θάπτειν καὶ τῇ νενομισμένῃ ταφῇ παραδιδόναι, ἐπιπολαίως δέ πως τῷ χώματι καλύπτειν, ἢ ἐν σπηλαίοις καὶ ὀπαῖς ῥίπτειν· οὓς οἱ κύνες ἀνορύσσοντες καὶ διασπαράσσοντες βορὰν καὶ θοίνην ἐποιοῦντο, ὡς θαυμάζειν ἅπαντας τὸν καταλαβόντα αὐτοὺς αἰφνίδιον ὄλεθρον καὶ ἀφανισμὸν καὶ τὴν τῶν ἀνόμων

3 καὶ θεάσασθαι addidi; cf. lin. 10 θεασάμενος. 11 cod. πρὸσυπήντησεν. 21 cod. παραπόδας || τὴν ἐκδίκησιν - - κόλπον αὐτῶν] cf. Psalm. LXXVIII, 10, 12. 31 cod. θύνην. 32 cod. αἰφνήδιον.

*

ἔκλειψιν καὶ τοῦ θεοῦ ταχεῖαν ἐκδίκησιν, καὶ ᾄσαι σὺν τῷ προφήτῃ Δαυίδ· "πῶς ἐγένοντο εἰς ἐρήμωσιν; ἐξάπινα ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν ὡσεὶ ἐνύπνιον ἐξεγειρομένου".

46. Οὐκ ἀποκρύψω δὲ ὅπερ μοι πρεσβύτερος ἀξιόπιστος ἐξηγήσατο. Οὗτος ὁ ἐνάρετος ἀνήρ, Σύρος ὑπάρχων τῇ γλώττῃ, ἐν ἐπιθυμίᾳ πολλῇ γέγονεν ἐκμαθεῖν τὴν Ἑλληνίδα λαλιὰν καὶ διάλεκτον· καὶ δὴ τὸ Ψαλτήριον μόχθῳ πολλῷ ἀποστηθίσας προσεῖχε τῇ ἀναγνώσει τῆς ἁγίας Γραφῆς ἐπιμελῶς καὶ ἐμπόνως, τρανῶσαι καὶ ἐθίσαι τὴν ἑαυτοῦ γλῶσσαν ἱμειρόμενος· δυσχερῶς δὲ καὶ ἐργωδῶς τὴν μελέτην τῆς ἀναγνώσεως κατορθῶν ἠθύμει. Ἀφυπνώσαντι δὲ αὐτῷ γέγονεν ἐπιστασία τινὸς τῶν ἁγίων τούτων πατέρων, Ἀναστασίου τοῦ πρωτοδιακόνου, οὗ καὶ προεμνήσθημεν· ὅστις τῷ Παπίᾳ καὶ φίλος ἐτύγχανεν καὶ ἐπηρώτα (φησὶ) τῆς ἀθυμίας τὴν αἰτίαν· ὁ δὲ ἐξήγγειλε τὴν δυσχέρειαν ἐγκαλῶν τῆς μαθήσεως. Πρὸς ὃν ὁ ἅγιος ὑπομειδιῶν "Χάλασόν" φησι "καὶ ἐξάγαγέ μοι τὴν γλῶσσάν σου", καὶ παρ' ἑαυτοῦ ῥάκος τι καινὸν ἐκβαλὼν περιέτριβε καὶ ἐξέμασσεν αὐτήν, καὶ γλισχρότητά τινα παχεῖαν καὶ χλοώδη περικαθαρίσας ἀπέπτη. Καὶ ὁ καθεύδων διϋπνίσθη, καὶ διαβεβαιοῦται ὁ πρεσβύτερος, ὅτι ἐκ τῆς ἡμέρας ἐκείνης τοσαύτης ἤσθετο καὶ συνέσεως τῆς διαλέκτου καὶ τρανογλωττίας εὐκόλου, ἀναγνώσεώς τε καὶ μαθήσεως, ὥστε αὐτὸν ἐκπλήττεσθαι καὶ θαυμάζειν τὴν τοῦ θεοῦ ἐπίσκεψιν καὶ τῶν ἁγίων τὴν χάριν.

47. Ἀλλὰ ταῦτα βραχέα τῆς ὑμετέρας τεκμήρια χάριτος, ὦ ἱεροὶ καὶ θεῷ πεποθημένοι μάρτυρες· τῆς ἐν οὐρανοῖς δὲ δόξης ὑμῶν, ἧς νῦν ἀξίως μετέχετε, τίς ἱκανὸς διηγήσασθαι; Μακάριοι γὰρ ὄντες ὑμεῖς, θεομακάριστοι, ὅτι τῆς ἐπιγείου ζωῆς τυραννικῶς ἐκβληθέντες, τῆς τῶν οὐρανίων εὐζωΐας κατηξιώθητε. Μακάριοί ἐστε, πατέρες πανόλβιοι, ὅτι καὶ πρὸ τοῦ φυσικοῦ θανάτου ὑμεῖς τῷ κόσμῳ παντὶ προαιρετικῶς ἑαυτοὺς ἐσταυρώσατε καὶ ἐνεκρώσατε, ἐν καινότητι δὲ ζωῆς τὴν ἰσάγγελον πολιτείαν ἐπὶ γῆς ἐζηλώσατε. Μακάριοί ἐστε, πατέρες πανόσιοι, ὅτι καὶ ἐν τῇ προσ-

2 Psalm. LXXII 19, 20 || cod. ἐξέλειπον. 8 cod. προσῆχε. 17 cod. γλησχρότητα. 20 cod. τρανογλωττείας. 30 τῷ κόσμῳ - ἐσταυρώσατε] cf. Gal. VI, 14 || ἐνεκρώσατε] cf. Col. III, 5. 31 ἐν καινότητι ζωῆς] cf. Rom. VI, 4.

καίρῳ ταύτῃ ζωῇ τὸ φρόνημα τῆς σαρκός, τὸ ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός, τῷ τῆς ζωῆς νόμῳ καθυπετάξατε. Μακάριοί ἐστε, πατέρες πανάριστοι, ὅτι τὰ τῆς σαρκὸς πάθη πόνοις καὶ τόνοις ἀσκήσεως περιελόμενοι εὐήνιον τὸ σῶμα τῇ ψυχῇ καὶ ὑποχείριον κατεστήσατε, καὶ τὸ χεῖρον τῷ κρείττονι δεδουλαγωγήκατε, τὸν δὲ νοῦν τῷ νόμῳ τοῦ Χριστοῦ εὐπειθῶς ὑπεζεύξατε. Μακάριοί ἐστε, πατέρες πανένδοξοι, ὅτι τὸ τῆς ψυχῆς ἀξίωμα ταῖς τῆς σαρκὸς ἡδυπαθείαις καὶ ἡδοναῖς ἀδούλωτον ἐτηρήσατε, τὴν δὲ τῆς εἰκόνος εὐγένειαν ἀταπείνωτον ἐφυλάξατε καὶ τῶν ταύτης χαρακτήρων τὴν εὔχροιαν καὶ εὐμορφίαν ἀσύγχυτον καὶ ἀπαράλλακτον πεφρουρήκατε. Μακάριοί ἐστε, πατέρες πανάρετοι, ὅτι τὰς ἀρετὰς ὡς βαφὰς ἐκ τῆς τῶν Γραφῶν διδασκαλίας οἷά τινες εὐφυεῖς ζωγράφοι ἐν ἑαυτοῖς χρωματίσαντες καὶ ταῖς ὑμετέραις ψυχαῖς ἐκμαξάμενοι, ἔμψυχον ἄγαλμα καὶ θεοείκελον ἐκμαγεῖον καὶ ἴνδαλμα τῷ κόσμῳ ὑμᾶς αὐτοὺς ὑπεδείξατε. Μακάριοί ἐστε, πατέρες ἀξιομακάριστοι, ὅτι οὐδὲν τῶν ἐν τῷ βίῳ τερπνῶν θέλξαι καὶ ἀπατῆσαι ὑμῶν τὴν καρδίαν καὶ τῆς τοῦ θεοῦ θεωρίας καὶ κατατρυφήσεως ἀποσυλῆσαι καὶ καθελκῦσαι καὶ κατασπάσαι δεδύνηται. Μακάριοί ἐστε, πατέρες ἀξιάγαστοι, ὅτι πᾶν τὸ τῆς ψυχῆς ἐπιθυμητικὸν πρὸς θεὸν καὶ τὴν τῶν θείων ἀπόλαυσιν ἀνετείνατε, τὸν θυμὸν δὲ κατὰ μόνης τῆς ἁμαρτίας καὶ τοῦ ταύτης εὑρήμονος καὶ γεννήτορος ὥσπερ τινὰ ῥομφαίαν ἐτρέψατε. Μακάριοί ἐστε, πατέρες θεσπέσιοι, ὅτι τὴν πλατεῖαν τῶν ἡδονῶν ὁδὸν ὡς εἰς ὀλέθριον πέρας κομίζουσαν ὁδεύειν νουνεχῶς παρητήσασθε, τὴν δὲ στενὴν καὶ τεθλιμμένην ὡς εἰς μακαρίαν καὶ τρισευδαίμονα λῆξιν τοὺς ὁδοιπόρους ἀπάγουσαν ἀνύειν ἀνεπιστρόφως καὶ ἀκλινῶς ᾑρετίσασθε. Μακάριοί ἐστε, πατέρες ἀνίκητοι, ὅτι καθάπερ τὸν πολύαθλον Ἰὼβ ὁ ἀντικείμενος καὶ ὑμᾶς ἐξαιτησάμενος πᾶσαν αὐτοῦ τῆς πονηρίας τὴν βελοθήκην ἐκκενώσας καὶ παντοίως μηχανησάμενος καταβαλεῖν ὑμῶν οὐκ ἴσχυσε τὸ τῆς ψυχῆς σύντονον καὶ ἀήττητον.

48. Μακάριοί ἐστε, πατέρες θεόσοφοι, ὅτι τῶν παθημάτων τῷ Χριστῷ κοινωνήσαντες δι' ἀσκήσεως πρότερον, εἶτα καὶ δι'

1 τὸ φρόνημα - καθυπετάξατε] cf. Rom. VIII, 6, 7. 5 cod. χεῖρων. 23/25 τὴν πλατεῖαν - τεθλιμμένην] cf. Matth. VII, 13, 14.

ἀθλήσεως, ὕστερον εἰκότως αὐτῷ κοινωνοὶ τῆς δόξης ἐχρηματίσατε· "εἴπερ συμπάσχομεν", φησίν, "ἵνα καὶ συνδοξασθῶμεν καὶ αἰωνίως συμβασιλεύσωμεν". Μακάριοί ἐστε, πατέρες ἀοίδιμοι, ὅτι "πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας" διὰ τὰ ἐπουράνια ἀοράτως παλαίσαντες καὶ νικήσαντες ὁρατῶς, πάλιν τοὺς ὁρατοὺς τῆς ἀληθείας ἐχθροὺς διὰ τῆς τῶν αἰκισμῶν ὑπομονῆς καὶ μέχρι θανάτου καρτερίας ἀνδρείως ἡττήσαντες ἐτροπώσασθε. Μακάριοί ἐστε, πατέρες πανεύφημοι, ὅτι δι' ἀμφοτέρων τῶν παλαισμάτων ἄμφω τοὺς δυσμενεῖς καὶ πολεμίους τρεψάμενοι καὶ νεανικῶς ἀριστεύσαντες καὶ ἐν ποικίλοις πολέμοις ἀνδραγαθήσαντες ἀμφοτέρωθεν, δικαιότατα καὶ προσηκόντως ἐστεφανώθητε. Μακαριοί ἐστε, πατέρες τρισμέγιστοι, ὅτι διὰ καπνοῦ καὶ ὁσμῆς πυρὸς θνητοῦ καὶ εὐμαράντου τὴν τοῦ ἀμαράντου καὶ ἀσβέστου πυρὸς πεῖραν καὶ ἀπειλὴν παντελῶς διεφύγετε, πρὸς δὲ καὶ τοὺς εὐώδεις τοῦ Παραδείσου καρποὺς ἐτρυγήσατε. Μακάριοί ἐστε, πατέρες τριπόθητοι, ὅτι πρὸς βραχὺ πνιγμῷ στενοχωρηθέντες τῆς ἐν τόπῳ χλόης ἀναψύξεως καὶ ἀναπαύσεως τετυχήκατε. Μακάριοί ἐστε, πατέρες πανέντιμοι, ὅτι ἐν στενῷ καὶ σκοτεινῷ χωρίῳ καθειρχθέντες καὶ τῆς ὀλιγοχρονίου ζωῆς στερηθέντες, εἰς τοὺς ἀειθαλεῖς καὶ εὐρυχώρους καὶ ἀθάνατα βλαστάνοντας ἄνθη λειμῶνας μετέβητε, ἔνθα φῶς ἄδυτον καὶ ἀνέσπερον ἐπιλάμπει καὶ πάσης ὀδύνης καὶ στεναγμοῦ καὶ λύπης ἀπέδρα καὶ πέφευγεν ἀποσκίασμα. Μακάριοί ἐστε, πατέρες πανίεροι, ὅτι προσθήκη καὶ ἐκσφράγισμα εὐκλεὲς καὶ ἐπέραστον τῶν ἀπ' αἰῶνος μαρτύρων τῷ Χριστῷ γεγόνατε, ἐν οὐ καιρῷ διωγμοῦ τὸν τοῦ μαρτυρίου τέλειον ἀπενεγκάμενοι στέφανον. Μακάριοί ἐστε, πατέρες θεόπνευστοι, ὅτι νηστείᾳ τὰς ἑαυτῶν ψυχὰς καὶ σώματα καθαγνίσαντες καὶ ἁγιάσαντες, τὴν τεσσαρακονθήμερον νηστείαν ἡγιάσατε καὶ ἐφαιδρύνατε· ἐν αὐτῇ τῷ Χριστῷ προσκεχωρηκότες, δι' αἵματος καὶ τοῦ ὑπερκοσμίου καὶ σωτηρίου αὐτοῦ προπεπονθότες παθήματος, πάσχα σὺν αὐτῷ τὸ φερέσβιον ἑωρτάσατε, τὴν τῆς ἁμαρτίας καὶ τοῦ

2/3 cf. Rom. VIII, 17. Tim. 2, II, 12. 4 πρὸς τὰς ἀρχὰς - πονηρίας] Eph. VI, 12. 18 ἐν τόπῳ - τετυχήκατε] cf. Psalm. XXII, 2. 23 ὀδύνης - ἀπέδρα] cf. Esai. XXXV, 10. 30 cod. ἑναυτῇ.

πικροῦ ἐργοδότου νοητοῦ Φαραὼ καὶ πάσης τῆς Αἰγυπτιακῆς καὶ σκοτώδους πλάνης φυγὴν καὶ ἐκλύτρωσιν καὶ διάβασιν ⟨πεποιηκότες⟩, καθάπερ καὶ οἱ ἔνδοξοι καὶ τοῦ Χριστοῦ ἀθλοφόροι στρατιῶται καὶ στεφανῖται τεσσαράκοντα μάρτυρες.

49. Μέμνησθε καὶ ἡμῶν, πατέρες ἀείμνηστοι, οἷς ἐν σαρκὶ ζῶντες συνανεστρέφεσθε καὶ ἀδελφικῶς συνεπολιτεύεσθε. Εἰ καὶ νῦν καταλιπόντες τὰς ἐπὶ γῆς διατριβὰς τοῖς οὐρανίοις ἐν φωτὶ καὶ χαρᾷ συναυλίζεσθε, μὴ ἐπιλάθησθε τῆς ἡμῶν ἀδελφότητος καὶ τῆς ὑμετέρας λαύρας καὶ συνοδίας, ἥτις ὑμᾶς ἀπὸ γῆς εἰς οὐρανοὺς νῦν προέπεμψε· μακάριοι γὰρ καὶ ἡμεῖς δι' ὑμᾶς, τρισμακάριστοι, ὅτι τοιαύτην ἀπαρχὴν ἁγίαν καὶ πανίερον ἀκροθίνιον τῷ δεσπότῃ Χριστῷ προπεπόμφαμεν, θυσίαν τῷ θεῷ δεκτὴν εἰς ὀσμὴν εὐωδίας εἰλικρινῆ καὶ ἄμωμον καὶ εὐάρεστον. Προσαγάγετε τῇ ζωαρχικῇ καὶ θείᾳ καὶ ὁμοουσίῳ Τριάδι, ἥτις ὑμᾶς ἑαυτῇ παρεστήσατο ὑπὲρ τῆς ἡμῶν ὁμηγύρεως καὶ κοινότητος, πρεσβείαν ἐκτενῆ καὶ ἐπίμονον ῥυσθῆναι μὲν τῶν τοῦ πονηροῦ δεινοπλόκων παγίδων καὶ μεθοδειῶν καὶ παμπονήρων μηχανημάτων, ἐλευθερωθῆναί τε τῶν ψυχικῶν καὶ σωματικῶν παθῶν καὶ πλημμελημάτων, λυτρωθῆναι δὲ καὶ τῆς τῶν ὁρατῶν ἐχθρῶν ἐπιβουλῆς καὶ βασκανίας, εἰρηνικῶς τε τὴν παροῦσαν ζωὴν διανύσαντας ἀξιωθῆναι ἧς αὐτοὶ κατηξιώθητε τῶν ἀκηράτων ἀγαθῶν μετουσίας καὶ τῆς ἀγήρω ζωῆς λήξεώς τε καὶ τάξεως, κἂν μέγα ᾖ τὸ αἰτούμενον. Πρεσβεύσατε καὶ ὑπὲρ τῆς κοινῆς καὶ μιᾶς ὀρθοδόξου Ἐκκλησίας ἄνεσιν δοθῆναι τῶν πολυτρόπως ἐπινοουμένων καὶ ἐπανισταμένων αὐτῇ παρὰ τῶν ἐχθρῶν τῆς ἀληθείας πειρασμῶν καὶ ὀχλήσεων, γαλήνην τε καὶ εὐταξίαν αὐτῇ βραβευθῆναι καὶ πάσης ἀηδίας καὶ ταραχῆς παῦλαν καὶ λώφησιν.

50. Ἐπιμνήσθητε καὶ τοῦ ἀναξίου ὑμῶν ἱκέτου, τοῦ ἀναξίαν ὑμῶν ταύτην τοῦ λόγου τὴν ἀπαρχὴν προσενηνοχότος καὶ ὕμνους ὑφαίνοντος, εὐτελεῖς μὲν καὶ παραπολὺ ἀξίας τῆς ὑμετέρας ἀπολειπομένους καὶ ἀποδέοντας, κατὰ δύναμιν δὲ ὅμως συντεθειμένους καὶ προσκεκομισμένους νῦν προθυμότατα. Αἰτήσασθε, πατέρες

1 cod. ἐργωδότου. 2 πεποιηκότες inserui. 4 cod. στεφανῆται. 11/12 cod. ἀκροθήνιον. 15 cod. κοινώτητος. 17 cod. μεθοδιῶν. 27 cod. λόφησιν. 28 cod. οἰκέτου. 31 cod. συντεθημένους.

ἀξιύμνητοι καὶ ἀξιέπαινοι, παρασχεθῆναι τῇ ἐμῇ οὐθενείᾳ ἀμπλακημάτων ἄφεσιν, παθῶν κάθαρσιν, βίου εὐκταίαν καὶ εἰρηναίαν διαγωγὴν καὶ διέξοδον, γεέννης καὶ κολάσεως λύτρωσιν, καὶ ἀκαταίσχυντον τὴν ἐνώπιον τοῦ Χριστοῦ καὶ σωτῆρος παράστασιν, μὴ πόρρω τῆς ὑμῶν ἐπαύλεώς τε καὶ στάσεως, κἂν ὑπὲρ ἀξίαν ᾖ τὸ διδόμενον.

51. Σὺ δέ, ὦ πατέρων εὐαγῶν πάτερ σεβασμιώτατε. ἀσκητῶν ἀλεῖπτα, μοναχῶν καθηγητὰ καὶ ἀθλητῶν παιδοτρίβα Σάβα τρισμάκαρ, τῆς ἐρήμου οἰκιστὰ καὶ πολιστὰ περιώνυμε, δέχου τοὺς σοὺς φοιτητὰς γενικῶς οὕτως κατὰ τῆς ἁμαρτίας καὶ τοῦ ταύτης συνηγόρου καὶ στρατηγοῦ Βελίαρ ἠγωνισμένους καὶ ἠριστευκότας, ἱδρῶσί τε καὶ πόνοις καὶ αἵμασι τῆς ἀρετῆς νεανικῶς ὑπερμαχήσαντας καὶ τοὺς ἄθλους νενικηκότας, καὶ προσάγαγε Χριστῷ τῷ ἀγωνοθέτῃ ἀπηρτισμένους μάρτυρας καὶ στεφανίτας· καὶ γὰρ εἴωθας τοὺς σοὺς μαθητὰς οὐ μόνον εἰς ἄσκησιν, ἀλλὰ καὶ πρὸς ἄθλησιν ἐπαλείφειν καὶ εὐτρεπίζειν. Καὶ γὰρ καὶ ἐν τῇ ἐπαναστάσει τῶν Περσῶν, ὁπηνίκα καὶ ἡ ἁγία τοῦ Χριστοῦ πόλις ἥλω καὶ οἱ σεπτοὶ καὶ προσκυνούμενοι τόποι καὶ ναοὶ πυρίκαυστοι γεγόνασι, τεσσαράκοντα καὶ πρὸς μάρτυρας ἐκ τῶν σῶν θρεμμάτων τῷ Χριστῷ προσαγήοχας, οὓς ἅμα καὶ ὑφ' ἓν οἱ πυρολάτραι καὶ μητρομανεῖς Πέρσαι ἐπὶ μιᾶς πλακὸς ἐπιδραμόντες κατέσφαξαν, ἑλομένους τε αὐτοὺς τῇ ἰδίᾳ λαύρᾳ ἐναποθανεῖν ἢ ἀπὸ προσώπου τῶν πολεμίων ἀποδρᾶναι καὶ ταύτης μεταναστεῦσαι καὶ φυγῇ τὴν ζωὴν πορίσασθαι.

52. Ὁμοίως δὲ καὶ Χριστόφορον τὸν φερώνυμον καὶ νικηφόρον τοῦ Χριστοῦ στρατιώτην καὶ μάρτυρα, ὃν πρὸ ὀλίγων τούτων ἐτῶν ἐξ ἀπιστίας εἰς πίστιν τὴν εὐσεβῆ μετατεθέντα, ἐκ Περσικῆς τε καὶ ἀκάρπου ἀγριελαίας εἰς καλλιέλαιον ἐγκεντρισθέντα καὶ τῷ θείῳ βαπτίσματι σφραγισθέντα, καὶ σχήματι τῷ μοναδικῷ καὶ ἀγγελικῷ στολισθέντα καὶ τῇ ἱερᾷ σου ποίμνῃ συναριθμηθέντα, μάρτυρα τῷ κυρίῳ στεφανηφόρον παρέστησας, καλῶς μὲν καὶ ἐν τῷ μοναχικῷ ἀγωνισάμενον σκάμματι, ἀνδρείως καὶ θαυμασίως καὶ

1 cod. οὐθενία. 9 cod. γεννικῶς. 15/23 alii martyres sabbaïtae, quorum festum agitur xvi Maii; cf. Νικοδήμου Συναξαριστής. Athenis 1868, t. II, p. 153. 19 cod. προσηγίοχας - ὑφὲν. 26 cod. ἀπιστίαν. 27 cod καλιέλαιον.

τῷ μαρτυρικῷ σταδίῳ ἀνδραγαθήσαντα, διαβληθέντα μὲν ὑπὸ ἀρνησιθέου ἀνδρός, ἐπὶ αὐτοῦ δὲ τοῦ τῶν Σαρακηνῶν ἄνακτος καὶ πρωτοσυμβούλου ἀχθέντα καὶ τὴν καλὴν ὁμολογίαν ὁμολογήσαντα, καὶ ξίφει τὴν κεφαλὴν ἀποτμηθέντα διὰ τὴν εἰς Χριστὸν πίστιν τε καὶ εὐσέβειαν τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ Ἀπριλίου μηνός, τῇ Ἁγίᾳ Τρίτῃ τῆς Μεγάλης Ἑβδομάδος, πρὸ τριῶν τοῦ Κυριακοῦ πάθους ἡμερῶν τοῦ τοῖς ἰδίοις ἡμᾶς σεσωκότος παθήμασι.

53. Καὶ νῦν δέ, πάτερ θειότατε καὶ πρεσβῦτα αἰδεσιμώτατε, ἐποπτεύοις τὴν σὴν ποίμνην καὶ λαύραν, ἣν τοῖς σοῖς συνεστήσω πονήμασιν καὶ ἐπαγρύπνως ἐκ λύκων ἀνημέρων καὶ ἐπιβούλων ἀοράτων καὶ ὁρατῶν φύλαττε μέχρι τῆς δευτέρας τοῦ σωτῆρος ἐξ οὐρανοῦ φρικτῆς ἐπιφοιτήσεως καὶ ἐπιφανείας, τὸ πνευματικόν σου σπέρμα ἐν αὐτῇ περιφρουρῶν μετὰ Χριστοῦ, πανταχόθεν ἐν αὐτῇ συνάγων κἀξ αὐτῆς "εἰς τὴν χαρὰν τοῦ κυρίου σου" εἰσάγων, ἵνα πάντας τοὺς σοὶ μαθητευθέντας ἀμέμπτως σεαυτῷ συμπαριστῶν τῷ κριτῇ φήσῃς· "Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἃ μοι δέδωκας ὁ θεός". Ἀκούσαιμεν δὲ τῆς εὐκταίας καὶ πολυεράστου ἐκείνης φωνῆς· "Δεῦτε, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν", ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ βασιλεία σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

1 cod. ἀνδραγαθίσαντα. 5 cod. τεσσαρισκ. || ἀπριλλίου. 14 Matth. xxv, 21, 23. 18 Matth. xxv, 34.

16/17 Ps. VII, 18

II.

Μηνὶ Φεβρουαρίῳ α'.

ΥΠΟΜΝΗΜΑ ΚΑΘ ΙΣΤΟΡΙΑΝ

ΤΗΣ ΑΘΛΗΣΕΩΣ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

ΗΛΙΑ ΤΟΥ ΝΕΟΥ,

τοῦ ἀπὸ Ἡλιουπολιτῶν, ἐν Δαμασκῷ μαρτυρήσαντος.

---

1. Τὴν τῶν πολλῶν ἀντιλογίαν ἢ δυσπιστίαν περὶ τῶν ἁγίων μεγαλομαρτύρων ἤδη προανεσκευασάμεθα, τῆς δυσσεβείας ἀποκαθάραντες ἐν ταῖς προλαβούσαις ἡμῖν δυσὶν ἱστορίαις τοὺς πιστούς· νυνὶ δὲ κἀν ταύτῃ, τρίτῃ μετ' ἐκείνας οὔσῃ, προλαμβάνομεν, τὴν ἀεὶ διδομένην ἄφεσιν τοῖς ἁμαρτωλοῖς παραμυθίαν τε καὶ παράκλησιν πᾶσι προσφωνοῦντες, τοῖς ὅλως ἔχουσι κἂν μικρὰν ἐλπίδα σωτηρίας.

2. Ἐν γοῦν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ ἀναγέγραπται, ὅτι "ἠρώτα τις τῶν Φαρισαίων" τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, "ἵνα φάγῃ μετ' αὐτοῦ· καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ Φαρισαίου ἀνεκλίθη, καὶ ἰδοὺ γυνὴ ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλός, γνοῦσα ὅτι ἀνάκειται ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου, στᾶσα παρὰ τοὺς πόδας αὐτοῦ ὀπίσω κλαίουσα, ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμαξε καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ καὶ ἤλειφε τῷ μύρῳ. Ἰδὼν

Cod. Coislin. 303, s. X., fol. 236b—249b. Capita 1—4 inedita; cetera primum edidit Franciscus Combefis: Christi martyrum lecta trias. Parisiis 1666, pag. 155—206. P = codex, C = Combefis.

13 ἀναγέγραπται] Luc. VII, 36—50. 20 κατεφίλη P.

δὲ ὁ Φαρισαῖος ὁ καλέσας αὐτὸν εἶπεν ἐν ἑαυτῷ· Οὗτος, εἰ ἦν προφήτης, ἐγίνωσκε τίς καὶ ποταπὴ ἡ γυνή, ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστι. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν πρὸς αὐτόν· Σίμων, Σίμων, ἔχω σοί τι εἰπεῖν. Ὁ δέ φησι· Διδάσκαλε, εἰπέ. — Δύο χρεωφειλέται ἦσαν δανειστῇ τινι. Ὁ εἷς ὤφειλε δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα. Μὴ ἐχόντων δὲ αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο. Τίς οὖν αὐτῶν πλέον ἀγαπήσει; Ἀποκριθεὶς δὲ ὁ Σίμων εἶπεν· Ὑπολαμβάνω, ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο. Ὁ δὲ εἶπεν αὐτῷ· Ὀρθῶς ἔκρινας. Καὶ στραφεὶς πρὸς τὴν γυναῖκα τῷ Σίμωνι ἔφη· Βλέπεις ταύτην τὴν γυναῖκα; Εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, ὕδωρ εἰς τοὺς πόδας μου οὐκ ἔδωκας, αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέ μου τοὺς πόδας καὶ ταῖς θριξὶν αὐτῆς ἐξέμαξε. Φίλημά μοι οὐκ ἔδωκας· αὕτη δέ, ἀφ' ἧς εἰσῆλθον, οὐ διέλιπεν καταφιλοῦσά μου τοὺς πόδας. Ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας, αὕτη δὲ μύρῳ ἤλειψέ μου τοὺς πόδας· οὗ χάριν λέγω σοι, Ἀφέωνται αὐτῆς αἱ ἁμαρτίαι, διότι ἠγάπησε πολύ· ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ. Εἶπεν δὲ αὐτῇ· Ἀφέωνταί.σου αἱ ἁμαρτίαι. Καὶ ἤρξαντο οἱ συνανακείμενοι αὐτῷ λέγειν ἐν ἑαυτοῖς· Τίς οὗτός ἐστιν, ὃς καὶ ἁμαρτίας ἀφίησιν; Εἶπεν δὲ πρὸς τὴν γυναῖκα· Ἡ πίστις σου σέσωκέ σε, πορεύου ἐν εἰρήνῃ". Εἰ γοῦν ἁμαρτωλὸς ἦν ἡ γυνή, ὡς ἤκουσας, διὰ δὲ τὰ δάκρυα ἐκεῖνα καὶ τὸ βαλεῖν τὸ μύρον ἀφῆκεν αὐτῇ ὁ φιλάνθρωπος Ἰησοῦς τὰς ἁμαρτίας αὐτῆς τὰς πολλάς, τούτοις τοῖς νεομάρτυσι διὰ τὰς πολλὰς θλίψεις αὐτῶν καὶ τὴν ἔκχυσιν τοῦ ἰδίου αἵματος οὐ δοκεῖς ἀφεθῆναι τὰς τυχὸν μεγάλας ἢ μικρὰς ἁμαρτίας αὐτῶν; Κρίνατε ὑμεῖς, οἵτινες ὡς Φαρισαῖοι διαλογίζεσθε, εἰ ἀφεθῇ τοῖς νεομάρτυσι τὰ παραπτώματα· κατὰ γὰρ καὶ τοὺς ἄλλους εὐαγγελιστάς, ὡς σαφέστερον ἐν τῷ κατὰ Ματθαῖον ἔγνωμεν, οὐ δεῖ κόπους παρέχειν τῇ ὡς νῦν γυναικὶ ψυχῇ ἡμῶν, ἔργον τοῦτο γινώσκουσιν, ὅτι καλὸν εἰργάσατο.

14 ἁφῆς - διέλειπεν P. 16 ἀφέονται hic et infra P. 19 ὃς] ὡς P. 25 τυχὼν P. 26 κρίνεττε P. 27 διαλογίζεσθαι P. 28 καταματθαῖον P. 29 Ματθαῖον] cf. Matth. xxvi, 10 || οὐ δεῖ] οὐδὲ P. 30 τοῦτο] τούτων P || γινώσκουσιν pro γινωσκούσῃ || εἰργάσατο] cfr. Matth. xxvi, 10 «ἔργον γὰρ καλὸν εἰς ἐμὲ εἰργάσατο» = ἡ γυνή.

3. Καί γε οὗτος ὁ προκείμενος ἡμῖν μέγας νεομάρτυς οὐχ ὡς ἡμεῖς εἰς τοὺς πτωχοὺς τῶν ἁγίων ποιοῦντες καὶ κοινωνοῦντες διὰ φιλοφροσύνην τοῖς αὐτῶν παθήμασιν, ἀλλ' εἰς ἑαυτὸν ἀνέστη ἔσθ' ὅτε μύρον βάλλων κατὰ τοῦ σώματος, τὸ ἴδιον αὐτοῦ αἷμα, πρὸς τὸν ἐνταφιασμὸν τοῦ μεγάλου θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ σωτῆρος. Τούτου ἕνεκεν εἰρήσεται καὶ νῦν ⟨ὡς⟩ τότε Χριστός· "Ἀμὴν λέγω ὑμῖν, ὅτι ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, λαληθήσεται καὶ ὃ ἐποίησεν οὗτος ὡς ἐκείνη εἰς μαρτύριον αὐτοῦ". Ἀλλὰ μηδαμῶς ὀνειδισθείημεν ὡς ἐκεῖνος ὁ Φαρισαῖος συγκαλούμενοι Χριστόν, μᾶλλον δὲ συγκαλοῦντος ἡμᾶς Χριστοῦ φαγεῖν τὸν ἄρτον ἐν Ἐκκλησίᾳ αὐτοῦ, τὸ πανάγιον αὐτοῦ καὶ ζωοποιὸν σῶμα, καὶ ὡς πρὸς ἐκεῖνον λέγοντος· "Καὶ ὕδωρ, ὃ ποτήριον ψυχροῦ γέγραπται, ἐπὶ τοῦ σταθέντος τῇ ὁδῷ τοῦ μαρτυρίου εἰς ὄνομα μαθητοῦ οὐκ ἐποτίσατε· οὗτοι δὲ ⟨οἱ⟩ νεομάρτυρες τοῖς δάκρυσι καὶ κρουνοῖς τῶν αἱμάτων ἅμα τε τοὺς πόδας καὶ ὅλην τὴν σάρκα ἐξέμαξαν. Φίλημά μοι τῆς πρὸς ἀλλήλους ἀγάπης οὐκ ἐδώκατε, οὗτοι δὲ καὶ τὴν ψυχὴν ἑαυτῶν ὑπὲρ τῆς πίστεως τέθεικαν. Ἐλαίῳ φιλανθρωπίας, τῆς εἰς τοὺς ὁμογενεῖς ἐλεημοσύνης, τὴν κεφαλήν μου οὐκ ἠλείψατε· οὗτοι δὲ ξίφει τὴν κεφαλὴν δι' ἐμὲ ἀπετμήθησαν. Τούτου χάριν εἴρηται· "Ἀφέωνται αὐτῶν αἱ ἁμαρτίαι, κἂν πολλαὶ καὶ πλείους εἰσίν, ὅτι ἠγάπησαν πολύ, ἢ ὑμῖν τοῖς τὰ μάταια καυχωμένοις λόγῳ ἀγαπᾶν".

4. Καὶ κηρυχθήσεται ἐν ὅλῳ τῷ κόσμῳ ὃ ἐποίησε καὶ οὗτος εἰς μαρτύριον αὐτοῦ· τί δὲ ἐποίησε συγγράψομαι ἐξ αὐτῆς, τὴν χάριν αὐτοῦ ἐπικαλεσάμενος καὶ τὴν ἐπίπνοιαν· τοῦ παναγίου πνεύματος τῇ ἀνοίξει τοῦ στόματος ἐφελκόμενος· καὶ μελλήσω δὲ διὰ τὸ πολλοὺς ἐπιποθεῖν ἀκούειν ἐν συντόνῳ προσοχῇ καὶ ἐντελέστερον τὰ περὶ αὐτοῦ διηγήσασθαι, οὐ προκρίνων συλλογισμῶν περιπλοκὰς καὶ ἐγκωμίων διασκευάς, ἀλλὰ τὰ πράγματα ὡς ἐγένοντο

3 διαφιλοφροσύνην P. 4/5 cf. Matth. xxvi, 12. 4 μύρου P. 6 ὡς inserui. 7/9 Matth. xxvi, 13. 13 λέγοντες P. 13/20 Καὶ ὕδωρ - ἠλείψατε] cf. Luc. vii, 44—46. 13 ποτήριον ψυχροῦ] Matth. x, 42. 14/15 ἐπότισεν P. 15 οἱ inserui. 18 τέθηκαν P. 19 τῆς] τὸ P. 21 Ἀφέωνται - ἠγάπησαν πολύ] cf. Luc. vii, 47. 25 ἐξαυτῆς P. 27 τῇ ἀνοίξει τοῦ στόματος] cf. Ephes. vi, 19.

ἁπλῇ φράσει, πρὸς τὸ (εἶναι) πᾶσιν τῇ παρούσῃ ἱστορίᾳ τὸ εὐπειθὲς καὶ εὔελπι τοῦ εὐφρανθῆναι τὴν εὐφροσύνην, ἐφ' ᾗ εὐφρανθῆναι ἔδει, καὶ χαρῆναι πᾶσαν ψυχὴν εὐσεβῆ καὶ φιλόθεον, ὅτι ὁ υἱὸς ἡμῶν οὗτος τῆς ἐνεγκαμένης αὐτὸν πατρίδος οὐχὶ νεκρὸς ἦν καὶ ἀνέζησεν, ἀλλ' ὅτι ζῶν ἦν καὶ νενέκρωται διὰ τὴν ἐναποκειμένην ἐλπίδα ἐν τοῖς οὐρανοῖς. Διό, διαστολῆς ἐντιθεμένης, ὡς ἀρχῇ τὸν λόγον ἐνθήσω καὶ ἀπεντεῦθεν ὅπως εἶχε περιπετείας σὺν πάσῃ ἀληθείᾳ διηγήσομαι.

5. Οὗτος ὁ ἅγιος νεομάρτυς καὶ τοῦ Χριστοῦ ἀθλητὴς Ἠλίας γένους μὲν ἦν τῶν αὐτοχθόνων πρὸς τῷ Λιβάνῳ τῆς δευτέρας Φοινίκης εὐσεβεστάτων Ἡλιουπολιτῶν, ἀνατροφῆς χριστιανικῆς καὶ βίου ἰδιωτικοῦ, τέχνην μετερχόμενος ἣν καλοῦσι τεκτονικήν, τὰ μέτρια τῶν ξύλων ἐγχειριζόμενος. Οὗτος μετὰ μητρὸς ἐνδεοῦς καὶ ἀδελφῶν δύο καταλιπὼν Ἡλιούπολιν τὴν ἑαυτοῦ πατρίδα, μετανίσταται εἰς Δαμασκὸν μητρόπολίν τε οὖσαν καὶ μεγάλην, ἐν ᾗ διαζῆν εὐχερέστερον ἤλπισεν. Καὶ δὴ αὐτόθι γενόμενος ἐκμισθοῦται πρός τινα Σύρον μὲν ὄντα τῷ γένει, παράσιτον δὲ καὶ προσανακείμενόν τινι τῶν Ἀράβων, καὶ ἐκ τούτου διαρκεῖ πρὸς αὐτὸν ἔτη δύο κατὰ τὴν αὐτὴν τέχνην μετερχόμενος· κατ' ἐπήρειαν δὲ τοῦ διαβόλου καὶ συναινέσει τοῦ Ἄραβος ὁ μὲν παράσιτος Σύρος ἀφίσταται τῆς πίστεως Χριστοῦ, ἐμμένει δὲ τὴν τέχνην ἐγχειριζόμενος· καὶ παῖς ὢν Ἠλίας ὁ νῦν μεγαλομάρτυς, ἀγνοήσας τὰ νοήματα τοῦ πονηροῦ, παραμένει τῷ ἀποστάτῃ ἐκμεμισθωμένος τῇ τέχνῃ.

6. Μετ' οὐ πολὺν δὲ χρόνον ὁ μὲν Ἄραψ, ὁ ἀντιλήπτωρ τοῦ ἀποστάτου, ὃν εἶχεν υἱὸν μνηστευσάμενος ἀποθνήσκει· ὁ δὲ υἱὸς αὐτοῦ μετὰ ταῦτα γεννήσας παιδίον [καὶ] παραινέσει τῶν συμπαικτῶν αὐτοῦ ποιεῖ τὰ γενέθλια τοῦ παιδίου, δεῖπνον ἑτοιμασάμενος· καὶ τοῦ δείπνου τελουμένου καὶ τοῦ ἀποστάτου εὐωχουμένου, προσκαλοῦνται Ἠλίαν τὸν μεγαλομάρτυρα πρὸς ὑπηρεσίαν· ἦν δὲ Ἠλίας ὡσεὶ ἐτῶν δώδεκα. Ὑπηρέτει οὖν ἀστειευόμενος καὶ συγχαίρων τῷ δείπνῳ ὡς οἷά τε παῖς ὑπάρχων καὶ ἀπονήρευτος.

1 εἶναι inserui ‖ πᾶσιν] πᾶσαν P. 2 ἐφῇ P. 5 διὰ τὴν ἐναπ. ἐλπ. ἐν τοῖς οὐρανοῖς] cf. Colos. I, 5. 6 ἀρχῇ P. 9 νεόμαρτυς P ‖ ἥλίας P (et infra ubique). 10 γένος C. 17/18 πρὸσἀνακείμενον τινὶ P. 22 μεγαλόμαρτυς P. 23 ἐκμεμισθομένος P. corr. C. 26 καὶ delendum. 26/27 συμπαιστῶν P. corr. C. 30 ἀστιευόμενος PC.

Ἐπιστραφέντες δὲ οἱ συνανακείμενοι σὺν τῷ ἀντιλήπτορι τοῦ ἀποστάτου λέγουσι πρὸς τὸν μάρτυρα· "Πόθεν εἶ, παιδίον, ὅτι σε ἀστεῖον ὁρῶμεν καὶ συγχαῖρον ἡμῖν"; Ἀπεκρίθη δὲ ὁ ἀποστάτης ἀντιλαμβανόμενος τὴν ἀπόκρισιν· "Ἐκμεμισθωμένος μοί ἐστιν ἐν τῇ τέχνῃ μου, ἀγαθὸς δὲ ὢν ὡς ὁρᾶτε". Διαλαβόντες οὖν ἐκεῖνοι λέγουσιν πρὸς τὸν ἅγιον· "Εἰ θέλεις, παιδίον, ἀφίστασαι καὶ σὺ τῆς χριστιανικῆς πίστεως καὶ γίνῃ ὡς ἡμεῖς, συμμένων οὐκέτι ὡς μισθωτὸς τῷ αὐθέντῃ σου, ἀλλ' ὡς υἱός;" Ἀπεκρίθη κατευθὺ ὁ ἅγιος· "Δειπνεῖν συνήχθητε, μὴ γὰρ δημηγορεῖν· ἄφετε ταῦτα λέγειν μοι". Ἀνταπεκρίθησαν ἐκεῖνοι· "Τέως προσελθὼν φάγε μεθ' ἡμῶν". Καὶ προσελθὼν ἐν ἀκακίᾳ ὁ ἅγιος καὶ φαγὼν διήρκει τῇ ὑπηρεσίᾳ, καί τινες ἀναστάντες τοῦ δείπνου ὠρχοῦντο, καὶ κρατήσαντες τὸν ἅγιον συνορχεῖσθαι παρεσκεύαζον· καὶ δὴ συστραφέντες λύουσι τὴν ζώνην τοῦ ἁγίου καὶ ῥίπτουσιν ἐκ πλαγίου· τὸ δὲ ἔνθεν, πρὸς τὸ μὴ κωλύεσθαι ῥᾳδίως ἐκλύεσθαι τὸ σῶμα πρὸς τὴν ὄρχησιν, λύεται δὲ καὶ τὸ δεῖπνον τῆς πονηρᾶς συσκευῆς.

7. Καὶ τῆς νυκτὸς διελθούσης, ἀναστὰς τὸ πρωὶ ὁ ἅγιος μεγαλομάρτυς Ἠλίας, ἐπεὶ κατὰ τὸν οἶκον ἐκεκοίμηντο ἅμα πάντες οἱ συνδειπνήσαντες, περιζώννυται κατὰ τὸ ἔθος τῆς χριστιανικῆς πολιτείας τὴν ἰδίαν αὐτοῦ ζώνην, καὶ νιψάμενος τὸ πρόσωπον ἐξῆλθεν τοῦ οἴκου πορευόμενος θεῷ προσεύξασθαι. Ἐπικράξας δέ τις ἐμπεφορημένος τοῦ ὀψινοῦ μεθύσματος λέγει· "Ἠλία, ποῦ ὑπάγεις"; Ἀνταπεκρίθη ὁ ἅγιος· "Ὑπάγω εὔξασθαι". Διαλαβὼν δέ τις ἕτερος λέγει τῷ ἁγίῳ· "Καὶ οὐκ ὀψὲ ἠρνήσω τὴν πίστιν σου"; Καταφρονήσας οὖν ὁ ἅγιος τοῦ λόγου καὶ μηδ' ἐπιστραφεὶς πρὸς τὸν εἰπόντα, ἀλλὰ πορευθεὶς εἰς τὴν προσευχήν, κἀκεῖθεν ὑποστρέψας ἔρχεται εἰς τὸ ἐργαστήριον καὶ εὑρίσκει τὸν ἀποστάτην. Καὶ λέγει αὐτῷ κἀκεῖνος· "Ὄντως, Ἠλία, εἰ μὴ ὅτι ἐγὼ ἐκώλυσα τοὺς ἑταίρους ἡμῶν, ἔμελλον ἂν λυπῆσαί σε σήμερον, ὅτι λέγουσιν ὀψὲ ἠρνήσω τὸν Χριστόν· ἀλλ' ἐργάζου καὶ ἔσο ἄφοβος". Ταῦτα ἀκούσας ἐθαμβήθη ὁ ἅγιος, καὶ μικρὸν ἡσυχάσας, αὖθις κατὰ τὸν

3 συγχαίροντα PC. 6 θέλῃς C. 8 οὐκ ἔτι PC. 9 κατ' εὐθὺ P. 12 διήκει C. 13 σὺνορχεῖσθαι P. 15 ἐκλύσεσθαι P. corr. C. 19 μάρτυς C. 26 μηδὲπιστραφεὶς P. 29 ἐκεῖνος C. 32 ἐθάμβει C || τὸν om. C.

καιρὸν τοῦ ἁρίστου ἀναχωρήσας ἔρχεται πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ καὶ διηγεῖται αὐτοῖς τὰ συμβάντα αὐτῷ· καὶ γνώμης γενόμενος τοῦ μείζονος ἀδελφοῦ, ἅμα δὲ καὶ τῆς μητρὸς ἑαυτοῦ, ἔρχονται πρὸς τὸν ἀποστάτην καὶ λέγουσι πρὸς αὐτόν· "Ἄνθρωπε, ἰδοὺ ὁ ἀδελφός ἔτος ἔχει πρὸς σὲ καὶ τοῦ ἐκμισθώματος αὐτοῦ ὑπελείφθη τι παρὰ σοί· δὸς ἡμῖν τὸ δίκαιον ἡμῶν καὶ ἀπελεύσεται ὁ ἀδελφὸς ἡμῶν ἀπὸ σοῦ, ὅτι συνείδομεν ἀπολῦσαι αὐτὸν εἰς Ἡλιούπολιν τὴν πατρίδα ἡμῶν". Ἀπεκρίθη ὁ ἀποστάτης καὶ λέγει· "Οὐκ ἔχετε τίποτε προσυπολειφθὲν τοῦ ἐκμισθώματος τοῦ παιδός· πλὴν οὐδὲ ἀφῶ τὸν παῖδα ἀπελθεῖν ἀπ' ἐμοῦ, καθότι ἀπέστη τῆς πίστεως ὑμῶν τῶν χριστιανῶν, καὶ ἔχω κατ' αὐτοῦ μάρτυρας".

8. Γεναμένης οὖν ἀντιλογίας ἐντεῦθεν ὑπ' ἀμφοτέρων, καὶ τοῦ μὲν ἁγίου ἐκδιηγουμένου τὰ κατὰ τὸν πονηρὸν δεῖπνον λεχθέντα καὶ τοῦ ἀποστάτου διισχυριζομένου ἀπαγαγεῖν τὸν ἅγιον πρὸς τὸν ἡγεμόνα, τότε ἀφέντες οἱ ἀδελφοὶ τοῦ ἁγίου ὃν ἐζήτουν μισθὸν αὐτοῦ, καὶ τὸ δοκεῖν κατευνάσαντες τὸν ἀποστάτην, λαβόντες τὸν ἅγιον λέγουσιν οἱ ἀδελφοὶ αὐτοῦ· "Ἀδελφέ, συνορῶμεν ὅπως ἐπαναχθῇς εἰς Ἡλιούπολιν τὴν πατρίδα ἡμῶν κἀκεῖσε ὡς δύνασαι ἐργαζόμενος διαρκέσῃς ἐπὶ χρόνον, ἕως ἂν παρέλθῃ ὁ λόγος οὗτος· φοβούμεθα γάρ, μήπως σοῦ ὁρωμένου ἐνταῦθα πάλιν ἀνακινηθῇ ὁ ἀποστάτης καὶ συσκευάσῃ τὸν πειρασμόν· θέλων γὰρ οὗτος ἔχειν σε δοῦλον ἑαυτοῦ εἰς τὰ τοιαῦτα μετετράπη". Κατευνάσας δὲ τότε ὁ ἅγιος ὑποστρέφει εἰς Ἡλιούπολιν, καὶ ἐν τοῖς ἐπιχωρίοις ἐργαζόμενος διήρκεσεν ἐπὶ ἔτη ὀκτώ· καὶ μετὰ ταῦτα λογισάμενος κατῆλθεν εἰς Δαμασκόν, καὶ συνιδόντες οἱ ἀδελφοὶ αὐτοῦ λέγουσι τῷ ἁγίῳ· "Ἤδη χρόνος ὀκτὼ ἐνιαυτῶν διελθὼν λήθην ἐνεποίησε τῷ ἀποστάτῃ περὶ τοῦ λογισμοῦ ἐκείνου, οὗ εἶχεν περὶ σοῦ· ἔκτοτε γάρ, ἀφ' οὗ ἀπελήλυθας ἀπ' αὐτοῦ, πολλάκις ἀπαντήσαντες αὐτῷ καὶ συντυχόντες οὐδὲν εἶπεν ἡμῖν περὶ σοῦ. Νῦν οὖν συνορῶμεν τοῦ μὴ χωρισθῆναί σε ἀφ' ἡμῶν, καὶ ταῦτα τῆς μητρὸς ἡμῶν λυπουμένης· ἀλλὰ νέος ὢν λοιπὸν τῇ ἡλικίᾳ, ἤδη γὰρ τὸ εἰκοστὸν διῆλθες ἔτος,

3 ἑαυτοῦ P, αὐτοῦ C. 5 ὑπελήφθη τί P. 14 ἀποστάτου om. C. 18 ἐπανσχθεὶς P. corr. C. 19 διαρκέσεις P. 21 συσκευάσει P. corr. C. 22 μετετράπει P. corr. C. 25 συνειδόντες P, συνείδοντες C.

καὶ γενειάζειν ἀρξάμενος πιστεύῃ ὡς ἀνὴρ ἐν τῇ τέχνῃ· ἄνοιξον ἐργαστήριον καὶ ἔσο ἐν Δαμασκῷ σὺν ἡμῖν διατρίβων".

9. Ἐπείσθη οὖν ὁ ἅγιος, καὶ τῆς σκέψεως λοιπὸν εἰς ἔργον ἐλθούσης, σχολάζων τῷ ἐργαστηρίῳ αὐτοῦ σάγματα καμήλων ποιῶν ἐπίπρασκεν. Μαθὼν δὲ ὁ ἀποστάτης καὶ φθονήσας τῷ ἁγίῳ, ἐπεὶ πλησίον ἦν ἀγχιθύρως κατὰ τὸ ἐργαστήριον, ἔρχεται πρὸς τὸν ἅγιον καὶ λέγει αὐτῷ· "Ἑταῖρε, ποῦ ἦς τὰ ἔτη ταῦτα; διὰ τί σήμερον ἐλθὼν ἐπικόπτεις κατ' ἐμοῦ; Νῦν οὖν ἐλθὲ καὶ ἐργάζου πάλιν σὺν ἐμοὶ κοινωνός μου γινόμενος". Λέγει μειδιάσας ὁ ἅγιος· "Ἠδίκησάς με, τοῦ μισθοῦ ἀποστερήσας με· θέλεις πάλιν ἀδικῆσαί με"; Ἐδάχθη ὁ ἀποστάτης ἐπὶ τούτῳ, καὶ λέγει πρὸς τὸν ἅγιον· "Ὄντως ἠδίκησά σε ἀφήσας ἀρνησάμενον μένειν ἐν τῇ πίστει σου". Καὶ προσφωνήσας τὸν υἱὸν τοῦ ἀποθανόντος Ἄραβος, τοῦ καὶ ἀντιλήπτορος αὐτοῦ, οὗ καὶ τὸ πονηρὸν δεῖπνον προεγράφη, λέγει πρὸς αὐτόν· "Οὐ μαρτυρεῖς, ὅτι οὗτος ὁ Ἠλίας ἀπέστη ἀρνησάμενος τὸν Χριστὸν κατὰ τὴν ἑσπέραν ἐκείνην"; Καὶ ἀπεκρίθη· "Ναί". Καὶ λέγει ὁ ἀποστάτης τῷ ἁγίῳ· "Ἄγωμεν πρὸς τὸν ἔπαρχον".

10. Καὶ ἐπισύρας τῇ χειρὶ τὸν ἅγιον παρέστησε Λεϊθί τινι οὕτω καλουμένῳ, συμμαρτυροῦντος τοῦ νεωτέρου ταῦτα οὕτως ἔχειν. Ἠρώτησεν οὖν ὁ ἔπαρχος τὸν ἅγιον, εἰ ἀληθῆ εἰσι τὰ λεχθέντα περὶ αὐτοῦ· ὁ δέ φησιν· "Οὐδαμῶς· μὴ γένοιτό μοι ἀρνήσασθαι πίστιν, ἣν ἐν αὐτῇ ἐγεννήθην, ἀλλὰ Χριστὸν ὁμολογῶ, καὶ προσκυνῶ αὐτῷ ὡς θεῷ ὄντι οὐρανοῦ τε καὶ γῆς καὶ θαλάσσης". Λέγει ὁ ἔπαρχος· "Δεδόσθω μὴ ἀρνήσασθαί σε πώποτε· ἐπεὶ παρέστης, προτρεπόμεθά σε ἀρνήσασθαι καὶ προσελθεῖν τῇ τῶν Ἀράβων θρησκείᾳ καὶ τυχεῖν παρ' ἡμῶν πάσης τιμῆς". Ἀπεκρίθη ὁ ἅγιος· "Μὴ γένοιτό μοι τοῦτο ποιῆσαι εἰς τὸν αἰῶνα· χριστιανὸς γάρ εἰμι, ἐκ πατέρων χριστιανῶν καταγόμενος, καὶ ὑπὲρ τῆς πίστεως ταύτης ἑτοίμως ἔχω ἀποθανεῖν". Ἔφη ὁ ἔπαρχος· "Τῶν μαρτύρων κατηγορούντων, δέχομαι κατὰ σοῦ τὴν μαρτυρίαν καὶ ἐκβιάζομαί σε ἀρνήσασθαι, ἐπεὶ μήτε δυνατόν ἐστι παραχω-

1 γενιάζειν C. 9 σὺν ἐμοὶ om. C || γενόμενος C. 11 τοῦτο P, τούτου C. 12 ἀφήσας σε C. 13 πρὸσφωνήσας P. 19 λεϊθὶ τινὶ P. 22 δὲ φησὶ C. 26 προτρέπομαι C || σε om. C.

ρηθῆναι τοὺς ἅπαξ ποτὲ τὴν ἡμετέραν θρησκείαν ἀναδεξαμένους". Ἔφη ὁ ἅγιος· "Σὺ μὲν ὁ δικάζων ὡς ἂν ἐθέλοις τοὺς κατηγόρους μου δέχῃ, ἐγὼ δέ σοι θερμότερον λέγω, ὅτι χριστιανός εἰμι, καὶ προδίδωμί σοι (εἰ δέοι) τὸ σῶμά μου, ἵνα μὴ βίᾳ ἀλλὰ προθυμίᾳ τὴν πίστιν μου ἐνδείξωμαι".

11. Κελεύει οὖν ὁ δικάζων ἐκδυθέντα τὸν ἅγιον μαστιχθῆναι, ἕως (φησὶ) βιασθεὶς προσέλθῃ τῇ ἀρνήσει, ἢ κατηγορεῖται. Γυμνώσαντες οὖν τὸν ἅγιον μεγαλομάρτυρα καὶ τοῖς σχοινίοις ἐκτείναντες τύπτουσι λεπτοῖς βουνεύροις, ἕως οὗ τὸ αἷμα αὐτοῦ κατέρρευσεν· ἐδυσώπησε δὲ τὸν δικάζοντα παύσασθαι τοὺς τύπτοντας, φωνὴν ἀφιεὶς μικρὰν παρακλήσεως, τὴν φιλανθρωπίαν τοῦ δικάζοντος ὑφειμένως αἰτούμενος. Καὶ λέγει ὁ δικάζων· "Τί ἔν, νεώτερε; εἰ θέλεις, ἄρνησαι τὸν Χριστὸν καὶ πορεύου". Ἀπεκρίθη ὁ ἅγιος· "Οὐ διὰ τοῦτό σου τὴν φιλανθρωπίαν ἐπεκαλεσάμην ἐφ' ᾧ ἀρνήσομαι, ἀλλ' ἵνα συμπαθήσῃς τῷ ἀπαλῷ τῆς νεότητός μου καὶ τῇ φύσει τῇ ἀνθρωπίνῃ, ἀπολύσῃς δέ με ἐμμένειν κατὰ τὴν πίστιν μου, ἣ ἐγὼ ἐκ πατέρων διαζῶν εἰμι". Ὁ δικάζων εἶπεν· "Μὴ νομίσῃς ὅτι ἀπολυθήσῃ τῆς δίκης ταύτης, εἰ μὴ πρότερον ἀρνήσῃ ὃν πιστεύεις Χριστόν". Ὁ ἅγιος ἔφη· "Λοιπὸν ἐκ σοῦ τὸ τύπτειν, ἐξ ἐμοῦ τὸ τύπτεσθαι". Αὕτη ἰδιοτρόπως φωνὴ πρὸς τὸν δικάζοντα τοῦ μεγαλομάρτυρος· "Ἐκ σοῦ τὸ διδόναι, ἐξ ἐμοῦ τὸ μὴ ἐνδιδόναι. Ἰδού σοι παρέστηκα γεγονὼς ἀδαμάντινος".

12. Τότε ἐμμανὴς γεγονὼς ἐπὶ τῇ ἀποκρίσει τοῦ ἁγίου ὁ δικαστής, προστίθησιν αὐτῷ μάστιγας πλείους, καὶ σιδηρώσας κελεύει αὐτὸν συρθῆναι ἐκ ποδῶν εἰς τὸ δεσμωτήριον. Ἐσύρετο οὖν ὁ ἅγιος μάρτυς, καὶ κάτωθεν τῆς γῆς ἀντιτυπούσης πρὸς τὰς πληγάς, ἃς ἀπὸ τῶν μαστίγων εἶχεν ἀπὸ κεφαλῆς ἕως ζώσεως, συναπέσπα τὰς σάρκας ἅμα τε ἀπαλὰς οὔσας τῇ ἡλικίᾳ, καὶ κατακλεισθεὶς ἔκειτο ὀδυνώμενος ταῖς πληγαῖς. Ταχέως δὲ ἡ φήμη εἰς πᾶσαν τὴν πόλιν τὰ περὶ τοῦ ἀθλητοῦ διαγγέλλουσα ἐξήρχετο, καὶ παραγίνονται οἱ ἀδελφοὶ τοῦ ἁγίου κλαίοντες ἐπ' αὐτῷ, καὶ παρεκάλουν ὑπομεῖναι τοῖς ὑπὲρ Χριστοῦ παθήμασιν. Ὁ δὲ μεγαλομάρτυς τοῦ Χριστοῦ Ἠλίας ἀναβλέψας εἰς τὸν οὐρανὸν

7 ἀρνήσῃ P. 12 ἐν P, ἔνι. C. 13 ἀρνῆσαι τὸν Χριστὸν, ἄρνησαι C. 17 εἰμι P. 18 νομίζῃς C. 25 ἐσύρετο P, ἔρριπτο C. 31 ἐπ' P, ἐν C.

εἶπεν παρακαλῶν τοὺς ἑαυτοῦ ἀδελφούς· "Πιστεύσατε, ἀδελφοί μου, ὅτι οὐ μὴ καταισχύνω ὑμᾶς, οὐδ' οὐ μὴ καθυβρισθῇ δι' ἐμοῦ ἡ πίστις τοῦ Χριστοῦ· ἀλλ' εἰ καὶ δεῖ τι πλέον παθεῖν ὑπομενῶ. Ἀπολογοῦμαι δὲ καὶ ὑμῖν περὶ μιᾶς φωνῆς, ἧς πρὸς τὸν δικάζοντα εἶπον ἐπικαλεσάμενος τὴν φιλανθρωπίαν αὐτοῦ, ὡς οὐκέτι οὐ μὴ αὐτὸν ἐπικαλέσομαι, ἀλλ' ἢ τὸν κύριόν μου Ἰησοῦν Χριστόν, τὸν ἀληθινὸν θεὸν ἡμῶν· αὐτὸν ἐπικαλέσομαι καὶ αὐτὸς ἔσται μοι βοηθός. Ὅπερ δὲ καὶ εἶδον ἐν ὁράματι διὰ τῆς διελθούσης νυκτός, ἀπαγγελῶ ὑμῖν. Εἶδον ἐμαυτὸν ἐν παστοφορίῳ καθεσθέντα ἐν ἐπιδόξῳ τόπῳ, καὶ ἕτερόν τινα θάλαμον ἐπιπλακέντα μοι ἀπὸ ἀνθέων διαφόρων καὶ στεφάνους ἐπικρεμαμένους μοι· καὶ ἐπιστραφεὶς εἶδον καί τινα μαῦρον Αἰθίοπα παραστάντα μοι, ἐπιδεικνύοντά μοι σταυρὸν καὶ ἐπαπειλοῦντά μοι θάνατον, καὶ ξίφη καὶ πῦρ καὶ ἄλλα πολλὰ φόβητρα βρύχοντα κατ' ἐμοῦ. Ἐγὼ δὲ κατεγέλων αὐτοῦ· ἔχαιρον δὲ (ὡς ἐδόκουν) ἐγκαθήμενος καὶ τοῖς ἄνθεσι τῶν στεφάνων ἐπετερπόμην. Καὶ νῦν ὑμῖν λέγω, ἀδελφοί μου, ὅτι ἢ σταυροῦσί με ἢ καίουσι πυρί, ἢ καὶ ἅμα πάντα παθεῖν ἔχω· ἀλλ' εὐαγγελίζω ὑμῖν, ὅτι προεθέμην πάντα ὑπομεῖναι ὑπὲρ τῆς ἐλπίδος ταύτης, ἧς ἔχω εἰς Χριστόν, καὶ βλέπω ἐμαυτὸν ἐν χαρᾷ πολλῇ καὶ θερμῇ πίστει, καὶ μικρὸν ἀλγῶ καὶ ὀδυνῶμαι ἐκ τῶν μαστίγων τούτων· καὶ νῦν μὴ κλαίετε ἐπ' ἐμοί, ἀλλὰ τὸ καλὸν ποιήσαντες πορεύεσθε ἐν εἰρήνῃ". Ἐπέστη δὲ ἐπὶ τούτοις ὁ δεσμοφύλαξ ἐμβριμώμενος τοῖς ἀδελφοῖς τοῦ ἁγίου, καὶ ἐξέβαλε πάντας τοῦ δεσμωτηρίου λέγων· "Ἐπετράπην μηδένα ἀφιέναι προσελθεῖν τῷ ἁγίῳ, μηδὲ ἐπιμελείας παντοίας παραχωρεῖν τυχεῖν αὐτόν, ἀλλ' ἢ ἀρνησάμενον ἀπολύειν, ἢ ἐμμένοντα τιμωρεῖσθαι".

13. Μεθ' ἡμέρας δὲ ὀλίγας ἐξάγουσιν τὸν ἅγιον Ἠλίαν σιδηροδέσμιον πρὸς Λεϊθὶ τὸν δικάζοντα, καὶ ἀναβλέψας πρὸς τὸν ἅγιον εἶπεν· "Νεανία, ἐρωτώμενος τὰ εἰς εἰρήνην ἄρνησαι Χριστὸν καὶ πορεύου. Τί σοι κέρδος γένηται, εἰ καταβῇς εἰς Ἅδου ἐν διαφθορᾷ"; Ἀπεκρίθη ὁ ἅγιος μετὰ παρρησίας καὶ λέγει· "Χριστιανός εἰμι καὶ εἶπόν σοι: Ἐκ σοῦ τὸ τύπτειν, ἐξ ἐμοῦ τὸ τύπτεσθαι". Κελεύει οὖν

4 ἧς pro ἣν; cf. lin. 19; item p. 52, 25: ὧν ἔχουσι. 5 οὐκ ἔτι P. 6 ἐπικαλέσομαι P, παρακαλέσομαι C. 12/13 ἐπιδεικνύντά μοι C. 17 ὅτι ἢ P, ὅτι κἂν C. 22 πορεύετε C. 27/28 σιδηρούμενον C.

πάλιν τύπτεσθαι ὑπὸ ἀνδρῶν ἰσχυρῶν τοῖς βουνεύροις, καὶ ἅμα τῇ ἀρχῇ, ἐπεὶ σαπεῖσα ἦν ἡ σάρξ, ἐνεμπύασε καὶ ἀπερρύη ἰχῶρα πολύν, ἅμα καὶ σκωλήκων ἐκπιπτόντων καὶ δυσωδίας διαδοθείσης. Τότε μὴ ἐνέγκας ὁ δικάζων τὴν θέαν τῆς φθορᾶς, κελεύει κατὰ γῆν ἐπὶ πρόσωπον ῥιφέντα τὸν ἅγιον τύπτεσθαι ῥάβδοις ἀπὸ τῆς ὀσφύος μέχρι τῶν ποδῶν καθ' ἑκατέρων, ἐλπίζων ἢ περικρατὴς γενέσθαι τοῦ γενναίου ἀθλητοῦ, ἢ θανατῶσαι αὐτόν. Ἐπὶ πολὺ δὲ τυπτηθεὶς ὁ ἅγιος καὶ μηδεμίαν φωνὴν ἀφεὶς πρὸς τὸν δικάζοντα, τὸν δὲ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐπικαλούμενος ἐνίσχυεν αὐτόν. Κατέπληξε δὲ τὸν δικαστήν, ὅτι περ φησὶ "πρότερον μικρὸν πειρασθεὶς ἐπεκαλεῖτο τὴν ἡμετέραν φιλανθρωπίαν· νῦν δὲ τὰ μείζω, οὐδὲ ἐπεστράφη". Ὄντως οὐδὲν στερρότερον τοῦ πάντα παθεῖν προελομένου.

14. Κελεύει οὖν κατ' αὐτοῦ πάλιν εἰς τὸ δεσμωτήριον συρόμενον ἀπάγειν· καὶ τότε συρομένου τοῦ ἁγίου συνήρχετο τὸ πλῆθος τῶν ἀγοραίων, οἱ μὲν αὐτὸν συμπατοῦντες οἱ δὲ πτύοντες, ἄλλοι δὲ καὶ ἐπιρρίπτοντες ὅσα ταῖς ἀγοραῖς τῶν καταρριπτουμένων ἐτύγχανον. Καὶ κατακλεισθεὶς κατ' ἐκείνην τὴν νύκτα, ἐπιτρυχόμενος τὸ σῶμα διετέλει, καὶ θεωρεῖ περὶ αὐτὸν ὡς χύσιν τινὰ φωτὸς γινομένην, καὶ (ὡς ὁ δεσμοφύλαξ τισὶ διηγήσατο) φωναὶ ψαλλόντων ἐξηκούοντο ἀπὸ τοῦ φωτός. Οὐ γάρ τις ποτὲ διελέχθη αὐτῷ, ἀφ' οὗ τὸ δεύτερον κατεκλείσθη· ἐν παραστάσει τοῦ βήματος καὶ εἴποτε ἐξαγομένῳ τις τῶν γειτόνων ἄρα ὑπάρχων συνελάλει τῷ μάρτυρι, καίτοι γε παραστὰς ὁ ἅγιος Ἠλίας ὡμολόγησε Χριστὸν ἑωρακέναι ἐπαλείφοντα αὐτὸν καὶ ἐνισχύοντα πρὸς τὸν ἀγῶνα.

15. Τότε πορευθεὶς Λεϊθὶ πρὸς τὸν Μουχάμαδ, τετράρχην ὄντα καὶ ἡγεμόνα ἐξ ἀνεψιῶν Μααδὶ τοῦ βασιλέως Ἀράβων, ἀνεδίδαξε πᾶσαν τὴν περιπέτειαν τοῦ ἁγίου καὶ ὅσα εἰς αὐτὸν ἐνεδείξατο νικῆσαι θέλων αὐτόν· καὶ θαυμάσας ὁ ἡγεμὼν κελεύει παραστῆναι τὸν ἅγιον, καὶ παρέστη. Λέγει οὖν ὁ ἡγεμών· "Νεώτερε, διηγήσατό μοι Λεϊθὶ τὰ περὶ σοῦ καὶ ἐμεμψάμην αὐτόν, ὅτι τοσαῦτα εἰς σὲ εἰργάσατο· ἀλλ' ἰδοὺ ὑπεραπολογοῦμαί σοι ἐγώ, καὶ ἀποδύομαι τὰ ἱμάτιά μου καὶ ἐνδύσω σε αὐτὰ τιμῶν σε

1 ἐνεμποίασε κ. ἀπερρύει P. corr. C. 7 τυπτηθεὶς P, τυφθεὶς C. 8 μηδεμίαν P. 15 συμπατοῦντες P, συμπαθοῦντες C. 16 καταριπτουμένων PC. 17 ἐτύγχανε C. 19 ὁ om. C. 22 τὶς P. 25 μουχαμὰδ. C. 32 ἀποδύσομαι C.

ἀνθ' ὧν ἠτίμασέν σε· καὶ παρέχω σοι ἵππον καὶ ἅρμα καὶ χρυσίον καὶ κόρην ὡραίαν εἰς γυναῖκα· μόνον πείσθητί μοι σήμερον θρῃσκὸς σὺν ἡμῖν γινόμενος". Ἀπεκρίθη ὁ ἅγιος· "Συνεφωνήθη ὑμῖν ἀμφοτέροις τὰ εἰς ἀπώλειάν μου ἐπιτηδεῦσαι· ὁ μὲν γὰρ βάσανα καὶ ἀπειλάς, ὁ δὲ κολακείας καὶ φιλοτιμίας προβάλλεσθε. Νῦν οὖν ἄκουσον, ἡγεμόν· Ἐγὼ χριστιανός εἰμι καὶ τὰς τιμάς, ἃς προβάλλῃ, ἐφ' αἷς ἅπαξ ἀπατηθῆναι καὶ ἀρνήσασθαι τὸν Χριστόν μου, οὐ προσδέχομαι". Ἔφη ὁ ἡγεμών· "Τάχα δοκεῖς, ὅτι τυπτόμενος ἀπολύῃ, καὶ διὰ τοῦτο τούτοις ἐμμένεις; Γνῶθι οὖν ὅτι ἦλθε παρὰ Μααδὶ κρατηθῆναι πάντας τοὺς κατηγορουμένους τῷ ἐγκλήματι τούτῳ, δηλονότι τοὺς προσερχομένους εἰς τὴν τῶν Ἀράβων πίστιν καὶ αὖθις εἰς χριστιανοὺς μετατρεπομένους, καὶ εἰ μὴ προτραπέντες ἀποστῶσιν τῆς πίστεως Χριστοῦ ἀποθνῄσκειν. Καὶ νῦν προκατηγορηθέντα σε, εἰ μὲν πείσομεν, καλῶς· εἰ δὲ μή, γίνωσκε ὅτι ἀποκτενοῦμέν σε πολλαῖς βασάνοις". Ἀποκριθεὶς δὲ ὁ ἅγιος Ἠλίας εἶπεν· "Εἶδον ταῦτα πάντα, ἃ λέγεις, ἐν ὁράματι τῆς νυκτός, ἤτοι ἀποτμηθέντα καὶ σταυρωθέντα καὶ καυθέντα, καὶ ἡτοίμασα ἐμαυτὸν πάντα προθύμως παθεῖν ὑπὲρ τοῦ καθεσθῆναι εἰς τὸ παστοφόριον καὶ τοὺς θαλάμους περιπλακῆναί με καὶ τοὺς στεφάνους τοὺς ἀκηράτους ἐπιστεφθῆναί με. Ποίει οὖν ὃ κελεύεις, καὶ ἄρξαι ὅθεν βούλει".

16. Εἰσῆλθον οὖν ἐπὶ τούτοις, παρεστῶτος τοῦ ἁγίου, δύο υἱοὶ τοῦ ἡγεμόνος, καὶ τὴν αἰτίαν τῶν ἐπικειμένων σιδήρων καὶ τῶν μαστίγων μαθόντες καὶ ἐπιστραφέντες πρὸς τὸν ἅγιον μετὰ συμπαθείας καὶ ἐλέους, κολακεύοντες εἶπον τῷ ἁγίῳ μεθ' ὅρκων φρικτῶν, ὧν ἔχουσι καθ' ἑαυτῶν ἀπομνύμενοι τὴν τοῦ Μωάμεθ θρῃσκείαν. Ὑπέσχοντο ἀντιλαβέσθαι αὐτοῦ ὡς οἰκείου ἀδελφοῦ καὶ ἄγειν διὰ πάσης τιμῆς καὶ συστρατεύειν ἑαυτοῖς, καὶ ἵνα ἀναγράψωνται τὸ ὄνομα αὐτοῦ εἰς τοὺς βασιλικοὺς αὐτῶν κώδικας, εἰ ἀρνηθείη τὸ ὄνομα τοῦ Χριστοῦ· ὁ δὲ μυκτηρίσας αὐτοὺς ἵστατο ἀτρέμας. Τότε κελεύει ὁ ἡγεμὼν Λεϊθὶ τὸν ἔπαρχον λαβόντα τὸν ἅγιον ταῖς αὐταῖς βασάνοις ἀποστρέφειν, ἕως ἂν ἢ αὐτοῦ ἐξαρνου-

2 θρησκὸς P, θρῆσκος C. 3 γενόμενος C ‖ ὑμῖν] ἡμῖν P. corr. C. 9 διατοῦτο hic et infra ubique. 11 δῆλον ὅτι PC. 14 σε om. C. 18 τοῦ] τὸ PC. 26 Μωάμεθ P, Αμὲθ C. 28 ἑαυτοῦ P. corr. C. 29 κωδίκους C.

μένου ἀπολυθῇ, ἢ ἐπιμένοντος ἀποκτανθῆναι· καιρὸς δὲ ἦν χειμερινός, μὴν Ἰανουάριος. Καὶ ἐξώσας αὐτὸν ἀπὸ τοῦ ἡγεμόνος φέρει εἰς τόπον λεγόμενον Πρασινά, καὶ κελεύει αὐτὸν παρίστασθαι γυμνὸν πρὸ τοῦ βήματος, ἕως ἂν φησι σκέψηται περὶ αὐτοῦ.

17. Τότε τῆς φύσεως μὴ ἀντισχούσης τὴν τοῦ ψύχους κρυώδη ἀντιπάθειαν, καὶ ὡς ἤδη μετὰ τὴν τῆς γυμνώσεως βίαν πάλιν ὡσαύτως εἰς δεσμωτήριον ἀπενεχθέντος, κἀκεῖ μηδενὸς θάλπους παραμυθουμένου αὐτήν, ἀντιπάσχει τῷ ἁγίῳ καὶ γίνεται συμφορὰ μεγάλη πρὸς τῇ ἀθλήσει τῷ ἁγίῳ· ἥ τε γὰρ κοιλία ψυχθεῖσα ἐφέρετο δυσεντερίαν νοσήσασα, καὶ θεωρεῖται ἐν ἅπασι μεγάλη ὑπομονὴ τοῦ μάρτυρος. Ἡ γὰρ φύσις αὐτοῦ ἀντέπραττε καὶ τὰ ἔξωθεν ἐπετείνετο, καὶ οἱ περὶ αὐτὸν ἀτημέλητοι, καὶ ὁ καιρὸς οὐκ ὀξὺς οὐδὲ σύντομος, ἀλλὰ μέχρι τῶν τεσσαράκοντα ἡμερῶν ἐξετείνετο· οἱ δὲ βαστάζοντες ὥσπερ νεκρὸν καὶ ἐπιρρίπτοντες κατὰ κτήνους οὗ ἂν κατατυγχάνοντες ἐχειροῦντο, ἔφερον εἰς τὸ δικαστήριον καὶ ἔρριπτον ὡς ἄταφον ἐβδελυγμένον νεκρόν, μηδενὸς τῶν πιστῶν προσεγγίσαι τολμῶντος· καὶ αὖθις οἱ αὐτοὶ ὑπηρέται ἀνθυποστρέφοντες τὸν ἅγιον εἰς τὸ δεσμωτήριον, τοῖς αὐτοῖς περιαντλούμενον πάθεσι κατελίμπανον.

18. Φέρεται δὲ φᾶσις περὶ αὐτοῦ, ὡς ὅτι πρώτῃ Φεβρουαρίου μηνός, ἥτις ἐστὶ πρὸ μιᾶς τῆς ὑπαντῆς τοῦ κυρίου Ἰησοῦ, κατ' αὐτὴν τὴν ἡμέραν τελειωθέντα πρὸς κύριον ἐκδεδημηκέναι. Ἀλλά γε παρήσωμεν τὴν τοῦ τέλους ἡμέραν, τὰ λείποντα δὲ ἀνταναπληρώσωμεν.

19. Ἔτι οὖν αὐτοῦ τοῦ ἁγίου ὑπάρχοντος ἐν τῷ δεσμωτηρίῳ καὶ τοῖς δεινοῖς κατατρυχομένου πάθεσιν, ἐπέμφθησάν τινες παρὰ τοῦ κρατοῦντος εἰς τὸ δεσμωτήριον πρὸς τὸν μάρτυρα ἐξαπατῆσαι τοῦτον βουλόμενοι· καὶ οἱ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν ἐν αὐτοῖς πεπιστευμένων Ἀράβων, οἳ καὶ ῥητορείας καὶ θωπείας προσάγοντες τῷ μεγαλομάρτυρι, οὐδὲν ἄλλο ἢ γενναιότερον τὸν μάρτυρα τῇ ὁμολογίᾳ ἀπεδείκνυον. Καὶ ἀναστὰς ὁ ἀθλητὴς παραδόξῳ θαύματι

1 ἀποκτανθῆναι sic PC. 2 ἰαννουάριος P. 3 παραστῆναι C. 7 ὡς αὕτως - κἀκεῖ P. 12 ἔξωθεν apogr., ἐνδόσθια C. 14/15 κατακτήνους P. 16 βδελυγμένον C. 20 φᾶσης - φευρουαρίου P, corr. C. 21 προμιᾶς P. 23 παρήσομεν P, corr. C ‖ λίποντα PC. 24 ἀναπληρώσωμεν C. 29 ῥητορίας κ. θοπείας P. corr. C.

καὶ ἀθρόᾳ μεταβολῇ τοῦ ὑψίστου θεοῦ, περιζώννυται τὴν ἑαυτοῦ ζώνην, καὶ νιψάμενος τὸ πρόσωπον καθῆστο ἐν τῷ δεσμωτηρίῳ ὡς μηδὲν ἐνάντιον παθών, ἀλλ' ὅλως ἀνθηρὸς τῷ προσώπῳ καὶ χαίρων τῇ ψυχῇ διετέλει. Ἐν τούτοις δὲ ὧν, τῶν δημίων ἐπιστάντων, ἐξάγουσι τὸν ἅγιον περιπατοῦντα τοῖς σιδήροις ἐπὶ τοῦ βήματος, καί τις τεθεαμένος τὸν ἅγιον τῷ ἀνθηρῷ τῷ προσώπῳ εἶπεν πρὸς Λεϊθί· "Οὗτος εἰς τροφὴν ἦν καὶ διὰ τοῦτο οὐκ ἤσθετο τῶν βασάνων". Κελεύει οὖν γυμνωθέντα τὸν ἅγιον δώδεκα σπάθη χερσὶ στρατιωτῶν περιίστασθαι τῷ ἀθλητῇ κύκλωθεν ἀναρριπίζοντας, ὡς δῆθεν ἐκθροοῦντας τοὺς στρατιώτας τὸν μάρτυρα καὶ τὸ δοκεῖν τύπτειν καὶ κατακόπτειν αὐτὸν πειρωμένους. Ἐπὶ τούτοις οὖν συνέφθασε καί τις ἀπὸ τοῦ ἡγεμόνος μέγας γέρων λογοθέτης, τίμιος ἐν ὑποκρίσει παρὰ πᾶν τὸ γένος τῶν Ἀράβων, καὶ προσελθὼν τῷ ἁγίῳ ἐπήλειφε παρακαλῶν μόνον ἓν ῥῆμα εἰπεῖν καὶ ἀπολυθῆναι ὅπου ἂν ἐθέλοι πορεύεσθαι· καὶ προσαγαγὼν ἔνδεσμον πολλοῦ χρυσίου ὑπεδείκνυεν τῷ ἁγίῳ νεομάρτυρι λέγων· "Ταῦτα ὑπὲρ τῆς ὕβρεως καὶ βασάνων, ἃς ὑπέμεινας, παρέχομέν σοι· λαβὼν πορεύου". Ὁ δὲ κλίνας τὴν κεφαλὴν καὶ κρούσας τῇ χειρὶ καὶ πολλὰ τὸν ματαιογέροντα καταλοιδορησάμενος καὶ καταμεμψάμενος ἀπεπέμψατο.

20. Καί φησι Λεϊθὶ πρὸς τὸν ἅγιον· "Ἄθλιε, ἰδοὺ ῥόπαλα περιέθηκα καὶ ξίφη περιΐστανταί σοι· οὐ μὴ παύσομαι τύπτων σε τοῖς ῥοπάλοις καὶ κατατέμνων σε τοῖς ξίφεσιν, ἕως ἂν ἀποψύχοντα ἴδω, καὶ τότε ἀποκεφαλίζων σε κρεμάσω ἐπὶ ξύλου, καὶ τὸ τελευταῖον καύσας πυρὶ ῥίψω εἰς τὰ ῥεῖθρα τοῦ ποταμοῦ, ὅπως μὴ ᾖ σου μνημόσυνον ἐπὶ τῆς γῆς". Καὶ προσκλίνας πρὸς τὸ οὖς τινος τῶν στρατιωτῶν ἐπιτρέπει θήγειν τῷ ξίφει ἀποτεμνόμενος τοῦ ὤμου τοῦ ἁγίου, ὅπως (φησὶ) φοβηθεὶς ἀποφύγῃ ἀρνησάμενος. Ὁ δὲ στρατιώτης ἐπελθὼν δαιμονικῇ αὐθαδείᾳ, ἀνατείνας τὸ ξίφος φησίν· "Ἐπετράπημεν κατακόψαι σε, ὦ ἄθλιε· εἰπὲ ῥῆμα καὶ σῴζου". Ὁ δὲ ἅγιος μηδὲν ἀποκριθείς, τῇ χειρὶ μόνον κατένευσεν ἀποτμηθῆναι· καὶ κατάξας τὸ ξίφος ὁ στρατιώτης ἅπτεται

3 ἐνάντιον P, ἐναντίον C. 5 ἐπὶ om. C. 9 κύκλοθεν P, κυκλόθεν C || ἀναριπίζοντας PC. 10 ἐκθροήσοντες C. 21 καὶ φησὶ P. 22 παύσωμαι P. 24 ξύλῳ C. 27 τινὸς P. 29 αὐθαδίᾳ C. 30 ὦ om. C.

τοῦ ὤμου τοῦ ἁγίου πλήξας ἱκανῶς. Τότε ἐστράφη πρὸς ἀνατολὰς ὁ ἅγιος, καὶ τάχα Χριστὸν τὸν ἀθλοθέτην αὐτοῦ καθορῶν κλίνει τὰ γόνατα, καὶ τὰς χεῖρας ἄμφω ἐπερείσας τῇ γῇ ἐξήπλου τὸν τράχηλον, καὶ ὁ ἔπαρχος θυμωθεὶς τῇ προθυμίᾳ τοῦ ἁγίου προσφωνεῖ ἀποτμηθῆναι αὐτόν. Τότε οἱ μὲν ἐχέφρονες τῶν στρατιωτῶν ἀνέστειλαν τὰ ξίφη, μὴ βουλόμενοι ὑπὲρ πίστεως ἀποτέμνειν τὸν ἅγιον, καὶ ἐμβοῶντος τοῦ ἐπάρχου κρουσθῆναι αὐτῷ ἔστησαν εἰς μισθὸν τοῦ μέλλοντος κρούειν τῷ ἁγίῳ εἴκοσι ἀργύρους, καί τις τῶν Περσῶν διαλαβὼν τὸ ξίφος ἀμφοτέραις ταῖς χερσὶ κρούει κατὰ τοῦ τραχήλου τοῦ ἁγίου καὶ διὰ τρίτου ἀποτέμνει αὐτόν.

21. Καὶ λοιπὸν ἔκειτο ἐσφαγμένος ὥσπερ ἀρνίον ὁ ἅγιος, καί τις παρελθὼν τῶν μεγιστάνων, μήπω μαθὼν τὰ κατὰ τὸν ἅγιον νεομάρτυρα Ἠλίαν, ἐπυνθάνετο περὶ τῆς σφαγῆς· καὶ μαθὼν ὅτι ὑπὲρ τῆς πίστεως αὐτοῦ ἀπεκτάνθη, θαυμάσας καὶ θέλων ἰδεῖν ὁποίας ἂν ᾖ τότε θέας, κλίνας καὶ κατασχὼν τὰς τρίχας τοῦ ἁγίου, κουφίζει ἀνθυποστρέψας τὸ πρόσωπον τοῦ ἁγίου πρὸς ἑαυτόν, καὶ ἰδοὺ ὡς ζῶντος βλέπει τὸ πρόσωπον τοῦ ἁγίου καὶ ἔκλαμπρον πάνυ. Καὶ στενάξας, "Μέγα" φησὶν "ὑπὲρ πίστεως ἀποθανεῖν· οὗτος οὐκ ἀπέθανεν, ἀλλὰ ζῇ". Κελεύει οὖν ὁ δικαστὴς ἑλκυσθῆναι τὸ σῶμα καὶ κρεμασθῆναι ἔξω τῶν πυλῶν ἐν τῷ κήπῳ, κεκλεῖσθαι δὲ τὴν πύλην τοῦ παραδείσου πρὸς τὸ ἀκριβῶς φυλάττεσθαι τοῦ ἁγίου τὸ σῶμα προσέταξε, μή τις τῶν χριστιανῶν πλησιάσας ἀφέληταί τι ἐξ αὐτοῦ εἰς εὐλογίαν. Τότε καὶ τὸν τόπον, ἐν ᾧ ἀπετμήθη, πλύναντες οἱ δήμιοι καὶ τὸν χοῦν ἐπισυνάξαντες ῥίπτουσιν εἰς τὸ μέγα ῥεῦμα τοῦ παρακειμένου Χρυσορρόου ποταμοῦ· καὶ μέντοι διαρκεῖ, κρεμαμένου ἐπὶ ξύλου τοῦ ἁγίου νεομάρτυρος Ἠλία ἀπὸ μηνὸς Φεβρουαρίου πρώτης τοῦ ἑξακισχιλιοστοῦ διακοσιοστοῦ ὀγδηκοστοῦ ἑβδόμου ἔτους ἕως ἡμερῶν ιδ'.

22. Οὐκ ἐγκαταλιμπάνει κύριος ἀγέραστον τὸν ἑαυτοῦ ἀθλητήν, ἀλλὰ πλείοσιν ἐμφανείαις δοξάσας γεράσμιον αὐτοῦ τὴν τελείωσιν ἀνέδειξεν· καὶ γὰρ πολλοὶ μετὰ ταῦτα διηγοῦντο ὅσα ἐτεθέαντο.

8 ἀργύρους sic PC. 10 τοῦ pr. om. C || διατρίτου P || ἀποτέμει P, ἀποτέμνει C. 19 ἀποθανὼν οὗτος C. 26 χρυσορόου PC. 27 μάρτυρος C. 28 φευρουαρίου πρώτη P. corr. C. 32 ἐθεάσαντο C.

Ἔτι αὐτοῦ ἐπὶ τοῦ σταυροῦ κρεμαμένου, οἱ μὲν κανδήλαν πάμφωτον ἔλεγον βλέπειν ὑπὲρ κεφαλῆς αὐτοῦ λάμπουσαν, οἱ δὲ ἀστέρα ἔκλαμπρον πάνυ, μέγιστον κατὰ τὸν τῆς σελήνης κύκλον, μηδέποτε ἄλλοτε φανέντα, εἰ μὴ τότε, ἀφ' οὗ τὸ ἅγιον σῶμα ἐκρεμάσθη τοῦ νέου μεγαλομάρτυρος κατὰ τὸν τόπον ἐκεῖνον. Ὡς δὲ καί τινες ἄλλοι διηγοῦνται, μέχρι καὶ νῦν χρηματίζει ὁ αὐτὸς ἀστὴρ ἐν τῷ τόπῳ ἐκείνῳ κατὰ καιροὺς τοὺς αὐτοὺς κατὰ τὸν τόπον τῆς ὁσίας ταφῆς τοῦ ἁγίου, δηλοῦντος καὶ ὑπομνηματίζοντος ὅτι "τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ἁγίων αὐτοῦ".

23. Καί τις ἕτερος τῶν ἐπιχωρίων Ἡλιουπόλεως, γνωστὸς τῷ ἁγίῳ μεγαλομάρτυρι, μηδέπω μαθὼν τὴν συμβᾶσαν περιπέτειαν τῷ ἁγίῳ, κατῄει εἰς Δαμασκὸν ἐμπορίας ἕνεκα· καὶ κατὰ τὴν ὁδὸν πλησίον ἢ μικρῷ πλέον δεκαπέντε σημείων τῆς μητροπόλεως ὁρᾷ ἐρχόμενον κατὰ πρόσωπον τὸν ἅγιον μεγαλομάρτυρα Ἠλίαν μονώτατον ἐν λευκοῖς ἱματίοις ἡμφιεσμένον καὶ ἐκλαμπούσῃ δόξῃ περιηυγασμένον, ἐποχούμενον ἵππῳ λευκῷ. Καί φησιν ὁ ἅγιος πρὸς τὸν ἐπιχώριον· "Χαίροις, ἀγαπητέ". Ἐπιστραφεὶς δὲ ὁ ἐπιχώριος λέγει· "Κύρι Ἠλία". Ἀπεκρίθη ὁ ἅγιος· "Ἐγώ εἰμι". Λέγει ὁ ἐπιχώριος· "Ὄντως, εἰ μὴ σὺ προαγορεύσας ἐλάλησας, οὐκ ἂν ἐπέγνων σε· θεωρῶ γάρ σε ἐν ἄλλῃ τάξει καὶ καταστάσει, παρ' ἣν πάλαι ἐπιστάμην. Ἄρα ἐλεύσῃ κατὰ τὸ ἔθος πρὸς ἡμᾶς εἰς τὸ χωρίον, ὅπως τὰ ἄροτρα ἡμῶν κατὰ τὴν τέχνην τῆς τεκτονικῆς ποιήσῃς". Ἔφη οὖν ὁ ἅγιος· "Εἰσέρχῃ εἰς Δαμασκὸν καὶ λαληθήσεταί σοι ἐκεῖ τὰ περὶ ἐμοῦ". Καὶ εὐθέως ἄφαντος γέγονεν ὁ ἅγιος. Καταπλαγεὶς δὲ ὁ ἐπιχώριος ἀπῄει θαμβούμενος ὅπως τε εἶδε τὸν ἅγιον, ὅπως τε εὐθὺς ἄφαντος γέγονε. Καὶ γοῦν φθάσας πρὸς τὴν πύλην ἔξω Δαμασκοῦ, ἐστράφη πρὸς τὸν σταυρὸν τοῦ ἁγίου καὶ ἐπιγινώσκει αὐτὸν κρεμάμενον, καὶ δὴ ἐρωτᾷ τινας ἐπιχωρίους, οὓς καὶ ἔτυχεν ἐκεῖ ἐκπορευομένους τῆς πόλεως, καί φησιν· "Ἀδελφοί, οὐχ οὗτός ἐστιν Ἠλίας ὁ Ἡλιουπολίτης, ὁ τέκτων"; Ἀπεκρίθησαν ἐκεῖνοι· "Ναί, οὗτός ἐστι, καὶ ἀφ' ἡμερῶν πολλὰ διὰ Χριστὸν παθὼν ἀπεκτάνθη καὶ

1 ἔτι P, ἐπὶ C ‖ τοῦ om. C. 4 ἀφ' οὗ P, καιροῦ οὗ C. 8 ὁσίας] αἰσίας P. corr. C. 9 Psalm. cxv, 6. 12 κατίει P. corr. C. 14 μάρτυρα C. 18 κύριε C. 23 εἰσέρχου C. 32 διαχ(ριστὸ)ν P.

ἐκρεμάσθη, ὡς ὁρᾷς". Τότε ἀνέκραξεν ὁ ἐπιχώριος μετ' ἐκπλήξεως· "Μὰ τὸν θεὸν τὸν ἁγιάσαντα αὐτόν, σήμερον πρὸ δύο ὡρῶν ὑπηντήθην αὐτῷ πρόσωπον πρὸς πρόσωπον ἐπὶ ἵππῳ καθημένῳ ἐν λευκοῖς ἱματίοις, καὶ ταῦτά μοι εἶπεν".

24. Ἔτι τοῦ λόγου διηγουμένου, ὁρᾷ τινας τῶν πιστῶν διαπορευομένους καὶ πρὸς τὸν σταυρὸν τοῦ ἁγίου κλίνοντας τὰς ἑαυτῶν κεφαλάς, καὶ σφραγιζομένους τῷ σημείῳ τοῦ σταυροῦ τὸ πρόσωπον, καί τις κατ' αὐτὸ γενόμενος διηγεῖτο μαθὼν τὰ τοῦ ἐπιχωρίου, ὅτι "Κἀγὼ διηγήσομαι ὑμῖν ὅσα ἐγνώρισεν ὁ θεὸς δοξάζων τὸν ἅγιον αὐτοῦ νέον μεγαλομάρτυρα χθές· γείτων δέ εἰμί τινος Ἄραβος, καὶ κατὰ τὴν νύκτα ἤκουσα τοῦ γείτονός μου προσφωνοῦντος τοὺς ἑαυτοῦ καὶ λέγοντος τῇ Ἀράβων διαλέκτῳ: Ἀναστάντες ἴδετε ὅσα ποιοῦσιν οἱ χριστιανοὶ οὗτοι τῷ φονευθέντι καὶ σταυρωθέντι. Καὶ ἀναστάντες οἱ αὐτοῦ διηρώτων πυθόμενοι τί γέγονεν· ὁ δὲ ἔλεγεν· Ἀπὸ ὥρας ἱκανῆς παρακύπτων ἤμην διὰ τῆς θυρίδος, καὶ ἔβλεπον ὅτι ἐκρέμασαν οἱ χριστιανοὶ πολυκάνδηλον μέγα ἄνωθεν τῆς κεφαλῆς τοῦ ἐσταυρωμένου ἐξάπτον, καὶ ἐπισυνάξαντες τὰ παπαδίσκια αὐτῶν καὶ τὰ ἀββαδίσκια αὐτῶν χοροὺς περιέστησαν κύκλῳ τοῦ σταυροῦ αὐτοῦ, καὶ ἔψαλλον ὑμνοῦντες τοὺς ἄθλους αὐτοῦ. Ἀλλὰ καὶ αὐτὸν τὸν Ἠλίαν εἶδον συμψάλλοντα τοῖς χοροῖς τῶν παίδων καὶ προσφωνοῦντα. Αὐτὸς ὁ φονευθεὶς ὡς ζῶν ἔψαλλε τοῖς χοροῖς· οὐκ ἐπιτήδευμά ἐστι χριστιανῶν, ἀλλὰ θεοῦ ἐπιστασία, δεικνύντος ἡμῖν ὅτι οὗτος ὁ πεφονευμένος μεγάλης δόξης ἠξίωται ὑπὲρ τῆς πίστεως αὐτοῦ φονευθείς. Διηγησάμενος οὖν ὁ Ἄραψ ταῦτα τοῖς τοῦ οἴκου αὐτοῦ, παρακύπτει ἰδεῖν καὶ οὐκ εἶδεν οὐδὲν οὐκέτι, καὶ ἐλθὼν εἰς ἑαυτὸν ἔφη· Ἀληθῶς οὐκ ἦν ἀνθρώπων τοιαῦτα ἐπιτηδεύειν, τῶν φυλάκων περιισταμένων καὶ κωλυόντων πάντα ἄνθρωπον πλησιάσαι νύκτα καὶ ἡμέραν".

25. Τότε πορευθεὶς ὁ Ἄραψ διηγήσατο μυστικῶς Λεΐθι τῷ ἐπάρχῳ τῆς πόλεως· ὃς ἅμα τῇ διηγήσει ἀκούσας ἐντέλλεται πρὸ τοῦ πλατυνθῆναι τὰς ὀπτασίας κατενεχθῆναι τὸ σῶμα τοῦ ἁγίου ἀπὸ τοῦ σταυροῦ καὶ καυθῆναι πυρί, ἵνα μὴ (φησὶ) λαβόντες οἱ

1 μετεκπλήξεως P. 2 ἁγιάζοντα C. 3 καθήμενον P. corr. C. 5 τινὰς P. 6 κλίναντας C || ἑαυτῶν om. C. 10 δὲ om. C || τινὸς PC. 26 οὐκ ἔτι PC. 32 φησὶ om. C.

χριστιανοὶ ναοὺς κτίσωσι καὶ ἑορτὰς ἐπιτελῶσι πανηγυρίζοντες τὴν μνήμην αὐτοῦ. Τότε κατάγουσιν οἱ ὑπηρέται τὸ σῶμα τοῦ ἁγίου, καὶ σχίσαντες τὸ ξύλον τοῦ σταυροῦ αὐτοῦ καὶ ὑποστρώσαντες, εἶτα ἐνθέντες τὸ σῶμα καὶ ἐπιθέντες ἄλλην ὕλην ὑφάπτουσι πῦρ· καὶ ἡ μὲν φλὸξ ἐκουφίζετο ἐπὶ πολὺ ἕως ὕψους οὐρανοῦ, τὸ δὲ ἱερώτατον σῶμα ἔμενεν ἄκαυστον, οἶμαι δὲ διὰ τὸ γεγράφθαι τῷ Δαυὶδ πρὸς τὸ εἰρημένον· "Ἐκέκραξαν οἱ δίκαιοι καὶ ὁ κύριος εἰσήκουσεν αὐτῶν"· καὶ "κύριος φυλάσσει πάντα τὰ ὀστᾶ αὐτῶν· ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται". Ἀλλ' οἱ ἀναιδεῖς κακῶς ἁμαρτάνοντες, ἑτέραν ὕλην φρυγάνων πλείονα τῆς πρώτης ἐπιθέντες, ἡ μὲν φλὸξ εἰς τὸν οὐρανὸν ἀναφερομένη ἐνειλίσσετο τῇ πυρκαϊᾷ, τὸ δὲ σῶμα αὐτοῦ οἷον ἀπεφύλακτο ἐν τῇ καμίνῳ τὰ σώματα τῶν ἁγίων τριῶν παίδων (ἐπεὶ μηδὲ τοῦτο προσκεκυνήκει ἐνδάλματι τῷ αἰθρινῷ), μὴ καμψάντων γόνυ εἰκόνι τῇ Περσικῇ. Πάλιν ἐκ τρίτου πλέον τῶν τριάκοντα φορτίων ἀμπελίνων φρυγάνων ῥίψαντες τῇ πυρκαϊᾷ, οὐδὲν καινότερον ἐποίουν δρῶντες τάδε οἱ ὑπηρέται ἢ μικρὸν φλογίσαντες τὸ σῶμα. Ὕστερον ἀποκαμόντες καὶ εἰς μέλη συγκόψαντες ῥίπτουσιν εἰς τὸ μέγα ῥεῦμα τοῦ παρακειμένου ποταμοῦ, ἵνα κἂν τούτῳ συνάψῃ ψάλλων ὁ μάρτυς, ὡς λέγει Δαυίδ· "διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν". Τότε θάμβος εἶχε τοὺς ὑπηρέτας.

26. Μετὰ δὲ ταῦτα ἐμφανίζεται ὁ ἅγιος μεγαλομάρτυς πολλοῖς τῶν κατὰ Δαμασκὸν φιλοχρίστων ἀδελφῶν καὶ ὑποδείκνυσιν αὐτοῖς τινὰ τῶν διασπασθέντων αὐτοῦ ἁγίων μελῶν, ὅπου κατασυρέντα διὰ τοῦ ῥεύματος ἐφύλαξεν ὁ Χριστός· καὶ διασκοπήσαντες καὶ ἀναλαβόμενοι ἔχουσιν οὐ φανερῶς, καὶ αὐτὰ μυρίζοντες καὶ τιμῶντες κρυπτῶς ἐν μυστηρίῳ, ἵνα μὴ πάλιν διαγνωσθέντα τὰ λείψανα τοῦ ἁγίου ἀφανισμῷ παραδοθῇ. Καὶ γοῦν ἐμφανίζεται ὁ ἅγιος μείζονα δύναμιν τῆς ψυχικῆς αὐτοῦ ἐνεργείας, χάριν ἔχων τοῦ ἁγίου πνεύματος ἐγκαθημένην τοῖς λειψάνοις καὶ τὴν ἴασιν παρεχομένην, ἐμφανιζομένην δὲ καὶ τοῖς ἐπικεκλημένοις αὐτὸν τὸν

5 ἐπιπολὺ P || ὕψος PC || οὐρανῶν C. 6 γέγραπται C. 7,9 Psalm. XXXIII, 18, 21. 8 φυλάττει C. 13 προσκεκινήκει P. corr. C 14 αἰθρινῷ] αἰθριβηνῶ P. corr. C || εἰκόνι τῇ Περσικῇ] cf. Dan. III, 1—23. 20 Psalm. LXV, 12. 24 τῶμ P || αὐτῷ C || ὅπου P. 28 ἐμφανίζεται P, ἐμμερανίζεται C. 31 ἐμφανιζομένην P, ἐμμερανίζεται C.

ἅγιον. Ἄγγελον δὲ καὶ τὸν ἑαυτοῦ βλέποντα δεσπότην ἔχων ἐν οὐρανοῖς ὀξύτατον λειτουργικὸν πνεῦμα εἰς διακονίαν ἀποστελλόμενον ὁ δεσπότης κεχάρικε τὰς ἀντοψίας καὶ ἐπιφοιτήσεις διακονοῦντα, καὶ οὐκοῦν "πίστει πλείονα θυσίαν" αὐτόν, ὡς Ἄβελ παρὰ Κάιν, Ἠλίας προσενέγκας τῷ θεῷ βασάνοις καὶ θανάτῳ καὶ πυρὶ καὶ ὕδατι, δι' ὧν ἐμαρτυρήθη εἶναι δίκαιος, συμμαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ θεοῦ, ὡς δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖ. Ὡς πᾶς τις τῶν ἐν κεφαλαίοις ἀπαριθμηθέντων κατὰ πίστιν ἁγίων τῇ γραφῇ, καὶ ἡμεῖς πίστει αὐτὸν ἐπικαλούμενοι εὑρήσομεν βοηθὸν ἐν πάσῃ θλίψει, λαλοῦντα δὲ καὶ τὴν χάριν διδόντα καὶ πρεσβεύοντα διηνεκῶς ὑπὲρ τῶν ὁμοπίστων καὶ ὁμοδούλων αὐτοῦ χριστιανῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ παναγίῳ πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

1 ἑαυτὸν ὁ ἅγιος. ἄγγελος δὲ P, ἑαυτὸν ὁ ἅγιος ἄγγελον τὲ C. 2/3 ἐποστελλόμ̣ P, ἀποστελλόμενον C. 3 ὡς ὁ δεσπότης C. || αὐτοψίας C. 4 καὶ om. C || cf. Hebr. xi, 4 || αὐτὸν P, αὐτῷ C. 7 δι' αὐτῆς sc. τῆς πίστεως. 10 δὲ P, τε C.

III.

Μηνὶ Σεπτεμβρίῳ α'.

(ΑΝΤΩΝΙΝΟΥ)

ΒΙΟΣ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΣΥΜΕΩΝ ΤΟΥ ΣΤΥΛΙΤΟΥ.

1. Ἀγαπητοί, ξένον καὶ παράδοξον βίον, ὃν ἐν τοῖς ἔτεσιν ἡμῶν ⟨ὁ⟩σίως διήνυσε Συμεών, προθυμία μοι τῷ ἁμαρτωλῷ μαθητῇ Ἀντωνίνῳ συγγράψασθαι· ὠφελείας γὰρ καὶ κατανύξεως πεπλήρωται ἡ περὶ τούτου διήγη⟨σις⟩. Κλίνατε οὖν, παρακαλῶ, τ⟨ὰ ὦτα⟩ ὑμῶν καὶ ἀκούσατε παρ' ἐμοῦ ἅπερ εἶ⟨δ⟩ον καὶ ἐψηλάφησα.

2. Ὁ ⟨ἐν ὁ⟩σίοις μακαριώτατος Συμεὼν νήπιος ὢν τὴν ἡλικίαν ἐποίμαινεν τὰ ποί⟨μνι⟩α τοῦ πατρὸς αὐτοῦ καθ' ὃν τρόπον καὶ ὁ προφήτης Δαυίδ, κατὰ δὲ Κυριακὴν εἰσήει ἐν τῇ ἐκ⟨κλη⟩σίᾳ τοῦ θεοῦ καὶ ἤκουε τῶν θείων Γραφῶν· ἐπὶ πλεῖον δὲ προκόπτων τῇ ἡλικίᾳ καὶ νυττόμενος εἰς τὸν τοῦ θεοῦ φόβον, ἐν ⟨μιᾷ⟩ τῶν ἡμερῶν ἐγένετο αὐτὸν ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ ἐλθόντα ἀκοῦσαι τοῦ Ἀποστόλου ἀναγινωσκομένου, καὶ ἐρωτᾷ τινα γέροντα λέγων· "Εἰπέ μοι, πάτερ, τίνα ἐστὶν ἃ ἀναγινώσκει"; Ἔφη αὐτῷ ὁ γέρων· "Περὶ ἐγκρατείας ψυχῆς". Ἀπεκρίθη αὐτῷ ὁ μακάριος Συμεών· "Καὶ τί ἐστιν ἐγκράτεια ⟨ψυ⟩χῆς"; Ἔφη ὁ γέρων· "Τί με

E codice Petropol. 213, s. X, fol. 1ª—9ª. Prima pagina codicis paulum corrupta.

12 cod. ἐποίμενεν. 13 Δαυίδ] cf. Reg. 1, XVII, 34. 15 cod. νυττώμενος.

ἐπερωτᾷς ἐκπει(ράζ)ων; ὁρῶ γάρ σε τῇ ἡλικίᾳ νέον, ἄγοντα δὲ φρόνημα τέλειον". Λέγει ὁ μακάριος Συμεών· "Οὐκ ἐκ(πει)ράζων σε, πάτερ, τοῦτο λέγω, ἀλλὰ ξενίζει μ(ε τὸ τῆς) λέξεως ὄνομα τῆς (ἐγ)κρατείας". Λέγει ὁ γέρων· "Ἡ ἐγκράτειά ἐστιν σ(ωτηρία ψυ)χῆς, ὁδηγὸς τ(οῦ) φωτ(ό)ς, εἰσάγου(σα εἰς) τὴν βασιλείαν τῶν οὐρανῶν". (Καὶ εἶπεν αὐ)τῷ ὁ μακάριος (Συμεών)· "Δίδαξόν με, πάτερ, (ἄ)περ φθέγγ(ῃ), ὅτι ἐγὼ ἰδ(ιώ)τ(η)ς τυγχάνω".

3. Ἔφη ὁ γέρων· "Αὕτη ἐστὶν ἡ ἐγκράτεια, ἐάν τις νηστεύῃ καθαρᾷ τῇ καρδίᾳ καὶ τὰς εὐχὰς πάσας μετὰ φόβου καὶ ἐπιεικείας ἀποδίδωσιν κυρίῳ τῷ θεῷ, τ(ῇ μὲν) πρώτῃ ὥρᾳ εὐχ(όμενο)ς. ὁμοίως τρίτῃ καὶ ἕκτῃ καὶ ἐνάτῃ καὶ τὰ λυχνικά, ὡσαύτως καὶ τὰ τούτων ἀκόλουθα κατὰ νύκτα· ταῦτα δὲ μάλιστα ἐν μοναστηρίῳ ἐπιτελοῦνται. Εἰ οὖν οἶδας, τέκνον, τί ἤκουσας, λόγισαι ταῦτα πάντα ἐν τῇ καρδίᾳ σου· δεῖ γάρ σε πεινᾶσαι καὶ διψῆσαι, γυμνητεῦσαι καὶ ὑβρισθῆναι, κολαφισθῆναι, ἀναστενάξαι καὶ κλαῦσαι. γρηγορῆσαι καὶ νυστάξαι, θλιβῆναι καὶ ἀνωμαλίσαι, καὶ ἀποτάξασθαι καὶ ταπεινωθῆναι, καὶ ζητηθῆναι καὶ εὑρεθῆναι, καὶ πολλὰ παθεῖν παρ' ἀνθρώπων, καὶ οὕτως παρακληθῆναι ὑπὸ ἀγγέλων κυρίου. Ἴδε ἤκουσας ταῦτα πάντα· ὁ κύριος τῆς δόξης δῴη σοι νοῦν ἀγαθὸν πρὸς τὴν ἑαυτοῦ θέλησιν".

4. Ταῦτα ἀκούσας ὁ μακάριος Συμεὼν ἐξῆλθεν τῆς ἐκκλησίας καὶ ἀπῆλθεν εἰς ἔρημον τόπον, καὶ τίθησιν ἑαυτὸν ἡμέρας ἑπτὰ ἐπὶ πρόσωπον κλαίων καὶ εὐχόμενος κυρίῳ τῷ θεῷ, μήτε ἐπὶ βρωτὸν μήτε ἐπὶ ποτὸν ἀνιστάμενος· καὶ μετὰ τὰς ἑπτὰ ἡμέρας ἀναστὰς δρομαῖος ἦλθεν εἰς μοναστήριον καὶ ῥίπτει ἑαυτὸν εἰς τοὺς πόδας τοῦ ἀρχιμανδρίτου κλαίων καὶ λέγων· "Δέομαί σου, ἐλέησόν με τὸν ἁμαρτωλὸν καὶ ταλαίπωρον, καὶ σῶσον ψυχὴν ἀπολλυμένην καὶ ἐπιποθοῦσαν δουλεῦσαι τῷ θεῷ". Ἔφη αὐτῷ ὁ ἀρχιμανδρίτης· "Τίς εἶ καὶ πόθεν ὑπάρχεις; καὶ τί τὸ ὄνομά σου, ἢ πόθεν ἐλήλυθας ἐνταῦθα"; Ἔφη ὁ μακάριος Συμεών· "Τῷ μὲν γένει ἐλεύθερος, ὄνομα δέ μοι Συμεών· τὸ δὲ ποίων γονέων ὑπάρχω ἢ πῶς ἐλήλυθα ἐνταῦθα, μή με ἐπερώτα, δέσποτα, ἀλλ' ἐξαγόρασον ἑαυτῷ μίαν ψυχὴν ἀπολλυμένην". Ταῦτα ἀκούσας

16 cod. ἀνομαλίσαι. 19 δόη. 24 ἐπιβρωτὸν μ. ἐπιποτόν. 27 ταλέπωρον. 29 ὑπάρχης hic et infra.

ὁ ἀρχιμανδρίτης ἤγειρεν αὐτὸν ἐκ τοῦ ἐδάφους καὶ λέγει αὐτῷ· "Εἰ ἀπὸ τοῦ θεοῦ ὑπάρχεις, ὁ κύριός σε διαφυλάξει καὶ συντηρήσει ἀπὸ παντὸς πονηροῦ κινδύνου τε καὶ πειρασμοῦ, καὶ ἔσῃ τοῖς ἀδελφοῖς ποιῶν τὴν ὑπηρεσίαν, ἵνα ὑπὸ πάντων ἀγαπηθῇς".

5. Οἱ δὲ γονεῖς αὐτοῦ ἐπὶ ἔτη δύο οὐκ ἐπαύοντο κλαίοντες καὶ ζητοῦντες αὐτόν· ὁ δὲ μακάριος Συμεὼν διῆγεν ἐν τῷ μοναστηρίῳ δουλεύων πᾶσιν τοῖς ἀδελφοῖς καὶ ἀγαπώμενος παρὰ πάντων, πληρῶν ὅλον τὸν κανόνα τοῦ μοναστηρίου. Μιᾷ οὖν τῶν ἡμερῶν ἐξελθὼν ἔξω τοῦ μοναστηρίου εὑρίσκει ἐπάνω τοῦ φρέατος, ὅθεν τὸ ὕδωρ ἤντλουν, σίτλαν ἔχουσαν σχοινίον μησινόν. Λύσας δὲ αὐτὸ ἀπέρχεται κατ' ἰδίαν καὶ ἐντυλίσσει ὅλον τὸ σῶμα αὐτοῦ, καὶ ἐνεδύσατο στιχάριον τρίχινον, καὶ εἰσελθὼν ἐν τῷ μοναστηρίῳ λέγει τοῖς ἀδελφοῖς· "Ἐξῆλθον ἀντλῆσαι ὕδωρ καὶ τὸ σχοινίον οὐχ εὗρον ἐν τῇ σίτλᾳ". Λέγουσιν αὐτῷ οἱ ἀδελφοί· "Σιώπα, μὴ δὴ μάθῃ ὁ ἡγούμενος"· καὶ οὐδεὶς ᾔδει ὅτι ἔσωθεν ἦν ἐντετυλιγμένος τὸ σχοινίον. Ἦν οὖν ἐνιαυτὸν καὶ πλεῖον ἔσωθεν ἔχων τὸ σχοινίον, καὶ συνέφαγε τὰς σάρκας αὐτοῦ καὶ κατῆλθεν ἕως τῶν ὀστέων αὐτοῦ· καὶ σαπείσης τῆς σαρκὸς αὐτοῦ οὐκ ἠδύνατό τις ἔγγιστα αὐτοῦ στῆναι ἐκ τῆς δυσωδίας, καὶ οὐδεὶς ὑπενόει τί ἐστι τὸ γεγονὸς μυστήριον· ἡ δὲ κοίτη αὐτοῦ εἴρπε σκωλήκων καὶ οὐδεὶς ᾔδει πόθεν ἐστὶν ἡ αἰτία.

6. Ἐλάμβανεν οὖν τὸ διάριον αὐτοῦ καθ' ἑκάστην ἡμέραν καὶ ἐδίδου αὐτὸ πτωχοῖς, μηδενὸς γινώσκοντος. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν ἐξέρχεται εἷς τῶν μοναχῶν καὶ εὑρίσκει αὐτὸν διδόντα πτωχοῖς τὸν ἄρτον καὶ τὸ προσφάγιον, ὃ ἐλάμβανεν ἐκ τοῦ μοναστηρίου. Πάντες δὲ ἐνήστευον ἕως ἑσπέρας μόνον καὶ μετελάμβανον, ὁ δὲ μακάριος Συμεὼν ἀπὸ Κυριακῆς εἰς Κυριακὴν ἐγεύετο. Εἰσελθὼν δὲ ὁ μοναχὸς διέβαλεν αὐτὸν τῷ ἀρχιμανδρίτῃ λέγων· "Οὗτος ὁ ἄνθρωπος καταλῦσαι θέλει τὸ μοναστήριον καὶ τὸν κανόνα, ὃν παρέδωκας ἡμῖν". Ἔφη ὁ ἀρχιμανδρίτης· "Ποίῳ τρόπῳ βούλεται καταλῦσαι τὸν κανόνα, ὃν παρελάβετε"; Λέγει ὁ μοναχός· "Ἡμεῖς ἕως ἑσπέρας παρελάβομεν νηστεύειν, οὗτος

3 cod. ἀποπαντὸς. 11 μησινὸν sic codex ‖ αὐτῶ. 12 κατὶδίαν. 21 γεγονὼς - - ἤρπε. 22 σκολίκων hic et infra.

δὲ ὁ ἄνθρωπος ἀπὸ Κυριακῆς εἰς Κυριακὴν μεταλαμβάνει, καὶ τὸν ἄρτον ὃν λαμβάνει καὶ τὸ προσφάγιον κρύφα δίδωσιν αὐτὰ πτωχοῖς καθ' ἑκάστην ἡμέραν. Οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἀπὸ τοῦ σώματος αὐτοῦ δυσωδία ἀνέρχεται ἀνείκαστος, ὥστε μὴ δύνασθαί τινα ἔγγιστα αὐτοῦ στῆναι· ἡ δὲ κοίτη αὐτοῦ ἕρπει σκωλήκων, καὶ ἡμεῖς οὐ δυνάμεθα οὕτως ὑπενεγκεῖν, ἀλλὰ τοῦτον ἔχε ὧδε καὶ ἡμεῖς ἀναχωροῦμεν· εἰ δὲ μή γε, ἀπόλυσον αὐτὸν ἀπελθεῖν ὅθεν ἦλθεν".

7. Ταῦτα ἀκούσας ὁ ἀρχιμανδρίτης ἔκθαμβος ἐγένετο, καὶ εὐθέως καταλαμβάνει τὴν κοίτην αὐτοῦ καὶ εὑρίσκει μεμεστωμένην σκωλήκων, καὶ ἐκ τῆς δυσωδίας οὐκ ἠδύνατο στῆναι ἐκεῖ. Ἔφη δὲ ὁ ἀρχιμανδρίτης· "Ἰδοὺ καὶ ὁ νέος Ἰώβ". Καὶ εἶπεν τῷ μακαρίῳ· "Τί τοῦτο ἐποίησας, ἄνθρωπε; πόθεν σοι ἡ δυσωδία αὕτη, ἥτις πνίγει τοὺς ἀνθρώπους, καὶ τί καταλῦσαι θέλεις τὸν κανόνα τοῦ μοναστηρίου; μὴ φάντασμα ὑπάρχεις; διατί ἀλλ' ἢ οὐκ ἀπῆλθες καὶ ἀπέθανες; διὰ σοῦ τάχα ἦλθον πειρασθῆναι ὁ ἄθλιος; εἰ γὰρ εἷς ἄνθρωπος ἀγαθὸς ἢ γονέων συνετῶν, ἀνήγγειλας ἂν ἡμῖν τίς ἐστίν σου πατήρ, ἢ τίς σου ἡ μήτηρ καὶ τί τὸ γένος, καὶ πόθεν ἐλήλυθας ἐνταῦθα". Ταῦτα ἀκούσας ὁ μακάριος Συμεών, κάτω προσέχων ἐπὶ τὴν γῆν κλαίων ἐσιώπα, καὶ ἐκ τῶν δακρύων αὐτοῦ ἐπληροῦτο ὁ τόπος ἔνθα ἔστηκεν· ὁ δὲ ἀρχιμανδρίτης ἐπὶ πολὺ γενόμενος ἐμμανὴς λέγει τοῖς μοναχοῖς· "Ἐκδύσατε αὐτόν, ὅπως ἴδωμεν πόθεν ἡ δυσωδία αὕτη".

8. Ἠβουλήθησαν οὖν ἀποδῦσαι αὐτὸν καὶ οὐκ ἴσχυσαν· κεκολλημένα γὰρ ἦσαν τὰ ἱμάτια αὐτοῦ τῇ σαπείσῃ σαρκί. Διαβρέχοντες οὖν χλιαρῷ ὕδατι καὶ ἐλαίῳ, διὰ τριῶν ἡμερῶν μόλις ἴσχυσαν ἀποδῦσαι αὐτόν· ὅθεν σὺν τοῖς ἱματίοις ἐπήρθη ἐκ τῶν σαρκῶν τῶν σεσηπότων οὐκ ὀλίγη, καὶ εὑρίσκουσιν τὸ σχοινίον περιπεπλεγμένον τῷ σώματι αὐτοῦ, ὥστε μὴ φαίνεσθαι ἐξ αὐτοῦ εἰ μὴ τὰς ἀρχὰς μόνον· τῶν δὲ σκωλήκων τῶν ἑρπόντων ἐν αὐτῷ οὐκ ἦν εἰκασμός. Τότε ἔκθαμβοι ἐγένοντο πάντες οἱ μοναχοὶ ὁρῶντες τὴν ἀνίατον πληγὴν ἐκείνην, καὶ διελογίζοντο ἐν ἑαυτοῖς

5 cod. μηδύνασθαί. 11 δυσωδείας 12 πνήγει. 15 διὰ τί ἀλλὴ οὐκαπῆλθες. 16 διασοῦ. 21 ἐπιπολὺ. 23 δυσωδεία. 25 σαπήση. 26 διατριῶν. 27 ἀποδῦσαι. 28 σεσιπότων || ὀλίγη sc. σάρξ.

ποίαν μηχανὴν εἰς θεραπείαν ποιήσαντες ἄρωσιν τὸ σχοινίον ἀπ' αὐτοῦ· ὁ δὲ μακάριος Συμεὼν ἔκραζεν λέγων· "Συγχωρήσατέ μοι, κύριοι ἀδελφοί· ἐάσατέ με οὕτως ἀποθανεῖν τὸν κύνα τὸν ὄζοντα κατὰ τὰς πράξεις μου· οὕτως γὰρ καὶ ὤφειλον κληθῆναι· πᾶσα γὰρ πλεονεξία ἐν ἐμοὶ γεγένηται, ἐγὼ γάρ εἰμι τὸ πέλαγος τῶν ἁμαρτιῶν". Ὁ δὲ ἀρχιμανδρίτης καὶ οἱ μοναχοὶ πάντες εἱστήκεισαν κλαίοντες, ὁρῶντες τὴν ἀμύθητον πληγὴν ἐκείνην. Ἔφη δὲ αὐτῷ ὁ ἀρχιμανδρίτης· "Οὔπω δεκαοκτὼ χρόνων ὑπάρχεις, καὶ σὺ ποίας ἁμαρτίας ἔχεις"; Ἔφη ὁ μακάριος Συμεών· "Ὁ προφήτης Δαυὶδ ἐβόα: Ἰδοὺ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέν με ἡ μήτηρ μου· κἀγὼ πάντως τὰ ὅμοια τούτων διεπραξάμην". Ὁ δὲ ἀρχιμανδρίτης ἐξεπλήσσετο ἐπὶ τῇ συνέσει αὐτοῦ τῆς ψυχῆς, ὅτι ἄγροικος ὢν καὶ ἰδιώτης πως κατενύγη εἰς τὸν φόβον τοῦ θεοῦ, καὶ μεταστειλάμενος ἰατρόν, μετὰ πολλῆς ἐπιμελείας καὶ μόχθων μόλις ἀπέσπασαν ἀπ' αὐτοῦ τὸ σχοινίον ἅμα τῇ σαπείσῃ σαρκί, καὶ οὐδεὶς ἐγνώρισεν τὸ σχοινίον ἐκ τῶν σαρκῶν τῶν κεκολλημένων ἐν αὐτῷ, καὶ ἐνόμιζον ὅτι τέθνηκεν ἤδη· καὶ ἐπὶ ἡμέρας πεντήκοντα ποιήσαντες αὐτῷ ἐπιμέλειαν ὠφέλησαν αὐτὸν ἐκ μέρους. Ἔφη δὲ αὐτῷ ὁ ἀρχιμανδρίτης· "Τέκνον, ἰδοὺ ὑγιὴς γέγονας· ἄπελθε ὅπου ἂν βούλει".

9. Τότε ὁ μακάριος Συμεὼν ἐξῆλθεν τοῦ μοναστηρίου καὶ ἐπορεύθη εἰς ἔρημον τόπον ἐγγὺς φρέατος ἀρχαιοτάτου, ἐν ᾧ ὕδωρ οὐκ ἦν, πλῆθος δὲ πνευμάτων ἀκαθάρτων ᾤκει ἐν αὐτῷ· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἀσπίδων πλῆθος καὶ ὄφεων καὶ σκορπίων καὶ παντοδαπῶν ἑρπετῶν· διὸ πάντες ἐφοβοῦντο διελθεῖν διὰ τοῦ τόπου ἐκείνου. Ὁ δὲ μακάριος Συμεὼν ἐξελθὼν ἐκ τοῦ μοναστηρίου, μηδενὸς γινώσκοντος, ἔρριψεν ἑαυτὸν ἐν τῷ φρέατι, ποιήσας τὴν ἐν Χριστῷ σφραγῖδα, καὶ ἐκρύβη ἐν ἑνὶ τόπῳ εὐχόμενος καὶ εὐχαριστῶν τῷ δεσπότῃ τῶν ὅλων Χριστῷ.

10. Μετὰ δὲ ἑβδόμην ἡμέραν εἶδεν κατ' ὄναρ ὁ ἀρχιμανδρίτης, ὅτι ἀνείκαστον πλῆθος ἀνδρῶν λευχειμονούντων ἐκύκλωσε τὴν μονὴν αὐτοῦ, λαμπάδας κρατούντων καὶ λεγόντων· "Ἄρτι κατα-

4 cod. ὄφειλον. 10 Psalm. L, 7. 11 cod. ἐκίσησέν. 13 πῶς. 14 μετὰ στειλάμενος. 16 σαπήσῃ. 22 ἀρχαιωτάτου ἑνῶ. 24 ἀσπήδων. 25 διατοῦ. 30 ἴδεν. 31 λευχημονούντων.

καίομέν σε ἐνταῦθα, ἐὰν μὴ τὸν δοῦλον τοῦ θεοῦ Συμεὼν παραδώσῃς ἡμῖν. Τί αὐτὸν ἀπερρίψω; τί τὸ σφάλμα δ ἐποίησεν; ἐκεῖνος μείζων σου εὑρεθήσεται ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ ἐκείνῃ". Καὶ διυπνισθεὶς ὁ ἀρχιμανδρίτης καὶ ἔντρομος γενόμενος λέγει τοῖς μοναχοῖς· "Ὡς ὁρῶ, ὁ ἄνθρωπος ἐκεῖνος δοῦλος τοῦ θεοῦ ὑπάρχει· πολλὰ γὰρ ἔπαθον ἐν τῇ νυκτὶ ταύτῃ δι' αὐτόν. Ἀλλὰ παρακαλῶ ἐξέλθετε καὶ διαδράμετε εἰς πᾶσαν τὴν περίχωρον ταύτην, καὶ ζητήσατε αὐτὸν ἀνιχνεύσαντες, καὶ παρακαλέσατε αὐτὸν ἐλθεῖν πρὸς ἡμᾶς· εἰ δὲ μὴ εὕρητε αὐτόν, μηδεὶς ἐξ ὑμῶν ἔλθῃ πρός με ἐνταῦθα".

11. Καὶ ἐξελθόντες οἱ μοναχοὶ ἐζήτησαν αὐτὸν ἐν τοῖς τόποις ἐκείνοις καὶ οὐχ εὗρον. Τότε ὑπέστρεψαν οἱ μοναχοὶ μετὰ φόβου λέγοντες τῷ ἀρχιμανδρίτῃ, ὅτι "Οὐκ ἐάσαμεν τόπον τῆς περιχώρου, ὅπου οὐκ ἐζητήσαμεν αὐτόν, εἰ μὴ μόνον τὸ φρέαρ τὸ ἔρημον, κἀκεῖ οὐδεὶς τολμᾷ κατελθεῖν διὰ τὸ πλῆθος τῶν ἐκεῖ οἰκούντων πνευμάτων τε καὶ ἑρπετῶν". Ἔφη δὲ ὁ ἀρχιμανδρίτης· "Ἀπέλθετε, καὶ ποιήσαντες εὐχὴν κατέλθετε μετὰ λαμπάδων καὶ ζητήσατε αὐτόν". Οἱ δὲ ἀπελθόντες ἐπὶ τὸν τόπον τοῦ φρέατος, καὶ ποιήσαντες εὐχήν, καθὼς συνέταξεν αὐτοῖς ὁ ἀρχιμανδρίτης, μέχρις ὡρῶν τριῶν, τότε κατῆλθον ἐν τῷ φρέατι πέντε μοναχοὶ κρατοῦντες λαμπάδας· ἰδόντα δὲ τὰ ἑρπετὰ τὰς λαμπάδας, ἔφυγον ἐν ταῖς γωνίαις τοῦ φρέατος. Ἰδὼν δὲ τοὺς ἀδελφοὺς ὁ μακάριος Συμεὼν ἔκραζεν λέγων· "Δέομαι ὑμῶν, ἔνδοτέ μοι μικρόν, ἵνα παραδῶ τὸ πνεῦμά μου· ἀλγεῖ γὰρ οὐκ ὀλίγως, ὅτι δ ἐπελαβόμην οὐκ ἐπλήρωσα". Οἱ δὲ μοναχοὶ βιαζόμενοι αὐτὸν ἔσυρον ὥς τι κακὸν πράξαντα, καὶ ἀπήγαγον αὐτὸν τῷ ἀρχιμανδρίτῃ. Ὁ δὲ ἰδὼν αὐτὸν ἔπεσεν εἰς τοὺς πόδας τοῦ μακαρίου Συμεὼν λέγων· "Συγχώρησόν μοι, δοῦλε τοῦ θεοῦ, ὃ ἔπραξα ἐν σοὶ ἐν ἀγνοίᾳ ὑπάρχων· ἀλλά, δέομαί σου, αὐτὸς γενοῦ μοι καθηγητὴς καὶ δίδαξόν με ἅπερ δωρεῖται ὁ θεὸς ἐν τῇ καρδίᾳ σου διὰ τῆς καρτερίας".

12. Ὁ δὲ μακάριος Συμεὼν οὐκ ἐπαύετο κλαίων καὶ εὐχόμενος, καὶ ποιήσας ἐν τῷ μοναστηρίῳ ἔτη τρία ἐξῆλθεν, μηδενὸς

4 cod. διυπνησθεὶς. 21 ταέρπετὰ. 22 γονίαις. 28 ἔπρα ἐν σ. ἐναγνοία. 30 διατῆς. 32 οὐκεπαύετο.

εἰδότος, καὶ ἀπῆλθεν εἰς ἄγνωστον τόπον, ᾧ παρέκειτο χωρία ἱκανά (ἔγγιστα δὲ αὐτοῦ παρέκειτο χωρίον λεγόμενον Θάναλις), καὶ ᾠκοδόμησεν ἑαυτῷ ἀπὸ ξηρολίθου τόπον μικρόν, καὶ ἔστη ἐν αὐτῷ ἔτη τέσσαρα βρεχόμενος, χιονιζόμενος, καυματούμενος, καὶ πολλοὶ ἤρχοντο πρὸς αὐτὸν ὑπὸ παθῶν διαφόρων συνεχόμενοι καὶ εὐλογούμενοι ἰῶντο· ἡ δὲ τροφὴ αὐτοῦ ἦν φακῆ βρεκτὴ καὶ ὕδωρ. Καὶ μετὰ ταῦτα ἐποίησεν στῦλον πήχεων τεσσάρων καὶ ἔστη ἐν αὐτῷ ἔτη ἑπτά, ἡ δὲ ἁγία αὐτοῦ φήμη τῶν ἰαμάτων πανταχοῦ διέτρεχεν. Μετὰ ταῦτα οἰκοδομοῦσιν αὐτῷ οἱ ὄχλοι μάνδρας δύο ἀπὸ ξηρολίθου, καὶ ἱστῶσιν ἐν τῇ ἐσωτέρᾳ μάνδρᾳ στῦλον πήχεων τριάκοντα, καὶ ἔστη ἐν αὐτῷ ἔτη δεκαπέντε πολλὰς ἰάσεις ἐπιτελῶν· πολλοὶ γὰρ δαιμονῶντες ἀπήρχοντο πρὸς αὐτὸν καὶ ἐθεραπεύοντο.

13. Ταῦτα ποιῶν ἐμιμεῖτο τὸν καθηγητὴν αὐτοῦ Χριστόν, τυφλοὺς ποιῶν ἀναβλέπειν, τὸν κύριον ἐπικαλούμενος, καὶ χωλοὺς περιπατεῖν, λεπροὺς καθαρίζων, μογιλάλους ποιῶν λαλεῖν, παραλυτικοὺς περισφίγγων. Τοῖς ἐν μακρονοσίᾳ οὖσιν παρεῖχεν διὰ τοῦ θεοῦ ἡμῶν τὰς ἰάσεις, νουθετῶν ἕκαστον καὶ λέγων· "Ἐάν τις ὑμῖν εἴπῃ, Τίς ὑμᾶς ἐθεράπευσε; εἴπατε ὅτι ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός· μή τις δὲ ὑμῶν τολμήσῃ εἰπεῖν ὅτι Συμεών με ἐθεράπευσεν, ἐπεὶ πάλιν ἐν τοῖς αὐτοῖς πάθεσι περιπίπτει. Καὶ τοῦτο δὲ παρακαλῶ ὑμᾶς, ἀδελφοί, μήποτε ψεύσασθαι μηδὲ ὀμόσαι κατὰ τοῦ θεοῦ· εἰ δὲ ἀνάγκη ὑμῖν ἔστιν τοῦ ὀμόσαι, κατ' ἐμοῦ τοῦ ταπεινοῦ ὀμνύετε· μεγάλη γὰρ ἁμαρτία καὶ κρίσις ἐστὶν εἰς τὸ ὄνομα τοῦ θεοῦ ὀμνύειν".

14. Ἀκούσατε, ἀδελφοί, ξένον ἄλλο καὶ παράδοξον πρᾶγμα παρ' ἐμοῦ τοῦ ταπεινοῦ Ἀντωνίνου. Ἡ μήτηρ τοῦ μακαρίου Συμεὼν διὰ εἰκοσιεπτὰ ἐτῶν γνοῦσα ποῦ διῆγεν, ἐν τῇ μάνδρᾳ ἦλθεν θεάσασθαι αὐτόν, καὶ σκαλωματοῦσα εἰς τὸν τοῖχον τῆς μάνδρας ἐρράσσετο χαμαί, μὴ δυναμένη θεάσασθαι αὐτόν· ὁ δὲ μακάριος Συμεὼν ἐδήλωσεν αὐτῇ λέγων· "Συγχώρησόν μοι, κυρία μῆτερ, τὸ νῦν, καὶ ἐάν ἐσμεν ἄξιοι ἐν ἐκείνῳ τῷ αἰῶνι θεωροῦμεν

2 cod. λεγώμενον. 5 ὑποπαθῶν. 14 ἐμιμείτω. 16 μογγιλάλους. 17 διατοῦ hic et infra ubique. 20 τολμήσει. 22 μήδε ὁμῶσαι. 23 ὁμῶσαι. 26 ἄλλω. 29 σκαλοματοῦσα || τῦχον. 30 ἐρρήσσετο. 32 μ(ητ)ηρ || ἐσμὲν.

ἀλλήλους". Ὡς δὲ ἤκουσεν ταῦτα ἡ μήτηρ αὐτοῦ, πλέον ἐπυρπολεῖτο ἐπὶ τῷ πόθῳ τοῦ υἱοῦ αὐτῆς· ὁ δὲ μακάριος Συμεὼν πάλιν ἐδήλωσεν αὐτῇ εἰπών· "Θὲς σεαυτὴν μικρὸν ἐπὶ τῷ ἐδάφει καὶ ἡσύχασον, καὶ μετ' ὀλίγον σε ὁρῶ". Ἡ δὲ μήτηρ αὐτοῦ σπουδαίως τίθησιν ἑαυτὴν εἰς τὰ πρόθυρα τῆς μάνδρας, καὶ εὐθέως ἀπέδωκεν τὸ πνεῦμα κυρίῳ τῷ θεῷ. Ὁ δὲ μακάριος Συμεὼν ἐκέλευσεν αὐτὴν εἰσαχθῆναι καὶ τεθῆναι ἔμπροσθεν τοῦ στύλου αὐτοῦ, καὶ θεασάμενος αὐτὴν ὁ μακάριος ἐδάκρυσε, καὶ ἤρξατο εὔχεσθαι καὶ λέγειν· "Ὁ θεὸς τῶν δυνάμεων, ὁ μόνος ἀθάνατος καὶ ἡνίοχος τῶν Χερουβίμ, ὁ ὁδηγήσας τὸν Ἰωσήφ, ὁ δυναστεύσας τὸν προφήτην Δαυὶδ κατὰ τοῦ Γολιάθ, ὁ τὸν Λάζαρον τετραήμερον ἐκ τοῦ τάφου ἐγείρας, ἐπάκουσόν μου καὶ ἐξέγειρον τὴν δεξιάν σου, καὶ δέξαι ἐν εἰρήνῃ τὴν ψυχὴν τῆς δούλης σου". Εὐξαμένου δὲ αὐτοῦ, τὸ λείψανον αὐτῆς ἐδονεῖτο καὶ ἐμειδία τῇ ὄψει, καὶ πάντες οἱ περιεστῶτες ἐθεώρουν καὶ ἐδόξαζον τὸν θεόν· καὶ κηδεύσαντες αὐτὴν ἔθαψαν ἔμπροσθεν τοῦ στύλου αὐτοῦ, καθὼς προσέταξεν, ἵνα καθὼς εὔχεται μνείαν αὐτῆς ποιῆται.

15. Ἄλλο ξένον καὶ παράδοξον ἀκούσατε. Τινὲς ἤρχοντο πρὸς αὐτὸν εἰς εὐχὴν ἀπὸ μήκους πολλοῦ, καὶ ὑπήντησεν αὐτοῖς ἔλαφος βοσκομένη, ἔχουσα ἐν γαστρί, καὶ λέγει τις ἐξ αὐτῶν τῇ ἐλάφῳ· "Ἐνορκίζω σε κατὰ τῆς δυνάμεως τοῦ ἁγίου Συμεών, στῆθι ἵνα κρατήσωμέν σε". Καὶ εὐθέως ἔστη ἡ ἔλαφος, καὶ κρατήσαντες αὐτὴν ἔσφαξαν καὶ ἔφαγον τὸ κρέας αὐτῆς, τὸ δὲ δέρμα ἔμεινεν παρ' αὐτοῖς· καὶ εὐθέως ἐκολούθη ἡ γαστὴρ αὐτῶν καὶ ἔμειναν κρινόμενοι, καὶ ἤρξαντο βληχᾶσθαι ὥσπερ καὶ τὰ ἄλογα, καὶ δρομαῖοι παρεγένοντο εἰς τὴν μάνδραν, καὶ ἔρριψαν ἑαυτοὺς ἔμπροσθεν τοῦ στύλου δεόμενοι τυχεῖν θεραπείας, τὸ δὲ δέρμα τῆς ἐλάφου ἐγέμισαν ἀχύρων πρὸς ἐπίγνωσιν τῶν πολλῶν, καὶ ἐτέθη ἐν τῇ μάνδρᾳ χρόνον ἱκανόν. Οἱ δὲ φαγόντες τὰ κρέα τῆς ἐλάφου, ποιήσαντες χρόνον ἱκανόν, θεραπείας ἔτυχον διὰ πολλῆς μετανοίας, καὶ οὕτως ἀπῆλθον εἰς τὰ ἴδια.

16. Ἄλλο μυστήριον ἀκούσατε παρ' ἐμοῦ. Γυνὴ φλεγομένη δίψει νυκτὸς ἠθέλησε πιεῖν ὕδωρ. Ἐπιλαβομένη ἁγίου ὕδατος

17 cod. αὐτῇ ποιεῖται. 20 ἐγγαστρὶ || τὶς ἐξαυτῶν. 22 στήθη. 24 ἐκολύθη. 28 ἐγέμησαν. 32 παρεμοῦ. 33 δήψη.

*

συνέπιεν ἅμα τῷ ὕδατι ὄφιν μικρόν, ἀγνοούσης αὐτῆς, καὶ ἐτράφη ἐν τῇ κοιλίᾳ αὐτῆς καὶ ἐγένετο ὡσεὶ δράκων, καὶ ἦν ἡ εἰδέα αὐτῆς ὡς χόρτος χλωρός, καὶ πολλοὶ ἠθέλησαν θεραπεῦσαι αὐτὴν καὶ οὐκ ἠδυνήθησαν· καὶ μετὰ πολὺ ἤνεγκαν αὐτὴν εἰς τὸν μακάριον Συμεών, καὶ ἀναγγέλλουσιν αὐτῷ τὰ περὶ αὐτῆς. Καὶ εἶπεν ὁ μακάριος Συμεών· "Βάλετε εἰς τὸ στόμα αὐτῆς ἐκ τοῦ ὕδατος καὶ τοῦ πηλοῦ τῆς γῆς". Καὶ ἐποίησαν οὕτως, καὶ ὡς ἔγνω τὸ θηρίον, ῥάσσει τὴν γυναῖκα εἰς τὸ ἔδαφος καὶ ἐξέρχεται ἐκ τοῦ στόματος αὐτῆς ὡς πηχῶν τριῶν, καὶ δραμὸν εἰσῆλθε συρόμενον ἔμπροσθεν τοῦ στύλου αὐτοῦ, καὶ κλῖναν τὴν κεφαλὴν ἀναμέσον τῶν καγκέλλων ἐρράγη, καὶ πάντες οἱ θεασάμενοι ἐδόξασαν τὸν θεόν, ὁρῶντες μάλιστα καὶ τοῦτο τὸ θαῦμα, ὅτι περ καὶ τὸ θηρίον ἐσπούδαζεν εὐλογηθῆναι καὶ οὕτως ἐτελειώθη.

17. Ἤλλαξαν δὲ πάλιν τοῦ μακαρίου τὸν στῦλον καὶ ἐποίησαν πηχῶν τεσσαράκοντα, καὶ ἐφημίσθη εἰς ὅλην τὴν οἰκουμένην. Ὅθεν τὸ πλῆθος τῶν Σαρακηνῶν ἐκενώθη πρὸς αὐτὸν πίστει φλεγόμενον· ἡμέρωσεν δὲ αὐτοὺς εἰς τὸν φόβον τοῦ θεοῦ. Ὁ δὲ μισάνθρωπος διάβολος, ὡς ἔθος ἔχει πειράζειν τοὺς ἁγίους ἀνθρώπους καὶ καταπατεῖσθαι ὑπ' αὐτῶν, ἐπήγαγεν πληγὴν ἐπὶ τὸν μηρὸν τοῦ δικαίου, ὃν τρόπον τῷ μακαρίῳ Ἰώβ, πάθος τὸ λεγόμενον πανοῦκλα, καὶ συνεσάπη ὁ μηρὸς αὐτοῦ καὶ εἰς ἕνα πόδα ἔστηκεν ἐπὶ διετῆ χρόνον, ὥστε καὶ σκώληκας ἀνεικάστους ἀποπίπτειν ἀπὸ τοῦ μηροῦ αὐτοῦ ἐπὶ τὸ ἔδαφος. Ὅθεν ἄλλο ἔργον οὐκ εἶχον, εἰ μὴ μόνον τὸ συνάγειν τοὺς σκώληκας καὶ ἀναφέρειν εἰς τὸν τόπον ὅθεν ἔπιπτον, λέγοντος τοῦ μακαρίου· "Φάγετε ὅθεν ἔδωκεν ὑμῖν ὁ θεός".

18. Κατὰ βούλησιν δὲ θεοῦ συνέβη τὸν βασιλέα τῶν Σαρακηνῶν ἐλθεῖν εἰς τὴν μάνδραν εἰς εὐχήν· ἅμα δὲ τοῦ εἰσελθεῖν ⟨ἔστη⟩ ἔμπροσθεν τοῦ στύλου εὐλογηθῆναι παρ' αὐτοῦ, καὶ προσκυνήσας αὐτὸν ἤρξατο νουθετεῖσθαι παρ' αὐτοῦ. Καὶ ὁμιλούντων αὐτῶν αἰφνίδιον πίπτει σκώληξ ἀπὸ τοῦ μηροῦ αὐτοῦ, καὶ τίθησιν τὸν

3 cod. χλορός. 8 ῥήσσει. 9 δραμών. 10 συρώμενον. 11 ἐρράγει 15 ἐφημείσθη. 16 ἐκαινώθη. 18 μησάνθρωπος. 20 cf. Iob. xv, 27. 22 ἐπιδιετή. 23 ἀπὸ πίπτειν. 24 σκώλικας. 27 καταβούλησιν. 28 ἔστη inserui. 30 παράυτοῦ. 31 αἰφνήδιον.

νοῦν ὁ Σαρακηνός (οὐ μέντοι ἤδει τὸ τί ἦν τὸ πεσόν), καὶ δραμὼν ἁρπάζει αὐτὸ καὶ τίθησιν εἰς τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ εἰς τὴν καρδίαν. Εὐλογηθεὶς δὲ παρ' αὐτοῦ, ἐδήλωσεν αὐτῷ λέγων· "'Απόθου δ ἐπῆρες· βάρος ἐμοὶ τῷ ἁμαρτωλῷ προσφέρεις· σκώληξ ἐστὶν ὄζων ἐκ σαρκὸς ὀζομένης καὶ φθαρτῆς. Διατί τὰς χεῖράς σου μολύνεις, τοιοῦτος ἔντιμος ὑπάρχων ἀνήρ;" Ταῦτα ἀκούσας ὁ βασιλεὺς παρὰ τοῦ μακαρίου, εἰσῆλθεν καὶ λέγει αὐτῷ· "Τοῦτό μοί ἐστιν εἰς εὐλογίαν καὶ ἄφεσιν ἁμαρτιῶν". Καὶ ἀνοίξας τὴν παλάμην αὐτοῦ ὁρᾷ μαργαρίτην τιμῇ μὴ ὑπερβαλλόμενον, καὶ θεασάμενος αὐτὸν ἤρξατο δοξολογεῖν τὸν κύριον ἡμῶν 'Ιησοῦν Χριστόν, καὶ λέγει τῷ μακαρίῳ· "'Ιδοὺ εἶπας ὅτι σκώληξ ἐστίν, γέγονεν μαργαρίτης τίμιος". Ὁ δὲ μακάριος Συμεὼν ἀκούσας λέγει· "Καθὼς ἐπίστευσας, γενηθήτω σοι εἰς εὐλογίαν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου". Καὶ εὐλογηθεὶς ὁ ἀνὴρ παρ' αὐτοῦ ἀπῆλθεν εἰς τὰ ἴδια μετ' εἰρήνης.

19. Ἄλλο μυστήριον ἀκούσατε παρ' ἐμοῦ. Ἐν τῷ ὄρει, ἐν ᾧ ὁ στῦλος αὐτοῦ ἕστηκεν, ἐξ ἀνατολῶν δράκων ἐνεφώλευεν, ὅθεν οὔτε βοτάνη ἀνέβαινεν ἐν τῷ ὄρει ἐκείνῳ. Κατ' οἰκονομίαν δὲ τοῦ θεοῦ ἔτυχεν ξύλον εἰσελθεῖν ἐν τῷ ὀφθαλμῷ αὐτοῦ καὶ ἐπὶ χρόνον ἱκανὸν τὸν συρισμὸν αὐτοῦ οὐδεὶς ὑπέφερεν. Ἐξῆλθεν οὖν ἐν μιᾷ τῶν ἡμερῶν ἀπὸ τοῦ φωλεοῦ αὐτοῦ, καὶ συρόμενος ἦλθεν, πάντων ὁρώντων, καὶ τίθησιν ἑαυτὸν εἰς τὰ πρόθυρα τῆς μάνδρας, καὶ ἐξαίφνης ἀναρρήγνυται αὐτοῦ ὁ ὀφθαλμός, καὶ ἐξῆλθεν ξύλον ἀπ' αὐτοῦ μέγα, ὥστε θαυμάζειν πάντας τοὺς ὁρῶντας· οὐκ ἀνεχώρησεν δέ, ἕως οὗ ἀπεκατέστη ὑγιής, καὶ οὕτως ἀπῆλθεν ἐν τῷ τόπῳ αὐτοῦ, πάντων ὁρώντων, μηδένα ἀδικήσας, ἀλλ' ὥσπερ πρόβατον οὕτως ἦν ἐπὶ τὰ πρόθυρα τῆς μάνδρας τὸ τοιοῦτον θηρίον.

20. Ἄλλο ξένον πρᾶγμα θέλω ὑμῖν εἰπεῖν θαυμαστόν. Ἀρχιλῃστὴς ἐγένετο ἐν Συρίᾳ ὀνόματι Ἀντίοχος, τὸ δὲ παρώνυμον αὐτοῦ Γονατᾶς ἐκαλεῖτο· ὃς ἦν περιβόητος ἐν ὅλῳ τῷ κόσμῳ. Ὅθεν πλειστάκις ἀπεστάλησαν στρατιῶται καὶ χιλίαρχοι τοῦ

1 cod. εἴδη. 2 αὐτῶ. 3 εὐλογηθεὶς pro εὐλογηθέντος. 5 ὀζωμένης. 6 μολύνης. 8 ἐστὶν. 13 γενηθείτω. 17 ἐξανατολῶν δ. ἐνεφόλευεν. 18 κατοικονομίαν. 25 οὐκανεχώρησεν || ἀπεκατέστη pro ἀποκατέστη. 30 ἀρχιλιστὴς.

θηρεῦσαι αὐτὸν καὶ ἀγαγεῖν ἐν τῇ Ἀντιοχέων πόλει, καὶ οὐκ ἠδυνήθησαν πρὸς τὴν δυναστείαν αὐτοῦ. Ἡτοιμάσθησαν οὖν ἐν τῇ πόλει οἱ ἄρχοντες καὶ ὁ στρατός, καὶ ἐβόα πᾶσα ἡ πόλις δι' αὐτόν, καὶ ἐξῆλθον τοῦ πιάσαι αὐτόν· καὶ παραγενόμενοι ἐν τόπῳ τινὶ ηὗρον αὐτὸν πίνοντα ἐν πανδοχείῳ, καὶ ἐκύκλωσαν τὸν τόπον, ὁ δὲ λῃστὴς γνοὺς ἤρξατο τραγῳδεῖν. Ποταμὸς δὲ παρέκειτο τῇ κώμῃ ἐκείνῃ· φοράδα δὲ εἶχεν ὁ λῃστὴς καὶ ὡς ἀνθρώπῳ ἐκέλευσεν αὐτῇ, καὶ ἀναστὰς ῥίπτει τὰ ἱμάτια αὐτοῦ ἐπὶ τὴν φοράδα καὶ λέγει αὐτῇ· "Ὁρκίζω σε κατὰ τοῦ ἁγίου Συμεών, ἄπελθε εἰς τὸν ποταμὸν κἀκεῖ με ἔκδεξαι". Καὶ ἐκτείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν προσηύχετο λέγων· "Υἱὲ τοῦ θεοῦ, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ πρόσδεξαι τὴν δέησίν μου, ὁ προσδεξάμενος τὴν μετάνοιαν τοῦ λῃστοῦ τοῦ ἐπὶ τοῦ σταυροῦ σου πιστεύσαντος ἐπὶ σέ· καὶ πρόσδεξαι ἐν εἰρήνῃ τὴν ψυχήν μου διὰ τοῦ θεράποντός σου Συμεών, καὶ μὴ κατακυριευσάτωσάν μου οἱ ζητοῦντες τὴν ψυχήν μου". Καὶ κλαύσας ἐπὶ ὥρας δύο ἐπαύσατο, ὥστε ποιῆσαι τὸν περιεστῶτα ὄχλον δακρύσαι, καὶ λαβὼν πάντα ἐπέρασεν τὸν ποταμὸν καὶ εἰσῆλθεν εἰς τὴν μάνδραν τοῦ μακαρίου, καὶ ἔρριψεν ἑαυτὸν ἔμπροσθεν τοῦ στύλου. Ὁ δὲ μακάριος ἐποίησεν εὐχήν, καὶ εὐθέως ὁ λῃστὴς παρέδωκεν τὴν ψυχήν, καὶ κηδεύσαντες ἔθαψαν αὐτὸν ἔξω τῆς μάνδρας αὐτοῦ. Τῇ οὖν ἑξῆς μαθόντες οἱ τῆς πόλεως, ὅτι ἐκεῖ προσέφυγεν, ἔρχονται ἀπὸ Ἀντιοχείας πλέον ἑκατὸν ἁρπάσαι αὐτόν, καὶ ἤρξαντο κράζειν καὶ βοᾶν κατὰ τοῦ δικαίου Συμεών, ὡς μὴ συγχωροῦντος αὐτὸν ἐξελθεῖν ἐκ τῆς μάνδρας, ἀγνοοῦντες ὅτι ἤδη τέθνηκεν. Ὁ δὲ ἅγιος Συμεὼν ἀποκριθεὶς εἶπεν· "Ἀδελφοί, ὁ ἐνταῦθα ἀποστείλας αὐτὸν ἰσχυρότερος ὑμῶν ἐστιν, καὶ χρείαν αὐτοῦ ἐσχηκὼς μετεστείλατο αὐτόν, ὡς χρησίμου αὐτοῦ ὄντος· ἀπέστειλεν γὰρ πρὸς αὐτὸν δύο στρατιώτας δυνατούς, ἐνόπλους, φοβερούς, οἵτινες ἠδύναντο ὅλην τὴν πόλιν ἡμῶν κεραυνῶσαι μετὰ τῶν κατοικούντων ἐν αὐτῇ, καὶ ὁ ταπεινὸς ἐγὼ ἰδὼν τὸ φοβερὸν σχῆμα οὐκ ἐτόλμησα ἀντειπεῖν αὐτοῖς, ἵνα μὴ κἀμὲ τὸν ταπεινὸν ἀποκτείνωσιν· οὔτε γὰρ ἐγὼ οὔτε ἄλλος τίς ἐστιν, ὃς ἠδύνατο

12 ἱλασθητί μοι τῷ ἁμαρτωλῷ] Luc. xviii, 13. 13 λῃστοῦ] cf. Luc. xxiii, 39—43. 23 ἀντιοχίας. 27 ἐστὶν. 32 οὐκετόλμησα. 33 τισ ἐστὶν.

ἀντιτάξασθαι αὐτοῖς". Οἱ δὲ ἄνδρες, οἱ ἀπεσταλμένοι κατὰ τοῦ ἀρχιλῃστοῦ, ἀκούσαντες ταῦτα παρ' αὐτοῦ καὶ μαθόντες ὅτι μετὰ πολλῆς δόξης ἀπέδωκε τὴν ψυχήν, τρέμοντες καὶ δοξάζοντες τὸν θεὸν ὑπέστρεψαν ἐν τῇ πόλει.

21. Ἄλλο θαυμάσατε. Ὕδωρ ἐκεῖ οὐκ ἐφαίνετο ἐν τῇ μάνδρᾳ, καὶ τὸ πλῆθος τῶν ἐρχομένων ἐκινδύνευεν μετὰ τῶν ἀλόγων τῇ δίψει, καὶ ποιήσας εὐχὴν ἐπὶ ἡμέρας ἑπτά, οὐκ ἐφθέγξατό τινι, ἀλλ' ἦν κεκλικὼς τὰ γόνατα καὶ εὐχόμενος κυρίῳ τῷ θεῷ ἡμῶν, ὥστε νομίζειν πάντας ὅτι ἀπέθανεν· καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀνέβλυσεν ὕδωρ πολὺ ἀνείκαστον ἐξ ἀνατολῶν τῆς μάνδρας αὐτοῦ, καὶ ὀρύξαντες ηὗραν τύπον σπηλαίου γέμοντα ὕδωρ, καὶ οἰκοδομοῦσιν στόματα ἑπτά, καὶ πάντες ἐδόξαζον τὸν θεὸν ἐπὶ τῷ γεγονότι θαύματι.

22. Ἔστη οὖν ὁ μακάριος ἐν διαφόροις στύλοις ἔτη τεσσαράκοντα ἑπτά, καὶ μετὰ ταῦτα ὁ κύριος ἐπεζήτησεν αὐτὸν τοῦ τελειωθῆναι· ἦν δὲ ἡμέρα Παρασκευὴ καὶ ἦμεν ἐκδεχόμενοι καὶ τῷ Σαββάτῳ καὶ τῇ Κυριακῇ, καὶ ἦν κεκλιμένος καὶ οὐκ ἀνένευεν, ὡς ἔθος εἶχεν, εὐλογεῖν τοὺς κεκλικότας τὰ γόνατα εἰς εὐχήν. Ὡς δὲ εἶδον ἐγὼ Ἀντωνῖνος τοῦτο, τῇ δευτέρᾳ ἡμέρᾳ ἀνῆλθον πρὸς αὐτὸν εἰς τὸν στῦλον, καὶ θεωρῶ τὸ πρόσωπον αὐτοῦ καὶ ἦν φαιδρὸν ὡς ὁ ἥλιος. Καὶ καθὼς ἀνίγν ὑπήντα μοι καὶ ἐλάλει μοι, τότε δὲ οὐκ ἐλάλησέν μοι· κἀγὼ μὲν ἔλεγον ἐν ἑαυτῷ, ὅτι ἀπέθανεν, καὶ πάλιν ἠπίστουν καὶ ἐφοβούμην τοῦ ἐγγίσαι αὐτῷ, καὶ ἀποτολμήσας λέγω πρὸς αὐτόν· "Δοῦλε τοῦ θεοῦ τοῦ ὑψίστου, ὁ λαὸς ἐκδέχεταί σε εὐλογηθῆναι σήμερον τρίτην ἡμέραν". Καὶ σταθεὶς ὥραν μίαν εἶπον πρὸς αὐτόν· "Οὐκ ἀποκρίνει μοι, δέσποτα;" Ἐκτείνας δὲ τὴν χεῖρά μου ἡψάμην αὐτοῦ τοῦ πώγωνος, καὶ ὡς εἶδον ὅτι μαλθακός ἐστιν καὶ τὸ σῶμα αὐτοῦ, ὡς ἐψηλάφησα αὐτόν, ἔγνων ὅτι ἐτελειώθη, καὶ ἐπέθηκα τὰς χεῖρας αὐτοῦ εἰς τὸ πρόσωπόν μου καὶ ἔκλαυσα ἐπ' αὐτῷ πικρὰ δάκρυα, καὶ ὑποκύψας ἠσπασάμην αὐτόν, καὶ τοὺς ὀφθαλμοὺς καὶ τὸν πώγωνα καὶ τὴν καρδίαν καὶ τοὺς πόδας, καὶ ἦν ἐν ὅλῳ τῷ σώματι αὐτοῦ ὀσμὴ πολυτίμου μύρου, ὥστε ἔκθαμ-

6 cod. μετατῶν. 8 τινὶ. 10 πολῦν ἀ. ἐξανατολῶν. 11 ὠρύξαντες || γέμων. 31 εἰσπασάμην.

βόν με γενέσθαι ἐκ τῆς εὐωδίας ἐκείνης. Καὶ σταθέντος μου πάλιν ὡς ἡμιώριον, ἐκινήθη τὸ σῶμα αὐτοῦ ἅμα τῷ στύλῳ, καὶ ἤκουσα φωνῆς λεγούσης "'Αμήν", καὶ ἐκ τοῦ φόβου εἶπον· "Εὐλόγησόν με, δέσποτα, καὶ μνήσθητί μου ἐν τῇ ἀναπαύσει σου τῇ ὁσίᾳ". 5

23. Καὶ κατελθὼν οὐκ ἀπήγγειλά τινι, ἵνα μὴ θόρυβος γένηται, ἀλλὰ διὰ πιστοῦ ἀνδρὸς ἐσήμανα τῷ ἐπισκόπῳ Μαρτυρίῳ καὶ τῷ στρατηλάτῃ 'Αρδαβουρίῳ· καὶ τῇ ἑξῆς παρεγένετο ὁ ἐπίσκοπος 'Αντιοχέων μετὰ πολλῶν ἐπισκόπων, ἦλθεν δὲ καὶ 'Αρδαβούριος ἅμα τῷ στρατοπέδῳ αὐτοῦ μετὰ χιλιάδων ἓξ, ἵνα μὴ 10 συναχθέντα τὰ πλησίον χωρία ἁρπάσωσιν τὸ σῶμα αὐτοῦ· οὕτω γὰρ καὶ ἐσκέπτοντο. Τότε ἐβλήθησαν κορτῖναι κύκλῳ τῶν καγκέλλων τοῦ στύλου ἄνω, καὶ ἀνῆλθον τρεῖς ἐπίσκοποι καὶ ἀφήλωσαν αὐτόν, εἰπόντες τρεῖς ψαλμούς, καὶ καθέλουσιν αὐτόν. Καὶ τότε ἔγνω ὁ λαός, ὅτι ἐτελειώθη ἐν κυρίῳ, καὶ ἐγένετο σύγχυσις 15 τοῦ λαοῦ, ὥστε μὴ φαίνεσθαι τὸ ὄρος ἀπὸ τῶν ὄχλων καὶ τῶν κηρῶν καὶ τῶν θυμιαμάτων καὶ τῶν λαμπάδων τῶν καιομένων· αἱ δὲ φωναὶ τοῦ κλαυθμοῦ ἀνδρῶν τε καὶ γυναικῶν καὶ παιδίων ὑπήχουν ὡς ἀπὸ μιλίων πεντήκοντα· σχεδὸν γὰρ καὶ τὸ ὄρος αὐτὸ ἐδάκρυεν· τῶν δὲ πετεινῶν τῶν συναχθέντων καὶ κυκλωσάντων 20 τὴν μάνδραν καὶ τὸν στῦλον οὐκ ἦν ἀριθμός. Ὡς οὖν κατήγαγον τὸν μακάριον Συμεὼν ἐκ τοῦ στύλου, ἔθηκαν τὸ ἅγιον αὐτοῦ σῶμα ἐπὶ τὸ ἀκράριον τὸ μαρμάρινον, ὃ εἶχεν ἔμπροσθεν τοῦ στύλου αὐτοῦ· καὶ μὴν ἔχων ἀναπαυόμενος τετάρτην ἡμέραν ἐν κυρίῳ τῷ θεῷ, οὕτως ἤπλωσεν τὸ σῶμα ὡς αὐτῇ τῇ ὥρα ἀναπαείς. 25

24. Προσελθόντες τοίνυν οἱ ἐπίσκοποι, ἔδωκαν αὐτῷ τὴν ἀγάπην ἀσπασάμενοι αὐτόν, καὶ ἦν θεάσασθαι τὸ πρόσωπον αὐτοῦ ὡσεὶ ῥόδον ἀμαράντινον, αἱ δὲ τρίχες τῆς κεφαλῆς αὐτοῦ καὶ τοῦ πώγωνος ὡσεὶ χιὼν ἀμόλυντος. Ἠβουλήθη οὖν ὁ ἐπίσκοπος 'Αντιοχείας Μαρτύριος ἆραι τρίχας τοῦ πώγωνος αὐτοῦ, καὶ παρα- 30 χρῆμα ἔμελλεν ξηραίνεσθαι ἡ χεὶρ αὐτοῦ, ἕως οὗ πάντες οἱ ἐπίσκοποι ἐποίησαν εὐχὴν ὑπὲρ αὐτοῦ καὶ ἤρξαντο λέγειν τῷ ἁγίῳ αὐτῷ λειψάνῳ· "Εὐλογημένε ἀπὸ τοῦ θεοῦ, σῶος εἶ· οὐδείς σου

6 cod. τινὶ. 8 στρατειλάτι. 10 στρατοπαίδω. 12/13 ἀφειλωσαν. 15 ἐτελειώθει. 17 κεομένων. 19 ὑπήχουν] ὑπῆγεν ‖ μηλίων ν̄ 28 τρίχαις.

τῶν ἱματίων τολμᾷ ἆραι ἀπὸ σοῦ, μὰ τὸν σωτῆρα τοῦ κόσμου". Καὶ τότε ἀπεκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιής, καὶ ἔβαλον αὐτὸν εὐθέως ἐν γλωσσοκόμῳ.

25. Ἐγὼ δὲ Ἀντωνῖνος πρὸ πέντε ἡμερῶν ἐθεώρουν ἄνδρα ἐστολισμένον, εὐειδῆ τῇ εἰδέᾳ καὶ φοβερόν, μῆκος δὲ ἔχοντα ἀνδρῶν δύο, ἐρχόμενον καὶ λαλοῦντα τῷ μακαρίῳ τρίτον τῆς ἡμέρας, καὶ διδόντα αὐτῷ τὴν ἀγάπην, καὶ ἤθελον διηγήσασθαι ἐκείνῳ τὰ περὶ αὐτοῦ, καὶ ὁ νοῦς μου ἡρπάζετο καὶ ἐκωλυόμην τοῦ λαλεῖν, μέχρις οὗ ἐτελειώθη ὁ ἅγιος. Καθὼς οὖν ἤρχετο πρὸς αὐτόν, ἐθεώρουν αὐτοὺς ὡς ἐσθίοντας, τὸ τί δὲ οὐκ ἤδειν· ἔψαλλον δὲ ψαλμὸν ἀμφότεροι, ὃν οὐκ ἠδυνήθην νοῆσαι, εἰ μὴ μόνον τὸ "Ἀμήν", καὶ φόβος συνεῖχέν με πρὸς τὴν θέαν τοῦ ἀνδρὸς ἐκείνου· οὕτως δὲ ἦν τὸ πρόσωπον αὐτοῦ, ὡς ὁ ἥλιος ὅτε πέμπει τὰς ἀκτῖνας.

26. Καὶ ἐπιθέντες οἱ ἐπίσκοποι καὶ τὸ πλῆθος μετὰ πίστεως εἰς τὸ ὄχημα τὸ λείψανον τοῦ μακαρίου Συμεὼν μετὰ ὀλολυγμοῦ καὶ κλαυθμοῦ, οὕτως ἀπήρχοντο ἐν Ἀντιοχείᾳ μετὰ ἀνεικάστου καὶ ἀμυθήτου ὄχλου· ἔφθασαν δὲ ἀπὸ μιλίων πέντε Ἀντιοχείας ἐν τόπῳ λεγομένῳ Μερῶν, καὶ ἔστησαν αἱ μοῦλαι καὶ οὐκέτι ἐκινεῖτο τὸ ὄχημα, ὅτι μυστήριον θαυμαστὸν καὶ παράδοξον ἦν ἐκεῖσε.

27. Ἐκ δεξιῶν γὰρ τῆς ὁδοῦ ἦν ἐκεῖ μνημεῖον παρακείμενον τῷ τόπῳ ἐκείνῳ· ἀνὴρ δέ τις παρέμενεν ἐν τῷ τάφῳ, τὸ δὲ μυστήριον τοῦ ἀνδρὸς τοιοῦτον ἦν. Ποθήσας γυναῖκα ὕπανδρον καὶ πλείω εἴκοσιν ἔτη οὐκ ἠδυνήθη συντυχεῖν αὐτῇ ἐν τῇ ζωῇ αὐτῆς. Ὅτε δὲ ἐτελεύτησεν, κατέθεντο αὐτὴν ἐν τῷ μνημείῳ, καὶ ἀπῆλθεν ὁ ἀνὴρ ὁ ποθῶν αὐτὴν καὶ παρήνοιξεν τὴν πλᾶκα καὶ τῷ μεμαραμμένῳ σώματι ἐκείνῳ συνεγίνετο, καὶ οὐκέτι ἀνελθεῖν ἠδύνατο, ἀλλὰ μίαν ἐκ μιᾶς οἱ ὁδοιποροῦντες αὐτὸν καθεζόμενον τοῖς βαθμοῖς τοῦ μνημείου ἀπέφερον αὐτῷ ἕκαστος ὃς μὲν τροφήν, ὃς δὲ ἐσθῆτα. Κατὰ βούλησιν οὖν τοῦ θεοῦ ἐν οἵᾳ ἡμέρᾳ ἥμαρτεν ἐν τῷ μνημείῳ, τῇ αὐτῇ ἡμέρᾳ ἀνῆλθεν ἐν τῷ στύλῳ καὶ ὁ μακάριος

1 cod. ματὸν. 2 ἀπεκατεστάθη pro ἀποκατέστη. 4 προπέντε. 5 εὐηδὴ τῇ ἰδέα. 17 ἐναντιοχεία. 18 μηλίων π. ἀντιοχίας. 20 ὤχημα. 29 ὁδυποροῦντες. 31 καταβούλησιν.

Συμεών. Ἦν οὖν ἐν τῷ μνημείῳ μήτε λαλῶν μήτε ἀκούων. Ἐξαπίνης οὖν σταθείσης τῆς καρούχας καὶ πάντων τῶν ὄχλων περιεστώτων, δρομέως ἦλθεν ἐκ τοῦ μνημείου κράζων καὶ λέγων· "Ἐλέησόν με, ἅγιε Συμεών, δοῦλε τοῦ ἐπουρανίου θεοῦ". Καὶ ἐπιλαβόμενος τοῦ ὀχήματος εὐθέως ἐκινήθη καὶ πάντες ἐδόξαζον τὸν θεὸν λέγοντες "Ἅγιος ὁ θεός, ὁ ποιήσας θαυμάσια", ὥστε πληρωθῆναι τὸν τόπον ἀπὸ τῶν δακρύων τοῦ ὄχλου· ὁ δὲ ἄνθρωπος ἐκεῖνος ἔκραζεν λέγων· "Ἐγὼ σήμερον ἐσώθην, δοῦλε τοῦ θεοῦ· ἀπολωλὼς γὰρ ἤμην τῇ ἁμαρτίᾳ καὶ νῦν ἐσώθην".

28. Καὶ παρεγένετο πᾶσα ἡ πόλις εἰς ἀπάντησιν τοῦ ὁσίου ἀνδρὸς μετὰ κηρῶν καὶ ὕμνων, λέγοντες πρὸς αὐτόν· "Ἦλθεν ὁ ποιμὴν ἡμῶν θησαυρὸν ἡμῖν κομίζων ἐπουράνιον, ᾧ τιμὴ οὐκ εἰκάζεται· ἀνοίξατε πύλας δέξασθαι τὸν φύλακα τῆς πόλεως ἡμῶν. Οἱ οὐρανοὶ ἀγάλλονται καὶ ἡ γῆ εὐφραίνεται, καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ δόξαν ἀναπέμπομεν τῷ δεσπότῃ τῶν ὅλων θεῷ λέγοντες· "Ἅγιος ἅγιος ἅγιος κύριος ὁ θεὸς ἡμῶν". Καὶ εἰσφέρουσιν αὐτὸν εἰς τὴν ἐκκλησίαν τὴν Κασιανοῦ, καὶ μετὰ ἡμέρας τριάκοντα ἐκέλευσεν ὁ στρατηλάτης Ἀρδαβούριος καὶ μετέθηκαν αὐτὸν εἰς τὴν Μεγάλην Ἐκκλησίαν, καὶ καθε . . . στοὶ πάλιν κατὰ ἀποκάλυψιν θεοῦ ᾠκοδόμησαν αὐτῷ εὐκτήριον ἄξιον τοῦ ἐνδόξου καὶ πολυτίμου αὐτοῦ λειψάνου, καὶ μετὰ πολλῆς δόξης καὶ ὕμνων ἔθηκαν ἐκεῖ οὕτως ψάλλοντες· "Πατέρα καὶ υἱὸν καὶ τὸ ἅγιον πνεῦμα ὑμνοῦμεν, τὸν δωρησάμενον ἡμῖν θησαυρὸν ἀνέκλειπτον".

29. Πολλοὶ δὲ ἐπετήδευσαν προσφέροντες τῷ ἐπισκόπῳ χρυσὸν καὶ ἄργυρον καὶ κτήματα, ἵνα τις τῶν εὐλογημένων αὐτοῦ λειψάνων λάβῃ μέρος, καὶ οὐδενὶ παρέσχεν διὰ τοὺς ὅρκους οὓς ὤμοσεν. Ἡ δὲ πόλις Ἀντιοχέων ἐπελάβετο θησαυρὸν ἄσυλον, αἰώνιον φύλακα, ἔκδικον σύντομον, πρεσβευτὴν ὑπήκοον, λυτρωτήν, θεμέλιον, σώστην εὐπαράκλητον, ἀπροσωπόληπτον, καὶ ἁπλῶς κάτοικον θεῖον αἰώνιον, παμπόλλας ἰάσεις ἐπιτελοῦντα τοῖς πιστοῖς εἰς δόξαν θεοῦ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

5 cod. ἐκεινήθη. 13 οὐκηκάζεται. 18 στρατιλάτης. 19 post καθε locus corruptus trium litterarum. 29 ἀπροσωπόλιπτον.

IV.

Μηνὶ Σεπτεμβρίῳ δ'.

ΜΑΡΤΥΡΙΟΝ

ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

ΒΑΒΥΛΑ,

ἀρχιεπισκόπου Ἀντιοχείας, καὶ νηπίων τριῶν.

---

1. Νουμεριανὸς ὁ βασιλεὺς θύσας τοῖς ἀκαθάρτοις δαίμοσιν ἠθέλησεν εἰσελθεῖν εἰς τὸν οἶκον τοῦ θεοῦ· ὁ δὲ τρισμακάριος Βαβυλᾶς, τῆς ἐν Ἀντιοχείᾳ καθολικῆς ἐκκλησίας ἐπίσκοπος ὢν καὶ εἰδὼς καλῶς ποιμαίνειν τὰ πρόβατα τὰ ὑφ' αὐτόν, ἀκούσας μέλλοντα εἰσιέναι τὸν Νουμεριανόν, ἄρας τὴν φωνὴν αὐτοῦ πρὸς τὸν λαὸν ἔφη· "Στερροὶ γίγνεσθε, τέκνα· ἐνταῦθα παραμείνατε· λύκος γὰρ μέλλει εἰσιέναι εἰς τὸν οἶκον τοῦ θεοῦ, καὶ ἐὰν μὴ προκαταλάβηται ἡμᾶς ὁ θεός, ἀπολλύμεθα". Οἱ δὲ ὑπήκουσαν καὶ παρέμειναν, αὐτὸς δὲ πρὸ τῶν θυρῶν ἑστὼς ἐξεδέχετο. Ὁ δὲ Νουμεριανὸς ἐπεχείρησεν εἰσελθεῖν, καὶ ἑστὼς ὁ δοῦλος τοῦ θεοῦ Βαβυλᾶς ἐπέσχεν αὐτὸν λέγων· "Οὐκ εἰσέρχῃ μεμιασμένας ἔχων χεῖρας". Ὁ δὲ Νουμεριανὸς διισχυρίζετο εἰσελθεῖν, καὶ ἐκπλησσόμενος τὴν παρρησίαν τοῦ ἀνδρός, αἰδούμενος δὲ διὰ τὴν φήμην τὴν περὶ αὐτόν, παραυτὰ μὲν ἐσιώπησε κελεύσας τηρεῖσθαι αὐτὸν εἰς τὴν αὔριον ἀσφαλῶς.

Cod. Petropol. 213, s. x, fol. 18a—23a.

1 cod. Μη(νὶ) τῶ αὐτῶ δ. 8 ἐναντιοχείᾳ. 11 γίγνεσθαι. 19 παρ' αὐτὰ.

2. Τῇ δὲ ἑξῆς, προκαθίσας ἐν τῷ παλατίῳ, ἐκέλευσεν αὐτὸν προσαχθῆναι καὶ εἶπεν αὐτῷ πάντων παρόντων· "Ἄθλιε ἄνθρωπε, τί ἔχων πρὸ ὀφθαλμῶν ἐτόλμησας ἀπαντήσας ἐπισχεῖν με; ἀγνοεῖς ὅτι βασιλεύς σοι ὁμιλεῖ; Μὰ τὴν ἐμὴν ἐξουσίαν, οὐ μὴ ἐκφύγῃς τὰς χεῖράς μου. Ἴδωμεν, εἰ βοηθεῖ σοι ὁ θεός σου". Βαβυλᾶς εἶπεν· "Ἐγὼ μέν εἰμι ἄνθρωπος ταπεινός, εὐδόκησεν δὲ ὁ θεὸς προχειρισθῆναί με ποιμένα τοῦ λαοῦ αὐτοῦ· ὅθεν θεασάμενος λύκον εἰσερχόμενον εἰς τὴν ποίμνην τοῦ Χριστοῦ ἐσπούδασα μὴ παριδεῖν, ἵνα μή τινα ἀπολέσας τῆς ποίμνης λόγον δῶ τῷ θεῷ μου". Νουμεριανὸς εἶπεν· "Λύκος σοι ἔδοξα εἶναι, βιοθάνατε, καὶ οὐ βασιλεύς"; Βαβυλᾶς εἶπεν· "Κατὰ συγχώρησιν τοῦ θεοῦ εἰ βασιλεὺς διὰ τὰς ἡμετέρας ἁμαρτίας, ἵνα κἂν οὕτω παιδευθέντες ἐπιστρέψωμεν· ἐγὼ γὰρ βασιλέα ἀληθῶς οὐ λέγω σε, ἐπειδὴ οὐ γινώσκεις τίς σοι δέδωκε τὸ βασίλειον. Εἰ γὰρ ἐγίνωσκες αὐτόν, αὐτῷ μόνῳ προσεκύνεις καὶ αὐτὸν μόνον ἐθεράπευες καὶ οὐ τὰ κτίσματα αὐτοῦ· διὰ δὲ τῶν τοιούτων σου ἔργων παροξύνεις τὸν ποιήσαντά σε ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι καὶ τιμήσαντά σε, ἵνα δοξάσῃς αὐτόν. Λέγω δέ σοι κοινὸν πρᾶγμα· ἐάν τις τῶν ὑπασπιστῶν σου ἀναχωρήσας ἀπέλθῃ πρὸς ἄλλον βασιλέα, τουτέστι πρὸς ἀλλόφυλον, οὐ χολᾷς; Οὕτως οὖν σκόπησον καὶ τὸν θεὸν τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν παραζηλοῦσθαι ἐν τοῖς τοιούτοις πράγμασιν· καὶ γὰρ ὅτε Ἰσραὴλ παρεπίκρανε τὸν θεόν, εἶπεν αὐτοῖς ὁ θεὸς διὰ Μωσέως: Ὑμεῖς παρεζηλώσατέ με ἐπ' οὐ θεοῖς, κἀγὼ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει· ἐπ' ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς. Καὶ σὺ οὖν παροργίζεις τὸν θεόν, καὶ αὐτός σε ἐκ τῆς βασιλείας ταύτης ταχέως ἀποσπᾷ καὶ δίδωσί σου τὴν βασιλείαν ἄλλῳ, ᾧ οὐ θέλεις, ἵνα γνῷς ὅτι καλόν ἐστι θεὸν ὁμολογεῖν καὶ μὴ τὰ κτίσματα αὐτοῦ θεοποιεῖν καὶ προσκυνεῖν, καθὼς γέγραπται: Κύριον τὸν θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις".

3. Νουμεριανὸς εἶπεν· "Ληρεῖς ὑβρίζων· οὐ δοκοῦσί σοι κτίσματα τοῦ μεγάλου θεοῦ εἶναι, ἢ οὐχ ὁρᾷς τὰς ἐνεργείας

1 cod. προκαθήσας. 6 εἰμὶ. 7 με] μοι. 8 μηπαριδεῖν. 12 διατὰς. 15 οὔ. 16 παρωξύνεις. 19 ἀπέλθει. 19/20 τοῦτέστι. 23/25 cf. Deut. xxxii, 21. 25 σοὶ. 29 γέγραπται] cf. Deut. vi, 13, 14. x, 20.

αὐτῶν καὶ τὰς προγνώσεις ἃς λέγουσιν; Ἤθελον δὲ γνῶναι, ποῖον λέγει ἡ Γραφὴ ἔθνος ἀσύνετον· ἡδέως γὰρ ἀκούσομαί σου περὶ τούτου". Βαβυλᾶς εἶπεν· "Ὁ θεὸς τὸν ἄνθρωπον ἁπλοῦν ἔκτισεν. Ὁ οὖν Σατανᾶς ῥιφεὶς ἄνωθεν ἐκ τῶν οὐρανῶν, ἐκοντὶ τραπεὶς ἐκ τῆς δόξης ἧς ἐκέκτητο, φθονήσας τῷ γένει τῶν ἀνθρώπων, συγκατέσπασεν ἡμῶν τοὺς πατέρας διὰ τῶν ἐπινοιῶν αὐτοῦ τῶν πονηρῶν καὶ ἐγενόμεθα ἀσύνετοι. Ὁ οὖν μονογενὴς υἱὸς τοῦ θεοῦ, ὁ ἀληθινὸς θεός, μακροθυμήσας ἐπὶ τῇ τοσαύτῃ εἰδωλολατρείᾳ, καὶ ἰδὼν ἀπολλύμενον τὸ πλάσμα τὸ δι' αὐτοῦ γεγενημένον, ἐπεφάνη ἡμῖν καὶ ἀποσπάσας ἠλέησεν, καὶ οὐκέτι ἐσμὲν ἀσύνετοι γινώσκοντες τὸν θεόν, μᾶλλον δὲ γνωσθέντες ὑπ' αὐτοῦ· οὐδεὶς γάρ ἐστι προγνώστης, εἰ μὴ εἷς ὁ θεός. Ταῦτα γὰρ πάντα μῦθοί εἰσι καὶ σοφίσματα ποιητῶν οἱ λεγόμενοι θεοί, μὴ ὄντες δὲ μηδὲ ὑπάρξαντες· τέχνη γὰρ εἰ μὴ ἦν ἐν ἀνθρώποις, θεοὺς οὐκ εἴχετε, ἀλλ' ἄθεοι ἦτε. Εἰ δὲ θέλεις ἀκούσας μου γενέσθαι συνετός, δέχεταί σε ὁ θεός· εἰ δὲ μὴ θέλῃς, μένεις ἀσύνετος".

4. Νουμεριανὸς εἶπεν· "Αἱ ὑμέτεραι Γραφαὶ μῦθοί εἰσι, τὰ δὲ ἡμέτερα πράγματα μυστήριά ἐστι καὶ ἀληθείας τύπον ἔχουσιν· οὐ γάρ τι παρέπεται τοῖς θεοῖς ἡμῶν φαῦλον. Ὅθεν κελεύω σε θῦσαι αὐτοῖς, ἢ γίνωσκε, ὅτι ἐὰν παρακούσῃς, οὐκ ἀτιμώρητος ἔσῃ· οὐ γὰρ εἷ καλλίων τῶν πρὸ σοῦ εἰς τοῦτο ἐληλυθότων καὶ τιμῆς τοσαύτης καταξιωθέντων". Βαβυλᾶς εἶπεν· "Οἱ μὲν συναρπασθέντες ὡς ἄνθρωποι συνηρπάγησαν, ἐμὲ δὲ οὐ συναρπάσεις, οὐδ' ἂν βασιλείαν οὐρανῶν μοι ἐπαγγέλλῃ, ἧς σὺ ἀλλότριος καὶ ἀνάξιος τυγχάνεις, ἐπειδὴ οὐ θέλεις ἐπιστρέψαι· ἀλλὰ κόλασίς σε ἔχει ἀπαντῆσαι, καὶ γάρ σε ὁ θεὸς τὰς ψυχὰς ὧν ἀπώλεσας ἀπαιτήσει". Νουμεριανὸς εἶπεν· "Τί γάρ ἐστι θεός; τί δὲ ἡ προσηγόρια αὕτη ἑρμηνεύεται"; Βαβυλᾶς εἶπεν· "Θεοῦ μέγεθος οὐκ ἂν ἐξεύροις οὐδὲ πτεροῖς πετόμενος· καὶ θεοῦ ὄνομα ζητεῖς, ὃ οὐχ εὑρήσεις· πᾶν γὰρ τὸ ὀνομαζόμενον ὑπὸ τοῦ κρείττονος ὀνομάζεται, ἵνα τὸ μὲν καλῇ, τὸ δὲ ὑπακούῃ. Τίς οὖν ὁ ὀνομάσας θεόν; Θεὸς οὐκ ὄνομα θεοῦ, ἀλλὰ δόξα θεοῦ. Μηδὲν

6 cod. διατῶν. 10 ἀπὸ σπάσας. 12 εἰμὶ. 17 μῦθό. 22 σὺν ἁρπασθέντες. 23 σὺν ἡρπάγησαν. ἐμέδε οὐ σὺν ἁρπάσεις. 28 θεοῦ μέγεθος etc.] in margine: ὡρ(αῖον). 30 χρείττωνος.

οὖν ἐν θεῷ ὃ μὴ δύνασαι ζήτει· θεὸς γὰρ ὁδὸς σοφή, τοῦ ἐναντίου ἀνεπίδεκτος, καὶ ὁ θεὸς ὅσα ἐποίησεν, ὑπὲρ ἀνθρώπων ταῦτα ἐποίησεν". Νουμεριανὸς εἶπεν· "Τί γὰρ ἄνθρωπος"; Βαβυλᾶς εἶπεν· "Σύστασις βίου, ἀπόλαυσις τῶν γεγενημένων". Νουμεριανὸς εἶπεν· "Μὰ τοὺς θεοὺς κατὰ λόγον ἀπεκρίνω ὡς σοφὸς διδάσκαλος καὶ ὡς ἡ περιέχουσά σε φήμη διαγορεύει· ἓν δέ σοι ὑστερεῖ, ἡ γνῶσις τῶν θεῶν· ἠδύνασο γὰρ πλήρης καλὸς ἄνθρωπος εἶναι". Βαβυλᾶς εἶπεν· "Ἄφρων εἶ καὶ ἀσεβὴς καὶ ἀλαζὼν καὶ τύραννος· ὕβρις γάρ μοί ἐστι τὰ ὑπὸ σοῦ λεγόμενα ἐγκώμια, καὶ ἡ ὑπὸ σοῦ τιμὴ ἀτιμίαν μοι παρέχει· πεπληρωμένος γάρ εἰμι παντὸς ἀγαθοῦ, τὸν θεὸν ἐπιγινώσκων καὶ τὸν Χριστὸν αὐτοῦ καὶ οὐ λίθοις προσκυνῶν". Νουμεριανὸς εἶπεν· "Οὐκέτι σου ἀνέχομαι, ἀλλὰ κλοιὸν περιτίθημι τῷ τραχήλῳ τολμήσαντι ὕβριν ποιῆσαι τῷ δεσπότῃ ἑαυτοῦ". Βαβυλᾶς εἶπεν· "Τὸν θεὸν ἔχω δεσπότην, κυρίους δὲ τοὺς ἀδελφοὺς τοὺς φοβουμένους τὸν θεόν. Ὅθεν καὶ σὺ πίστευσον τῷ θεῷ καὶ τοὺς πόδας σου καταφιλήσω· τιμὴ δέ μοί ἐστιν ἣν νομίζεις ἀτιμίαν ποιεῖν. Καὶ ταῦτα δὲ πάσχων οὐδέπω ἄξιός εἰμι δοῦλος τοῦ θεοῦ, ἀλλὰ ἀχρεῖος· μακάριοι δὲ οἱ διὰ τὸν θεὸν ταῦτα πάσχοντες, ὅτι πολὺς μισθὸς αὐτοῖς ἀπόκειται ἐν τοῖς οὐρανοῖς".

5. Νουμεριανὸς εἶπεν Βικτορίνῳ τῷ δουκί· "Βούλομαι Βαβυλᾶν διδάσκαλον σωφρονισθῆναι ὑπὸ σοῦ. Κελεύω οὖν περιτεθῆναι εἰς τὸν τράχηλον αὐτοῦ κλοιόν, ὁμοίως καὶ εἰς τοὺς πόδας αὐτοῦ πρὸς ἀτιμίαν· οὐ γὰρ μικρῶς με ἐνύβρισεν". Βικτορῖνος δοὺξ εἶπεν· "Μὰ τὴν σὴν θειότητα, πάλαι ἀνενέγκαι ἠθέλησα ἐπὶ τὸν φόβον σου περὶ τοῦ ἀνθρώπου τούτου καὶ τοῦ ἔθνους τοῦ δυσσεβεστάτου τούτου, ὅτι παράνομα καὶ ἔξαλλα νόμιμα διδάσκουσι, καὶ πληθῦνον κόπους ἡμῖν παρέχει μὴ ὑπακοῦον ἡμῶν". Νουμεριανὸς εἶπεν τῷ δουκί· "Τέως τὸ κελευσθέν σοι ποίησον εἰς τὸν ἀπειθῆ καὶ κατὰ μικρὸν τὸ ἔθνος τοῦτο ἀναλίσκω". Ὁ δὲ δοὺξ περιέθηκε τῷ Βαβυλᾷ κλοιὸν εἰς τὸν τράχηλον καὶ εἰς τοὺς πόδας ὁμοίως, καὶ ἀφῆκεν αὐτὸν προϊέναι μετὰ φρουρᾶς, ἵνα ὑπὸ πάντων ὁρᾶται τῶν ὑπ' αὐτοῦ ποιμαινομένων. Ὁ δὲ Βαβυλᾶς εἶπεν· "Τῷ θεῷ

6 cod. διαγορεύη. 12 οὐκ ἔτι. 19 μισθὸς — οὐρανοῖς] cf. Matth. v, 12. Luc. vi, 23.

μου εὐχαριστῶ, τῷ εἰς τοσαύτην τιμὴν ἐνέγκαντί με διὰ τὴν αὐτοῦ ὁμολογίαν· τῷ γὰρ Χριστῷ μου πιστεύω, καὶ θαρρῶ ὅτι δίδωσί μοι ἰσχὺν καὶ ὑπομονὴν ἁπαντᾶν πρὸς τὰς μεθοδείας τοῦ πατρός σου τοῦ διαβόλου· σοὶ δὲ τῷ δουκὶ οὐκ εὐχαριστῶ, οὐδὲ τῷ βασιλεῖ σου".

6. Νουμεριανὸς εἶπεν· "Καλέσατε Βαβυλᾶν τὸν διδάσκαλον τῶν νηπίων καὶ ἀφρόνως κινούμενον". Καὶ πρὸς αὐτὸν ὁ Βαβυλᾶς εἶπεν· "Διδάσκαλος μέν εἰμι νηπίων ἐγὼ τῶν εἰς τινὰ μὲν νηπιαζόντων, εἰς τινὰ δὲ εὐφρόνως ἁπαντώντων τοῖς τὴν ἀλήθειαν θέλουσι διαστρέψαι· ἀφρόνων δὲ τῶν καθ' ὑμᾶς οὐκ εἰμὶ διδάσκαλος". Νουμεριανὸς εἶπεν· "Μὰ τοὺς θεούς, πρέπει σοι ὁ κλοιὸς καὶ τὰ περὶ τοὺς πόδας σου περικείμενα". Βαβυλᾶς εἶπεν· "Σὺ μὲν ἀφρόνως κινούμενος χλευάζεις, μὰ τὸν υἱὸν δὲ τοῦ θεοῦ τοσοῦτόν μοι πρέπει, ὅσον οὐδὲ σοὶ τὸ διάδημα, ὃ περίκειταί σου τῇ κεφαλῇ". Νουμεριανὸς εἶπεν· "Ἄθλιε, θῦσον τοῖς θεοῖς καὶ ἀπαλλάγηθι τῶν μενουσῶν σε βασάνων, καὶ μὴ ἀπατῷ τοῖς παιδίοις, οἷς διδάσκεις". Βαβυλᾶς εἶπεν· "Ἤδη σοι εἶπον, ὅτι νηπίων εἰμὶ διδάσκαλος· θέλεις δὲ γνῶναι τί ἐστιν ἀνατροφὴ νηπίων καὶ διδαχὴ ἡ εἰς θεόν; Ἔχω ὑπ' ἐμὲ τρία νήπια ἀνατρεφόμενα κατὰ θεόν. Κέλευσον αὐτὰ κληθῆναι καὶ ὁρᾷς τὴν ἔνστασιν αὐτῶν, ὁ δὲ θεός ἐστι μετ' αὐτῶν· τάχα γὰρ διὰ τῆς ἐμῆς πείρας οὐκ ἐπιστώθης, ἀλλὰ ὡς λήρῳ μοι καὶ φλυάρῳ προσέσχες".

7. Ἐκέλευσε δὲ ὁ Νουμεριανὸς τὰ νήπια τὰ ὑποβληθέντα ὑπὸ Βαβυλᾶ εἰσαχθῆναι, καὶ εἰσαχθέντα ἠρώτησεν αὐτά, εἰ ἔχουσι μητέρα· τὰ δὲ εἶπον· "Ναί, ὑπὲρ δὲ τὴν μητέρα τὸν θρέψαντα ἡμᾶς Βαβυλᾶν, τὸν κύριον ἡμῶν καὶ διδάσκαλον καὶ πατέρα". Ἐκέλευσεν δὲ ὁ Νουμεριανὸς καὶ τὴν μητέρα τῶν παιδίων εἰσαχθῆναι. Εἰσαχθείσης δὲ αὐτῆς, ἠρώτησεν αὐτήν· "Τίς λέγῃ"; Ἡ δὲ εἶπεν· "Θεοδούλη". Νουμεριανὸς εἶπεν· "Τέκνα σού εἰσι ταῦτα"; Ἡ δὲ εἶπεν· "Ἐγὼ μὲν ἐγέννησα αὐτά, θεῷ δὲ προσήνεγκα διὰ τοῦ ποιμένος μου τοῦ κυρίου μου Βαβυλᾶ, καὶ αὐτὸς ἐπαίδευσεν αὐτὰ θεοσέβειαν". Νουμεριανὸς εἶπεν· "Σκοτοτυφλή-

3 cod. μεθοδίας. 10 καθύμᾶς. 11 ματοὺς. 17 ἤδει. 25 ὑποβαβυλᾶ. 26 ὑπερδὲ. 28 Νουμεριανὸς sine accentu in codice. 30 εἰσὶ.

σατε αὐτὴν ἔμπροσθεν τῶν παιδίων αὐτῆς, λέγοντες αὐτῇ· Μὴ προπετῶς φθέγγου". Τὰ δὲ νήπια ἐθεώρουν τὴν μητέρα αὐτῶν δερομένην, ὑφ' ἓν δὲ τὰ τρία ἔκραξαν λέγοντα· "Τύραννε, μὴ δέρε ἡμῶν τὴν μητέρα· εἰκῇ εὐγενεστάτη γάρ ἐστι· ἀληθῶς γὰρ καλῶς εἶπεν, ὅτι αὕτη ἡμᾶς ἐγέννησεν, ὁ δὲ ἀναθρεψάμενος ἡμᾶς ὁ κύριος ἡμῶν ἐστι Βαβυλᾶς. Κἂν πάλιν χολέσῃς, κύριος ἡμῶν καὶ ποιμὴν καὶ διδάσκαλός ἐστι· θεοσέβειαν γὰρ αὐτὸς ἡμᾶς ἐδίδαξεν". Καὶ χολέσας ὁ βασιλεὺς ἐκέλευσε τὰ τρία παιδία ἐπαρθῆναι κατ' ὤμων καὶ τῷ πρώτῳ δοθῆναι δώδεκα πληγάς, τῷ δὲ δευτέρῳ ἐννέα, τῷ δὲ τρίτῳ ἑπτά· οἱ δὲ παῖδες ὡς ἐκ μιᾶς φωνῆς εἶπον· "Εὐλογητὸς εἶ ὁ θεός, ὅτι διὰ τὸν Χριστόν σου ταῦτα πάσχομεν". Νουμεριανὸς εἶπεν τῇ μητρὶ αὐτῶν· "Ὁ πρῶτός σου υἱὸς πόσων ἐτῶν ἐστιν"; Ἡ δὲ εἶπεν· "Δώδεκα". Νουμεριανὸς εἶπεν· "Ὁ δεύτερος πόσων"; Ἡ δὲ εἶπεν· "Ἐννέα". Νουμεριανὸς εἶπεν· "Ὁ τρίτος πόσων"; Ἡ δὲ εἶπεν· "Ἑπτά". Καὶ ἀναβοήσασα εἶπεν· "Εὐλογητὸς εἶ ὁ θεός, ὅτι διὰ τὸν Χριστόν σου ταῦτα πάσχομεν, ὅτι καὶ ἕκαστον τῶν τέκνων μου κατὰ τὴν ποσότητα τῶν ἐτῶν οὕτως ἐκέλευσε δαρῆναι διὰ σὲ τὸν στεφανοῦντα καὶ τελειοῦντα αὐτά".

8. Ὁ δὲ Νουμεριανὸς ἐκέλευσεν ἔξω βληθῆναι τὴν μητέρα αὐτῶν καὶ εἰσαχθῆναι τὸν Βαβυλᾶν. Καὶ εἶπεν ὁ βασιλεύς· "Διδάσκαλε ἀφρόνων καὶ παιδευτὰ νηπίων, ἣν ἐνόμιζες πεῖραν διδόναι μοι διὰ τῶν παιδίων εὑρέθη ψευδής· κληθέντα γὰρ τὰ παιδία ἐπηγγείλαντό μοι καὶ συγχατέθεντό μοι θύειν τοῖς θεοῖς". Βαβυλᾶς εἶπεν· "Καλῶς ἐψεύσω κατὰ τῆς ἑαυτοῦ σωτηρίας, καὶ οὐδὲν ἔξωθεν ποιεῖς· υἱὸς γὰρ εἶ τοῦ διαβόλου τοῦ λεγομένου Σατανᾶ, τοῦ ἀεὶ ψευδομένου, καὶ οὐ δύνασαι περιγενέσθαι τινός ποτε οὔτε σὺ οὔτε ὁ πατήρ σου, ἐὰν μὴ ψεύσησθε· καὶ γὰρ τὸν πρωτόπλαστον Ἀδὰμ ἐκ τοῦ παραδείσου ψευσάμενος ἐξέβαλε". Νουμεριανὸς εἶπεν· "Μὰ τὸν Ἀσκληπιόν, καταπτύω σου τῶν λόγων καὶ τῶν ὕβρεων, καὶ βασανίσας σε κατὰ μικρὸν ἀναλίσκω· καὶ ἐὰν μὴ πεισθῇς, τὴν κεφαλήν σου ποιῶ ἀποτμηθῆναι". Βαβυλᾶς εἶπεν γελάσας· "Ἀληθῶς καταγέλωτος ἄξιος εἶ τοιαῦτα

3 cod. ὑφὲν. 8 ἐδίδαξεν sine accentu. 27 περιγενέσθαί τινος. 30 ματὸν.

φθεγγόμενος· ἐγὼ γὰρ ἕτοιμός εἰμι πάντα ὑπομένειν διὰ τὸν Χριστόν, δι' ὃν τῶν πάντων κατεφρόνησα, ἵνα Χριστὸν κερδήσω· δικαίων γὰρ ψυχαὶ ἐν χειρὶ θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ, ὅτι ὁ θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν ἀξίους ἑαυτοῦ". Νουμεριανὸς εἶπεν· "Δῆρε, ἐν τίνι ἐσμὲν καταγέλωτος ἄξιοι"; Βαβυλᾶς εἶπεν· "'Εὰν ἀκούσωσιν οἱ λοιποὶ θεοί σου, ὅτι τὸν 'Ασκληπιὸν μόνον ὤμοσας, χολέσαι σοι ἔχουσι, μάλιστα ἡ 'Υγεία· ἀληθῶς γὰρ ἐγὼ αἰσχύνομαι ἐπὶ τῇ ἀφροσύνῃ ὑμῶν, ὅτι οὐ νοεῖτε τὸ συμφέρον ὑμῖν, ἀλλὰ προσκυνεῖτε οἷς οὐδὲ οἱ παῖδες προσεκύνησαν". Νουμεριανὸς εἶπεν· "'Εὰν ἀκούσῃ ὁ Χριστός σου καὶ ἀγανακτήσῃ ὅτι τὸν θεὸν ὤμοσας, τί ποιεῖς"; Βαβυλᾶς εἶπεν· "Οὐκ εἶ μὲν ἄξιος ἀκοῦσαι τὴν γνῶσιν τῶν χριστιανῶν, πλὴν διὰ τοὺς ἑστῶτας ὄχλους λέγω, ἵνα μὴ τῇ σῇ ἀπιστίᾳ καὶ αὐτοὶ τῆς γνώσεως στερηθῶσιν. "Οταν οἱ χριστιανοὶ τὸν Χριστὸν ὀνομάζωσιν, ὁμολογοῦσι καὶ τὸν πατέρα, ὁμολογοῦσι καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα· οὐ κεχώρισται γὰρ ὁ πατὴρ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος, οὐδὲ ὁ υἱὸς τοῦ πατρὸς καὶ τοῦ πνευματος· οὔτε ἔστι σύγκρισις τοῦ θεοῦ μετὰ τῶν δαιμόνων, οἷς προσκυνεῖς, καθὼς γέγραπται: Τίς κοινωνία φωτὶ πρὸς σκότος";

9. Τὰ δὲ παιδία ἦν κρεμάμενα ἐπὶ τοσαύταις ὥραις, μετὰ Βαβυλᾶ συναινοῦντα αὐτῷ. Ὁ δὲ μάρτυς ἔλεγεν· "'Ιδοὺ ἐγὼ καὶ τὰ παιδία, ἃ μοι ἔδωκεν ὁ θεός". Νουμεριανὸς δὲ ἐκέλευσε βασανίζεσθαι αὐτὸν περικείμενον τὰ δεσμά, ὡς ἐκ τοῦ βάρους τῶν ἁλύσεων πληγῆναι τὸν μακάριον· οἱ δὲ ἑστῶτες, ὄντες αὐτοῦ ἐν γνώσει, ἔλεγον αὐτῷ ὑπερπάσχοντες αὐτοῦ· "'Ομολόγησον θῦσαι καὶ ἀπαλλάγηθι βασάνων". Βαβυλᾶς εἶπεν· "Οὐ τοσοῦτον πενθῶ τοῦτον τὸν ἄφρονα τὸν προκαθεζόμενον, ὅσον ὑμᾶς τοὺς τούτῳ πεισθέντας καὶ ἀπολέσαντας τὴν ἑαυτῶν ζωήν· πλὴν τούτου οὐκ ἀνέχομαι καὶ ὑμῶν ἀνέξομαι; 'Εμοὶ αἱ βάσανοι αὗται ζωή εἰσιν· ἐπικουφίζει γάρ με ὁ κύριος, δι' ὃν καὶ ἀγωνίζομαι καὶ στεφα-

3/6 δικαίων — ἐν εἰρήνῃ] Sap. III, 1—3. 5 ἔξωδος. 14 εἶμεν. 16 ὅτ' ἂν || ὀνομάζωσιν sine accentu. 19 οὔτέ ἐστι. 21 Cor. 2, VI, 14. 22 ἐπιτοσαύταις. 23 'Ιδοὺ-θεός] Esai VIII, 18 || σὺν αἰνοῦντα. 31 οὐκανέχομαι.

νοῦμαι καὶ τελειοῦμαι· ὅθεν οὐκ αἰσθάνομαι, εἰ καὶ πλείονας βασάνους κατ' ἐμοῦ κινήσεις". Ἔτι δὲ ἐκέλευσεν αὐτὸν βασανίζεσθαι, τὰ δὲ παιδία κρεμάμενα ἔκραξαν· "Τύραννε καὶ ἀσεβέστατε, τί ἡμῶν τὸν κύριον καὶ καλὸν ποιμένα οὕτω βασανίζεις ὠμῶς καὶ ἀναιτίως; ὅτι τὸν πάντων δεσπότην εὐσεβεῖ; ἀλλὰ τοῦτο ποιῶν τιμῆς ἄξιός ἐστιν, οὐ βασάνων. Μὰ τὴν αὐτοῦ δὲ σωτηρίαν, ἥτις ἐστὶν ὁ Χριστός, οὐκ ἐκφεύξῃ τὰς χεῖρας τοῦ θεοῦ, ἀλλὰ πυρὶ γεέννης ἔχεις παραδοθῆναι". Καὶ χολέσας ἐκέλευσε καὶ ταῦτα βασανίζεσθαι, τὰ δὲ παιδία ὡς ἐκ μιᾶς φωνῆς εἶπον· "Οὐκ αἰσχύνῃ, δυσσεβέστατε, νικώμενος ὑπὸ παιδίων ἐπὶ τοῦ ὄχλου τούτου; σὺ γὰρ μᾶλλον βασανίζῃ, ἡμεῖς δέ, μὰ τὸν δυνάμενον διὰ τάχους ἀμείψασθαί σε, οὐκ αἰσθανόμεθα τῶν βασάνων".

10. Καὶ ἐκέλευσε τὸν Βαβυλᾶν κατενεχθέντα κρυβῆναι εἰς κελλίον, ἵνα κατ' ἰδίαν ἐξετάσῃ τὰ παιδία, καὶ ἤρξατο λέγειν τοῖς παιδίοις· "Τέκνα, πείσθητί μοι καὶ πολλὰ ἀγαθὰ ὑμῖν χαρίσομαι. ἃ οὐ δύναται ὁ διδάσκαλος ὑμῶν χαρίσασθαι ὑμῖν". Οἱ δὲ ὡς ἀπὸ μιᾶς φωνῆς εἶπον· "Πανοῦργε καὶ δόλιε, μὴ ἡμῖν ἐπινόει θάνατον· πάντα γὰρ τὰ χαρίσματά σου γεέννης εἰσὶ μεστά. Ἀφ' οὗ γὰρ ἔδωκεν ἡμῖν ὁ διδάσκαλος ἡμῶν τὴν σφραγῖδα, τέλειοι ἐγενόμεθα καὶ ἀπερρίψαμεν τὰς φρένας τῆς νέας ἡλικίας, καὶ στερεᾶς τροφῆς μεταλαβόντες ἕτοιμοί ἐσμεν ἀποθνήσκειν διὰ τὸν θεόν, ἢ παροργίζειν τὸν δοῦλον τοῦ θεοῦ Βαβυλᾶν, τὸν κύριον ἡμῶν· ἐνόμισας δὲ διὰ τοῦ μεταστῆναι ἡμῶν τὸν ποιμένα περιγενέσθαι ἡμῶν. Μὰ τὸν υἱὸν τοῦ θεοῦ, τὸν δυνάμενον τῷ ποιμένι ἡμῶν βοηθῆσαι ὅπου ἐὰν εἴη καὶ ἡμᾶς ἀπαλλάξαι τῶν βεβήλων χειρῶν σου καὶ τὸν καιρὸν τοῦτον ἐναλλάξαι διὰ τάχους, οὐ μὴ ἀρνησόμεθα τὸν θεόν, οὐδὲ καταισχύνομεν ἡμῶν τὸν ποιμένα, τὸν κύριον ἡμῶν Βαβυλᾶν, εὐχόμενον ὑπὲρ τῆς ποίμνης αὐτοῦ μή τινα ἀπολέσθαι". Πάντα δὲ ταῦτα ἤκουσεν ὁ τρισμακάριος Βαβυλᾶς ἐν τῷ κελλίῳ.

11. Νουμεριανὸς εἶπεν· "Εἰσαχθήτω Βαβυλᾶς". Καὶ εἰσήχθη Βαβυλᾶς καὶ εἶπεν αὐτῷ· "Ταῦτα παιδία σού εἰσιν"; Ὁ δὲ εἶπεν·

2 cod. κατεμοῦ. 5 τὸν] τῶν. 6 ματήν. 7 ἥτις ἐστιν || οὐκεκφεύξῃ. 11 ματὸν. 14 κατὶδίαν. 17 μηήμῖν. 21 ἀπὸ θνήσκειν. 23 μετὰ στῆναι. 23/24 περὶ γενέσθαι. 24 ματὸν. 26 διατάχους.

"Τέκνα μου ἀληθῶς κατὰ θεόν εἰσι, γυναῖκα γὰρ διὰ τὸν θεόν μου οὐ γινώσκω ἀφ' οὗ ἐγεννήθην". Νουμεριανὸς εἶπεν· "Πῶς οὖν ἐοίκασί σοι ἐν πᾶσι"; Βαβυλᾶς εἶπεν· "Δι' εὐχῆς ἔχω ἵνα ἐν πᾶσιν ἐοίκασί μοι, παρεκτὸς τῶν ἁμαρτιῶν μου". Νουμεριανὸς εἶπεν· "Ἐγὼ εἶπόν σοι ἀπαλλαγῆναι καὶ βασάνων καὶ τῆς τιμωρίας, ἧς μέλλεις λαμβάνειν, καὶ οὐκ ἐπείσθης· καλῶς σε καὶ ἀπολογοῦμαί σοι περὶ τῶν πρώτων βασάνων, μόνον τὰς νῦν βασάνους κέρδησον· πεῖσον δὲ καὶ τὰ παιδία, ἵνα μὴ νήπιοι ὄντες διὰ τάχους τὸ τέλος τοῦ βίου δέξωνται". Βαβυλᾶς θυμωθεὶς εἶπεν· "Ἀφρονέστατε πάντων ἀνθρώπων καὶ ἀσεβέστατε τύραννε, εἰς ἡμᾶς ἠσχολήθης, ἐάσας τὸ μεριμνᾶν περὶ πολέμων, ἢ τὸ πῶς ἀπαντῆσαι δέει πρὸς ἀλλοφύλους; Πιστεύω δὲ τῷ πατρὶ τοῦ κυρίου ἡμῶν, ὅτι ὥσπερ ἠττήθης ὑφ' ἡμῶν, οὕτω καὶ ὑπὸ τῶν ἐναντίων ἡττηθῇς· τὰς δὲ ὑποσχέσεις σου δὸς τοῖς ὁμοίοις σου, τοῖς ἀνεχομένοις σου, καὶ τὴν ὑπόνοιάν σου ἔχε· οὐ γὰρ τοσαῦτα δύνασαι χαρίσασθαι, ὅσων ἐσπούδασας στερῆσαι ἡμᾶς".

12. Χολέσας οὖν ὁ βασιλεὺς ἔδωκεν αὐτῷ τὴν ἀπόφασιν καὶ τοῖς τρισὶ παισίν, ἵνα αἱ κεφαλαὶ αὐτῶν ἐκτμηθῶσιν. Λαβὼν δὲ ὁ Βαβυλᾶς τὴν ἀπόφασιν μετὰ τῶν τριῶν παίδων, ὥρκωσε τοὺς ἑστῶτας λέγων· "Τὸν θεὸν ὑμῖν τὸν ἐπόπτην τῶν ἁπάντων μετὰ τῶν ἐν τοῖς ποσί μου καὶ τῶν ἐν τῷ τραχήλῳ θέτε με δεσμῶν εἰς μαρτύριον τοῦ τυράννου τούτου, τοῦ ἔχοντος αἰωνίως κολάζεσθαι καὶ ἐν πυρὶ ἀτελευτήτῳ εἶναι, τῷ αἰωνίως κολάζοντι τοὺς ἀπειθήσαντας τῷ Χριστῷ, τῷ υἱῷ τοῦ θεοῦ, καὶ προστεθέντας τοῖς δαίμοσι τοῖς ἀκαθάρτοις, τουτέστι τοῖς εἰδώλοις τοῖς κατασκευασθεῖσιν ὑπὸ τῶν ἀνθρώπων, οἳ μείζους εἰσὶν αὐτοὶ τῶν θεῶν αὐτῶν· αὐτοὶ γὰρ ἔζησαν, τὰ δὲ ὑπ' αὐτῶν γινόμενα οὐδέποτε· ἀρχὴ γὰρ ὑπερηφανίας ἐπίνοια εἰδώλων, εὕρεσις δὲ αὐτῶν φθορὰ ζωῆς· οὔτε γὰρ ἦν ἀπ' ἀρχῆς οὔτε εἰς τὸν αἰῶνα ἔσται". Καὶ ἐξερχόμενος τὴν πόλιν ὁ ἅγιος Βαβυλᾶς ἔψαλλεν οὕτως· "Ἔσωσας ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς, καὶ τοὺς μισοῦντας ἡμᾶς κατήσχυνας·

1 cod. εἰσὶ ‖ διατὸν. 2 αφοῦ. 5 βασάνων sine accentu. 9 διατάχους. 11 περιπολέμων. 15 ἀνεχομ. σοι. 16 ὅσον. 23 κολάζοντα. 28 φθορᾶ. 29 ἀπαρχῆς. 30/31 Ἔσωσας — κατήσχυνας] Psalm. XLIII, 8. 31 κατ' ἤσχυνας.

διό σε τὸν θεὸν αἰνέσομεν πάσας τὰς ἡμέρας καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος". Καὶ ὑπέψαλλον αὐτῷ τὰ παιδία, ἅμα δὲ καὶ ἔλεγον· "Εὔξαι ὑπὲρ ἡμῶν, πάτερ, ὅτι οὐκ ἐγκατελείψαμέν σε· ἐσόφισας γὰρ ἡμᾶς γνῶναι τὸν Χριστόν, τὸν ποιήσαντα τὰ πάντα, μᾶλλον δὲ γνωσθῆναι ὑπ' αὐτοῦ". Καὶ ὁ ἅγιος μάρτυς Βαβυλᾶς τὸν ἐξελθόντα ἀποκεφαλίσαι αὐτοὺς ἠξίωσε πρὸ αὐτοῦ τὰ ἅγια παιδία καὶ οὕτω κρουσθῆναι αὐτόν, καὶ κρατήσας αὐτὰ ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων εἶπεν· "Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἃ μοι ἔδωκεν ὁ θεός". Τὰ δὲ παιδία εἶπον τῷ ἁγίῳ Βαβυλᾷ· "Κύριε πάτερ ἡμῶν καὶ διδάσκαλε, σὺν σοὶ τελειωθῶμεν· ἐξ ἀρχῆς γὰρ ὑπὸ σοῦ ἐπαιδεύθημεν καὶ τὸ τέλος μετὰ σοῦ ἔξομεν μετὰ τῆς ὁμολογίας, ἧς ὡμολόγησας ἐνώπιον βασιλέων καὶ ἀρχόντων καὶ ἐξουσιῶν". Καὶ τελειωθέντων αὐτῶν, ἰδὼν ὁ μάρτυς τὴν πίστιν τῶν παιδίων καὶ τὴν παρρησίαν τὴν ἐκ θεοῦ καὶ οὐ παρὰ ἀνθρώπων, ἐχάρη ἐπὶ τῇ τοσαύτῃ ἐνστάσει αὐτῶν καὶ τελειότητι, καὶ εἶπεν· "Εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν ὄντως χριστιανῶν, ὁ τελειώσας ταῦτα τὰ παιδία δι' ἐμοῦ τοῦ δούλου σου, μᾶλλον δὲ διὰ τοῦ ἁγίου ὀνόματός σου· ὄντως γὰρ ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον". Καὶ οὕτω καὶ αὐτοῦ ἐτμήθη ἡ κεφαλὴ καὶ ἐτέθη μετὰ τῶν πεδῶν καὶ τοῦ κλοιοῦ εἰς δόξαν πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1 cod. αἰνέσωμεν. 3 οὐκεγκατελ. 8 ἐξευωνύμων. 10 ἐξαρχῆς. 12 ὁμολόγησας. 18 ἐκ στόματος - αἶνον] Psalm. VIII, 3.

V.

Μηνὶ Φεβρουαρίῳ ιγ'.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΜΑΡΤΙΝΙΑΝΟΥ.

1. Ἔγγιστα τῆς πόλεως Καισαρείας τῆς Παλαιστίνης ὄρος ἐστὶν καλούμενον Τόπος Κιβωτοῦ. Ἐν τούτῳ τῷ ὄρει ἔρημός ἐστι παρακειμένη, ἐν ᾗ οἰκοῦσιν ἄνδρες πολλοὶ ἀσκητικὸν βίον διάγοντες· ἐν οἷς ἔγνων καὶ τὸν μακάριον καὶ ἐνάρετον Μαρτινιανὸν οἰκοῦντα ἐν τῷ ὄρει τούτῳ. Οὗτος τοίνυν ὁ μακάριος ἐκ νέας ἡλικίας καὶ ἐκ νηπιόθεν ἀγαπήσας τὸν θεὸν πολλοὺς ἀγῶνας κατὰ τοῦ ἐχθροῦ ἐνεδείξατο. Ὅθεν ὡραιότητι σώματος διαπρέπων καὶ νέαν ἄγων τὴν ἡλικίαν, ὡς ἐτῶν δέκα καὶ ὀκτὼ καταλιπὼν τὴν πόλιν καὶ τοὺς ἐν αὐτῇ οἰκοῦντας καὶ τοὺς θορύβους αὐτῶν, ἐπὶ τὸν ἡσύχιον καὶ μονήρη βίον ἑαυτὸν ἐπιδούς, καταλαμβάνει τὴν ἔρημον ταύτην καὶ ᾤκησεν ἐν αὐτῇ εἴκοσι καὶ πέντε ἔτη εὐαγγελικὸν βίον ἐπὶ γῆς ἐπιδεικνύμενος. Ὅθεν καὶ χαρίσματα ἰαμάτων ἠξιώθη ὑπὸ τοῦ θεοῦ λαβεῖν, καὶ πολλοὺς διὰ τῶν ὁσίων αὐτοῦ εὐχῶν ὁ κύριος ἰάσατο. Πολλοὶ γὰρ δαιμονιῶντες πρὸς αὐτὸν φοιτήσαντες ἐν τῷ ὄρει, τῆς ἐπηρείας τῶν δαιμόνων ἐλεύθεροι γεγόνασι, πολλοὶ δὲ καὶ πυρετοῖς συνεχόμενοι καὶ ὑπὸ

Codex Mosquensis $\frac{161}{\text{CLXII}}$, s. XI, fol. 248—307. Excripsit Ioachimius diaconus, socius ordinis Hierosolymitani S. Sepulcri.

18 cod. ἐπειρίας.

τούτου τοῦ ἀνδρὸς εὐλογηθέντες ἰάσεως ἔτυχον. Καὶ πολλὰ ἕτερα πάθη διὰ τῶν τούτου εὐχῶν ἰάσατο ὁ κύριος· ἡμέραν δὲ καὶ ἡμέραν προέκοπτεν ἐν τῇ παναρίστῃ αὐτοῦ ἀσκήσει ὁ μακάριος οὗτος Μαρτινιανός, καὶ πανταχοῦ διέτρεχεν ἡ ἀγαθὴ καὶ καλλίστη φήμη τοῦ ὁσίου τούτου ἀνδρός, καὶ πάντες ἀκούοντες ἤρχοντο πρὸς αὐτὸν ἐν τῷ ὄρει ὠφεληθῆναι ὑπ' αὐτοῦ. Ἀλλ' ὁ μισόκαλος ἐχθρὸς τοῦ γένους τῶν ἀνθρώπων καὶ μισάνθρωπος διάβολος οὐκ ἤνεγκεν ὁρῶν ἐν νεωτέρῳ σώματι πεπολιωμένην ἀρετὴν ἐπιδεικνυμένην, καὶ πρῶτον μὲν ἤρξατο πειρασμοὺς διαφόρους ἐγείρειν αὐτῷ καὶ διὰ πολυπλόκων φαντασιῶν ἐδόκει ἐκφοβεῖν τὸν ἄνδρα· ἔπειτα ⟨δὲ⟩ καὶ διὰ τοῦ ἀρχαίου αὐτοῦ ὅπλου, δι' οὗ τὸν Ἀδὰμ ἔκβλητον τοῦ Παραδείσου ἐποίησεν, ἐμηχανεύσατο καὶ τοῦτον ἐκρίπτειν τῆς ἀγαθῆς προθέσεως.

2. Μιᾷ οὖν τῶν ἡμερῶν ψάλλοντος τοῦ μακαρίου Μαρτινιανοῦ, μεταβαλὼν ἑαυτὸν ὁ ἐχθρὸς εἰς δράκοντα μέγιστον, καὶ ὑπεισελθὼν ὑποκάτω τοῦ κελλίου αὐτοῦ, μέρος τι τοῦ θεμελίου ἐν σπουδῇ ἤρξατο ὑπορύσσειν, ὡς βουλόμενος καταστρέψαι τὸ κελλίον αὐτοῦ. Ὁ δὲ μακάριος Μαρτινιανὸς ἀθορυβήτως πληρώσας τὸν ψαλμὸν καὶ παρακύψας διὰ τῆς θυρίδος λέγει· "Ἀληθῶς πρέπει σοι οὕτως ἕρπειν ἐπὶ τῆς γῆς. Τί ματαίως κάμνεις, ἀνίσχυρε καὶ ταλαίπωρε; ἐμὲ γὰρ αἱ φαντασίαι σου οὐ πτοοῦσιν, ὅτι ἔχω Ἰησοῦν Χριστὸν τὸν βοηθοῦντά μοι καὶ νικῶντά σου τὰς φαντασίας καὶ καταπατοῦντά σου τὰς δυνάμεις". Ὁ δὲ διάβολος ταῦτα ἀκούσας, μεταβαλὼν ἑαυτὸν εἰς νεανίσκον, φεύγων ἔλεγε· "Μεῖνόν με, Μαρτινιανέ, μεῖνόν με, καὶ ἐν ταύταις σε ταῖς ἐπινοίαις ταχέως καταβαλῶ· εὗρον γὰρ τέχνην, δι' ἧς αἰχμάλωτόν σε ποιήσω τῆς ἐλπίδος σου ταύτης. Ἐὰν γὰρ μή σε ταπεινώσω, οὐκ ἀφίσταμαί σου· ἐν ταύταις γὰρ ταῖς ἡμέραις ἐπιφέρω σοι ὀργήν, ἣν οὐ δυνήσῃ ἐνέγκαι, καὶ ἐξάζω σε ἐκ τοῦ κελλίου σου ὥσπερ φύλλον ὑπὸ ἀνέμου". Καὶ ταῦτα εἰπὼν ἄφαντος ἐγένετο ἀπ' αὐτοῦ ὁ διάβολος· ὁ δὲ μακάριος οὕτως ἦν διάγων, ὡς μήτε ἰδὼν φαντασίαν, ἀλλὰ μὴν εὐφραινόμενος ἐν τῇ τῶν Γραφῶν μελέτῃ.

3. Μιᾷ δὲ τῶν ἡμερῶν περιπατούντων τινῶν ἐν τῇ πόλει Καισαρείας καὶ διαλεγομένων περὶ τῆς τοῦ μεγάλου πολιτείας,

11 δὲ inserui.

καὶ θαυμαζόντων ἐπὶ πλεῖον τὴν τούτου καρτερίαν, γυνή τις παριοῦσα ἐπηκροάσατο τὰ τούτων ῥήματα καὶ ὑποβληθεῖσα ὑπὸ τοῦ Σατανᾶ λέγει πρὸς αὐτούς· "Τίς ἐστιν οὗτος, ὃν θαυμάζετε; ἢ τί τὰ τούτου κατορθώματα; ἢ ποίαν οὗτος κέκτηται πολιτείαν; ὅν, ἐὰν θέλω, ὥσπερ φύλλον ἀπὸ δένδρου καταφέρω αὐτόν· τί γὰρ αὐτοῦ ἐστι τὸ ἐπιτήδευμα; Καθεῖρξεν ἑαυτὸν ὥσπερ θηρίον ἐν τῇ ἐρήμῳ, μὴ δυνάμενος φέρειν τὰς τῆς σαρκὸς ἐπιθυμίας καὶ τὰ σκάνδαλα, καὶ μὴ βλέπων γυναῖκα οὔτε ἐπιθυμίαν κέκτηται. Πότε οἴδατε, ὅτι μὴ παρόντος πυρὸς καίεται χόρτος; ἀλλ' ἐὰν πυρὸς προκειμένου ἄφλεκτος μείνῃ ὁ χόρτος, τοῦτο θαυμαστόν. Οὕτως καὶ ἐπ' ἐκείνου, ἐὰν ἀπελθούσης μου πρὸς αὐτὸν καὶ θεασάμενός με μὴ σαλευθῇ τῆς προθέσεως καὶ μὴ σκανδαλισθῇ εἰς ἐμέ, μηδὲ κινηθῇ αὐτοῦ ὁ λογισμὸς εἰς τὸ κάλλος τῆς ἐμῆς εὐμορφίας, τότε οὗτος θαυμαστὸς οὐ μόνον παρὰ ἀνθρώποις, ἀλλὰ καὶ παρὰ θεῷ καὶ ἀγγέλοις". Καὶ ταῦτα εἰποῦσα καὶ συνθήκας ποιησαμένη πρὸς τοὺς ἄνδρας περὶ τῆς τοῦ μακαρίου γενναιότητος, ἐπορεύθη εἰς τὸν ἴδιον αὐτῆς οἶκον, καὶ ἀποδυσαμένη τὸν κόσμον τοῦ ἀμφιεσμοῦ αὐτῆς περιβάλλεται ῥακώδη· καὶ ῥάκος περιεδήσατο ἐπὶ τὴν κεφαλὴν αὐτῆς, καὶ σχοινίον περιεζώσατο, καὶ λαβοῦσα πήραν χρυσοποίκιλτον, χρυσόψελλα, δακτυλίους καὶ εἴ τι ἕτερον ἐπιτήδευμα ὑπάρχει γυναικῶν πρὸς ἀπάτην τῶν νέων, καὶ λαβοῦσα τὴν πήραν βραδείᾳ ὥρᾳ, ἀνέμου καὶ ὄμβρου ἐπικειμένου, ἀνέβη ἐπὶ τὸ ὄρος, ἔνθα ὑπῆρχεν ὁ μακάριος οὗτος Μαρτινιανός· καὶ γενομένη πλησίον τῆς τούτου κέλλης ἤρξατο ἐλεεινῇ τῇ φωνῇ παρακαλεῖν τὸν ὅσιον ἄνδρα λέγουσα· "Ἐλέησόν με, δοῦλε τοῦ θεοῦ, καὶ μὴ ἐάσῃς με ὑπὸ θηρίων ἀναλωθῆναι, ὅτι πεπλάνημαι τὴν ὁδὸν καὶ ἐνέπεσα εἰς τὴν ἔρημον ταύτην, καὶ ποῦ πορεύσομαι οὐκ οἶδα. Μὴ παρίδῃς τὴν ἐν τοιαύτῃ ἀνάγκῃ ὑπάρχουσαν, μηδὲ βδελύξῃ με τὴν ἁμαρτωλόν, ὅτι κἀγὼ πλάσμα θεοῦ ὑπάρχω. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με τὴν ταπεινήν, δέομαί σου, καὶ μὴ ἐάσῃς με ἀπολέσθαι, παρακαλῶ τὴν σὴν ἁγιωσύνην, μηδὲ ἀποποιήσῃ με τὴν πεπλανημένην, δέομαί σου κύριέ μου".

4. Ταῦτα αὐτῆς λεγούσης καὶ πλείονα τούτων ἀποδυρομένης, ἀνοίξας ὁ μακάριος τὴν θυρίδα καὶ παρακύψας, καὶ ἰδὼν αὐτὴν

18 cod. ῥακκώδη, καὶ ῥάκκος. 20 χρυσοποίκιλτον] χρυσορήτικλον. 32 με] μα

ἐν τοιούτῳ σχήματι ὑπάρχουσαν λέγει ἐν αὐτῷ· "Οὐαί μοι τῷ ἁμαρτωλῷ, ὅτι δοκιμασία καρδίας πάρεστίν μοι καὶ ἡ τῆς ἐντολῆς ἔχω ἐκπεσεῖν, ἢ τῆς προθέσεως. Γυνή ἐστιν ἐν ἀνάγκῃ ὑπάρχουσα. Ἐὰν οὖν αὐτὴν ὑπερίδω καὶ μὴ εἰσενέγκω αὐτὴν ἐν τῷ κελλίῳ, βιβρώσκεται ὑπὸ θηρίων καὶ κηλιδώνει μου τὴν ψυχήν· ἐὰν δὲ πειρασμός ἐστιν καὶ εἰσέλθῃ ἐνταῦθα, μὴ ἐκρίπτῃ με τῆς ἐντολῆς; καὶ τί ποιήσω οὐκ οἶδα". Καὶ ἀνατείνας τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν εἶπεν· "Ἐπὶ σοί, κύριε, ἤλπισα· μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα, μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου, μηδὲ ἐάσῃς με κυριευθῆναι ὑπὸ τοῦ πονηροῦ, ἀλλὰ κατὰ τὸ θέλημά σου σῶσόν με ἐν τῇ ὥρᾳ ταύτῃ, καὶ σκέπασόν με ὑπὸ τὴν κραταιάν σου χεῖρα, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας. Ἀμήν". Καὶ ταῦτα εἰπὼν ἤνοιξε τὴν θύραν καὶ εἰσήγαγεν αὐτήν, καὶ ἅψας πυρὰν λέγει αὐτῇ· "Γύναι, θερμαίνου καὶ πρόσσχες σεαυτῇ, ὅτι οὐκ ἔστιν ὁ περιποιούμενος ἐνταῦθα". Καὶ ἐνέγκας φοίνικας, ἐξ ὧν εἶχε τὴν παραμυθίαν (ἵσταντο γὰρ δύο φοίνικες ἔξωθεν τοῦ κελλίου), παρέθηκεν αὐτῇ καὶ λέγει· "Φάγε καὶ μεῖνον ἐνθάδε". Καὶ ἐάσας αὐτὴν εἰσῆλθεν εἰς τὸ ἐσώτερον κελλίον καὶ ἀπέκλεισεν τὴν θύραν, καὶ ψάλλας τὴν πρώτην ὥραν τῆς νυκτὸς καὶ εὐξάμενος ἐκοιμήθη ἐπὶ τοῦ ἐδάφους, ὡς ἦν αὐτῷ εἰωθός.

5. Τῇ δὲ νυκτὶ ἐκείνῃ εἰσελθὼν ὁ Σατανᾶς ἐτάραξεν αὐτὸν εἰς τὴν πύρωσιν τῆς σαρκός, καὶ ἀναστὰς ἔωθεν ἐξῆλθεν ἐκ τοῦ κελλίου, ὅπως τὸ γύναιον ἐκβάλῃ καὶ προπέμψῃ· ἐκείνη δὲ ἀναστᾶσα περὶ τὸ μεσονύκτιον ἐκόσμησεν ἑαυτὴν καὶ ἡτοιμάσατο πρὸς τὴν ἀπάτην τοῦ ἀνδρός. Ὁ δὲ ἰδὼν αὐτὴν καὶ ἐννεὸς γενόμενος λέγει πρὸς αὐτήν· "Τίς εἶ καὶ πόθεν, καὶ τί ἐστιν τὸ σχῆμα τὸ διαβολικὸν τοῦτο, καὶ εἰς τί παρεγένου καὶ τίνος ἕνεκεν παρηλλαγμένα τὰ σχήματά σου ὁρῶ, ἀπάγγειλόν μοι". Ἡ δὲ ἀποκριθεῖσα λέγει αὐτῷ· "Ἐγώ, κύριέ μου, ἀπὸ Καισαρείας τῆς Παλαιστίνης εἰμί, καὶ ἀκούσασα περὶ τῆς νεότητός σου, ὅτι τοιοῦτον κάλλος κέκτησαι καὶ τοιαύτης εὐμορφίας δεσπότης ὑπάρχεις, πάνυ ἐφλέχθη μου ἡ καρδία ἐπὶ τῷ σῷ κάλλει, καὶ ἕνεκεν τοῦ θεάσασθαί σε παρεγενόμην καὶ τοῦ κάλλους σου ἐμπλησθῆναι. Τίς οὖν ἐστιν, κύριέ

5 cod. κιληδώνει. 8 cf. Psalm. xxx, 1. xxiv, 2. 14 πρόσχες. 23 ἐκβάλλῃ. 24 ἐκόσμισεν.

μου, ἡ ἄκαιρος αὕτη νηστεία, καὶ εἰς τί ἕνεκεν τὰς τοιαύτας ὑμῶν ἡλικίας καταμαραίνεις ἐν τῇ ἀκαίρῳ ἐγκρατείᾳ; Ποία γραφὴ λέγει μὴ φαγεῖν μηδὲ πιεῖν, μηδὲ γάμῳ νομίμῳ συζευχθῆναι; Οὐκ εἶπεν Παῦλος ὁ ἀπόστολος, ὅτι τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος; Τίς τῶν προφητῶν καὶ πατριαρχῶν οὐκ ἐζεύχθη γυναικὶ καὶ κληρονόμος τῆς βασιλείας τῶν οὐρανῶν ἀνεδείχθη; Οὐχὶ Ἐνὼχ ὁ μέγας καὶ θαυμαστὸς γάμῳ συζευχθεὶς εἰς οὐρανοὺς ἀνεκομίσθη; καὶ Ἀβραὰμ ὁ ἅγιος οὐκ ἔσχεν τρεῖς γυναῖκας καὶ φίλος τοῦ θεοῦ ἐκλήθη, καὶ αὐτὸν τὸν θεὸν ἐν τῇ σκηνῇ ἐθεάσατο καὶ ὑπεδέξατο; Ἰακὼβ δὲ οὐκ ἔσχε δύο γυναῖκας καὶ μετὰ ἀγγέλων ἴσχυσε παλαίων, καὶ τὸν θεὸν πρὸς πρόσωπον ἐθεάσατο, καὶ βασιλείας οὐρανῶν κατηξιώθη; Μωσῆς δὲ ὁ μέγας καὶ κορυφαῖος τῶν προφητῶν, ὁ θεράπων τοῦ θεοῦ, οὐχὶ δύο ἔσχεν γυναῖκας καὶ μετὰ τοῦ θεοῦ ἐλάλει, καὶ τὸ γένος τῶν Ἑβραίων ἐκ πικρᾶς δουλείας ἀνεκαλέσατο καὶ βασιλείας οὐρανῶν ἔτυχεν; Ὁμοίως δὲ καὶ Δαυίδ· τὰ δὲ περὶ Σολομῶντος οὔτε εἰπεῖν ἐστιν καὶ τῶν λοιπῶν ἁγίων ἀνδρῶν τῶν γάμῳ συζευχθέντων καὶ τεκνογονησάντων καὶ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν αὐλιζομένων". Ταῦτα δὲ λέγουσα ἡ γυνὴ καὶ ἐκμοχλεύουσα τὸν ἄνδρα, καὶ τὰς χεῖρας διαψηλαφῶσα, ἐχαύνωσεν αὐτὸν ἐκ τοῦ λογισμοῦ αὐτοῦ τοῦ ἀγαθοῦ, καὶ ἤρξατο καταφέρειν αὐτὸν εἰς τὸ βάραθρον τῆς ἀπωλείας.

6. Καὶ ἀποκριθεὶς λέγει αὐτῇ· "Εἶτα, ἐὰν λάβω σε γυναῖκα, ποῦ πορευσόμεθα, ἢ πόθεν σε ἔχω διαθρέψαι μηδὲν κεκτημένος; ἐγὼ γὰρ ἀκτήμονα βίον ἔζησα ἕως τοῦ νῦν πάσας τὰς ἡμέρας τῆς ζωῆς μου". Ἡ δὲ ἀποκριθεῖσα λέγει αὐτῷ· "Σὺ μόνον γενοῦ μετ' ἐμοῦ, κύριέ μου, καὶ ἀπολαύσω τοῦ κάλλους σου καὶ τῆς νεότητός σου, καὶ μηδὲν μεριμνήσῃς περὶ τούτων· ἔχω γὰρ καὶ οἰκίαν καὶ κτήματα, καὶ χρυσὸν καὶ ἄργυρον καὶ παῖδας, καὶ τούτων πάντων δεσπότην καὶ κύριόν σε καταστήσω· μόνον συνθοῦ τῷ σκοπῷ μου καὶ γενοῦ μετ' ἐμοῦ, ὅτι μέγα πῦρ φίλτρου ἐν τῇ καρδίᾳ μου ἀναφλέγει με". Ταῦτα αὐτῆς λεγούσης, ὁ ἀνὴρ ἐπυροῦτο εἰς τὴν ἐπιθυμίαν τῆς σαρκός, καὶ ἤρξατο σαλεύεσθαι ἐκ τῆς προθέσεως αὐτοῦ καὶ λοιπὸν περὶ τῆς ἁμαρτίας προσομιλεῖν αὐτῇ, ὥστε ταύτην πράξαι μετ' αὐτῆς. Εἶτα λέγει αὐτῇ· "Γύναι,

4 Hebr. xiii, 4. 14 cod. ἐλάλη.

μεῖνόν με ὀλίγον, ἔθος ἐπειδὴ ἔχουσί τινες παραγίνεσθαι ἐνταῦθα καὶ εὐλογεῖσθαι ὑπ' ἐμοῦ· σκοπεύσω τὰς ὁδούς, μήπως τινὲς παραγίνονται καὶ εὕρωσιν ἡμᾶς ἐπὶ τὴν πρᾶξιν ἡμῶν, καὶ εἰ καὶ τὸν θεὸν κρύψαι τὸ ἁμάρτημα οὐ δυνάμεθα, κἂν ἐν τοῖς ἀνθρώποις μὴ ἀσχημονήσωμεν".

7. Καὶ ταῦτα εἰπὼν ἐξῆλθεν ἐκ τοῦ κελλίου αὐτοῦ, καὶ στὰς ἐπάνω πέτρας ὑψηλῆς ἀπεσκόπει τὰς ὁδούς· ἐκείνου δὲ ἀποσκοποῦντος, ὁ φιλάνθρωπος καὶ εὔσπλαγχνος θεός, ὁ μὴ παρορῶν τὸν ἐκ νεότητος κάματον αὐτοῦ καὶ μὴ ἐξουδενώσας αὐτοῦ τὴν προσευχήν, μετέβαλεν τὴν καρδίαν αὐτοῦ τοῦ ἀποστραφῆναι τῆς πονηρᾶς ἐνθυμήσεως αὐτοῦ, καὶ μετέβαλεν εἰς ἀγαθὴν ἔννοιαν. Καὶ κατερχόμενος ἐκ τῆς πέτρας εὗρεν φρύγανα ξηρά, καὶ λαβὼν αὐτὰ εἰσῆλθεν εἰς τὸ κελλίον· καὶ ῥίψας αὐτὰ μέσον τοῦ κελλίου, λαβὼν πῦρ ὑφῆψεν, καὶ μεγάλης φλογὸς ἀπαιρομένης, ὑπολυσάμενος τὰ σανδάλια αὐτοῦ καὶ εἰσπηδήσας εἰς τὸ μέσον τοῦ πυρὸς ἤρξατο κατακαίεσθαι. Καὶ κατεφλεχθεὶς δεινῶς, ἀλγήσας τοὺς πόδας, ἐξῆλθεν ἐκ τοῦ πυρός, καὶ ὥσπερ ἐν ἑαυτῷ διαμαχόμενος ἔλεγεν· "Τί ἐστιν, Μαρτινιανέ; καλῶς ἔλαβέν σε τὸ πῦρ τοῦτο· ὑπόμεινον εἰς τὸ πῦρ τοῦτο τὸ πρόσκαιρον καὶ ὑποφέρεις τὴν κόλασιν τῆς δριμύτητος ταύτης. Εἰ δύνασαι ὑπομεῖναι ταῦτα, πρόσελθε καὶ τῇ γυναικί· ἐκείνη γάρ, μᾶλλον δὲ δι' ἐκείνης τὸ αἰώνιον πῦρ προξενεῖ σοι ὁ διαβολος· οὐ γὰρ αὐτή ἐστιν αἰτιος, ἀλλ' ὁ αὐτὴν παρακινήσας εἰς ἐμπόδιον τῆς σῆς ἀγαθῆς προαιρέσεως. Ἐννόησον οὖν τὴν κόλασιν ἐκείνην, Μαρτινιανέ· λάβε ἐν τῷ νοΐ σου τὸ πῦρ ἐκεῖνο τὸ αἰώνιον, τὸν σκώληκα τὸν ἀκοίμητον, τὸν βρυγμὸν τῶν ὀδόντων. Τοῦτο γὰρ τὸ πῦρ καὶ ὑπὸ τοῦ ὕδατος σβέννυται καὶ καῖον φέγγος ἔχει, ἐκεῖνο δὲ τὸ πῦρ οὔτε φέγγος ἔχει, οὔτε σβέννυταί ποτε. Οἱ σκώληκες ἐκεῖνοι οὐ κοιμῶνται, οἱ ἄγγελοι οἱ ἐπὶ τῶν κολάσεων ἀνένδοτοί εἰσιν πρὸς τιμωρίαν. Ἐννόησον ταῦτα πάντα, Μαρτινιανέ, καὶ ἐὰν δύνασαι αὐτὰ ὑπομεῖναι, πρόσελθε καὶ τῇ γυναικί". Ταῦτα δὲ ἔλεγεν ἐκείνην ὑπομιμνήσκων περὶ τῆς αἰωνίου κολάσεως, καὶ μικρὸν τῶν πόνων ὑπενδόντων καὶ ἄνετος γενόμενος, πάλιν εἰσῆλθεν εἰς τὴν κάμινον καὶ ἔστη μέσον τοῦ πυρὸς καὶ ἤρξατο κατακαίεσθαι.

1 cod. ἐνταῦτα. 4 δυνήμεθα.

Ἐξελθὼν οὖν ἐκ τοῦ πυρὸς ἔπεσεν ἐπὶ τοῦ ἐδάφους, πανταχοῦ ἑαυτὸν καταφλέξας, καὶ στενάξας ἐξ ὅλης τῆς καρδίας αὐτοῦ εἶπεν· "Συγχώρησόν μοι, κύριε, τὸ ὅρμημα τῆς ἁμαρτίας μου, ὁ ἐτάζων καρδίας καὶ νεφρούς· σὺ γὰρ γινώσκεις τὴν καρδίαν μου, δέσποτα, ὅτι σὲ ἠγάπησα καὶ σὲ ἐπεπόθησα ἐκ νεότητός μου, καὶ ἕνεκεν σοῦ τὸ σῶμά μου τῷ πυρὶ τούτῳ παρέδωκα. Συγχώρησόν μοι, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας". Ταῦτα εἰπὼν κείμενος ἐπὶ τοῦ ἐδάφους (στῆναι γὰρ οὐκ ἴσχυεν λοιπὸν ἐκ τῶν πληγῶν τῆς καύσεως), ἤρξατο ψάλλειν· "Ὡς ἀγαθὸς ὁ θεὸς τῷ Ἰσραήλ, τοῖς εὐθέσι τῇ καρδίᾳ· ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες, παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου".

8. Καὶ πληρώσαντος αὐτοῦ τὸν ψαλμὸν καὶ εὐξαμένου, εἰς ἑαυτὴν ἐλθοῦσα ἡ γυνὴ καὶ κατανοήσασα τὸν ἄνδρα, πῶς διὰ τὴν σωτηρίαν τῆς ἑαυτοῦ ψυχῆς τὸ σῶμα αὐτοῦ εἰς θάνατον παρέδωκεν, καὶ εἰς μνήμην λαβοῦσα τῶν ἰδίων κακῶν πράξεων τὸ πλῆθος, ἀναστᾶσα καὶ ἀποδυσαμένη τὸν κόσμον τοῦ ἀμφιεσμοῦ αὐτῆς, ἔβαλε πάντα τὰ κόσμια αὐτῆς εἰς τὸ πῦρ, καὶ προσπεσοῦσα τοῖς ποσὶ τοῦ μακαρίου προσεκύνησεν αὐτῷ λέγουσα· "Δέομαί σου, συγχώρησόν μοι τῇ ἁμαρτωλῷ· σὺ γὰρ γινώσκεις, δέσποτα, ὅτι πολὺ στρεβλός ἐστιν ὁ διάβολος· ἀλλ' αὐτὸς εὖξαι ὑπὲρ ἐμοῦ, παρακαλῶ τὴν σὴν ἁγιωσύνην, ὅπως διὰ τῆς σῆς προσευχῆς σωθῇ ἡ ψυχή μου. Γίνωσκε γάρ, δέσποτα, ὅτι καθὼς ὁ διάβολος ἐβουλεύθη στρατεύσασθαί με κατὰ σοῦ, ἐγὼ στρατεύσομαι κατ' αὐτοῦ ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ τὴν πόρνην καθαρίσαντος, καὶ καταισχυνῶ αὐτόν· ἐνόμισε γὰρ κατὰ σοῦ ἐνέγκαι με, καθ' ἑαυτοῦ δὲ ἀνήνεγκε, καὶ προσδοκῶν σοῦ περιγενέσθαι, ὑπὸ ἐμοῦ ἔχει ἐμπαιχθῆναι". Καὶ ταῦτα αὐτῆς λεγούσης, ἀπαύστως τὰ δάκρυα ἔρρει ἀπὸ τῶν ὀφθαλμῶν αὐτῆς· ὁ δὲ μακάριος ἀποκριθεὶς λέγει αὐτῇ· "Κύριος ὁ θεὸς συγχωρήσει σοι τὸ ἁμάρτημα· πορεύου εἰς εἰρήνην, καὶ καθὼς ἐλάλησας ἀγωνίζου ὑπὲρ τῆς σωτηρίας σου. Στράτευσαι κατὰ τῆς ἡδονῆς διὰ τῆς μετανοίας καὶ οὕτως δυνήσει καταισχῦναι τὸν πονηρόν". Ἡ δὲ ἀποκριθεῖσα λέγει αὐτῷ· "Ποῦ με πορευθῆναι συμβουλεύεις; δέομαί σου". Ὁ δὲ λέγει·

3 ἐτάζων - νεφρούς] Psalm. VII, 10. 9 Ὡς ἀγαθὸς - διαβήματά μου] Psalm. LXXII, 1—3 || τῷ] cod. τῶν.

" Πορεύου εἰς τὰ Ἱεροσόλυμα, καὶ κάτελθε εἰς τὴν ἁγίαν Βηθλεέμ, καὶ ἐπιζήτησον ἐκεῖ Παυλῖναν ὀνόματι ἁγίαν παρθένον, ἥτις καὶ τὸν ναὸν τοῦ δεσπότου Χριστοῦ ᾠκοδόμησεν· καὶ εἴσελθε πρὸς αὐτήν, καὶ ἀπάγγειλον αὐτῇ τὸ δρᾶμα, καὶ ἔχεις ὠφεληθῆναι μεγάλως". Ἡ δὲ ἀναστᾶσα προσεκύνησεν αὐτῷ καὶ παρεκάλεσεν αὐτὸν εὔχεσθαι ὑπὲρ αὐτῆς.

9. Ἀναστὰς οὖν ὁ μακάριος μετὰ ὀδύνης ἐκ τῶν πληγῶν τῆς καύσεως, ἔδωκεν αὐτῇ φοίνικας ὀλίγους εἰς παραμυθίαν τῆς ὁδοῦ, καὶ ἐξαγαγὼν ἐκ τοῦ κελλίου καὶ ὑποδείξας αὐτῇ τὴν ὁδόν, τὴν ἀπάγουσαν ἐπὶ Ἱερουσαλήμ, λέγει αὐτῇ· "Πορεύου, γύναι, καὶ σῴζουσα σῶζε τὴν σεαυτῆς ψυχὴν καὶ ἀγώνισαι περὶ τῆς σωτηρίας σου. Βλέπε μὴ στραφῇς εἰς τὰ ὀπίσω· οὐδεὶς γὰρ ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον καὶ στραφεὶς εἰς τὰ ὀπίσω εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Μὴ οὖν στραφῇς εἰς τὰ ὀπίσω, τουτέστιν εἰς τὰς τοῦ βίου ἡδονάς, ἀλλὰ πρόσεχε σεαυτῇ μὴ χλευασθῇς, καὶ ἐπίμεινον τῇ μετανοίᾳ· μετανοούντων γάρ ἐστιν ὁ θεός". Ἡ δὲ ἀκούσασα ταῦτα, ἐπὶ πλεῖον τὸν κλαυθμὸν ἐπέτεινεν λέγουσα πρὸς αὐτόν· "Ἐλπίζω εἰς τὸν Χριστόν, εἰς ὃν ἤλπισαν ἔθνη καὶ οὐ κατῃσχύνθησαν, ὅτι οὐ μὴ εὕρῃ λοιπὸν ἐν ἐμοὶ μερίδα ὁ διάβολος". Καὶ οὕτως εὐξαμένη καὶ προσκυνήσασα τὸν τοῦ θεοῦ δοῦλον ἀνεχώρησεν. Ὁ δὲ μακάριος σφραγίσας αὐτὴν τῷ σημείῳ τοῦ σταυροῦ εἶπεν· "Κύριος ὁ θεός μου διαφυλάξει σου τὴν ψυχὴν καὶ σώσει σε εἰς τέλος". Καὶ ταῦτα εἰπὼν εἰσῆλθεν εἰς τὸ κελλίον καὶ ἔπεσεν ἐπὶ τοῦ ἐδάφους, καὶ ἦν στενάζων καὶ εὐχόμενος.

10. Ἡ δὲ γυνὴ ἐπορεύετο κλαίουσα καὶ εὐχομένη, ὅπως ὁδηγήσῃ αὐτὴν ὁ κύριος εἰς τὴν σωτηρίαν. Καὶ τὴν μὲν νύκτα ἐκείνην μὴ ἰσχύουσα διανύσαι τὸ πέλαγος τῆς ἐρήμου, ἔμεινεν εἰς ὃν κατέλαβεν τόπον· ἀναστᾶσα δὲ τῷ πρωὶ ἐπορεύετο κλαίουσα καὶ εὐχομένη. Τριάκοντα οὖν μίλια περιπατήσασα εἰς ἑσπέραν βαθεῖαν ἔφθασεν τὴν Βηθλεέμ, καὶ ἀπελθοῦσα εἰς τὸ μοναστήριον τῆς μακαριωτάτης Παυλίνης τῆς παρθένου καὶ εἰσελθοῦσα ἀπήγγειλεν αὐτῇ ἅπαντα τὰ παρακολουθήσαντα· ἡ δὲ ἀκούσασα ἐδό-

12 οὐδεὶς - οὐρανῶν] cf. Luc. IX, 62. 14 στραφεῖς. 16 χλευασθεῖς.
19 ἤλπισαν - κατῃσχύνθησαν] cf. Psalm. XXI, 6. 26 ὁδηγήσει. 29 μήλια.

ξασε τὸν θεὸν τὸν εὔσπλαγχνον καὶ φιλάνθρωπον, καὶ ἐδέξατο αὐτὴν εἰς τὸ μοναστήριον, καθ' ἑκάστην ἡμέραν κατηχοῦσα αὐτὴν τὰ πρὸς σωτηρίαν. Ἡ δὲ ἐπὶ τοσοῦτον ἐπέμενεν τῇ ἀσκήσει, ὡς πλειστάκις τὴν μακαρίαν Παυλίνην παραινεῖν αὐτῇ καὶ λέγειν· "Φεῖσαι, τέκνον, τῆς σαρκός σου, ἵνα δυνηθῇς ἕως τέλους αὐταρκῆσαι". Ἡ δὲ μᾶλλον ἐπέτεινε, μὴ ὑπενδοῦσα τοῦ τόνου τῆς ἀσκήσεως. Περὶ δὲ τὸ τέλος αὐτῆς ἐξήτησε τὴν χάριν ταύτην παρὰ τοῦ θεοῦ, ὥστε δειχθῆναι αὐτῇ, εἰ ἐδέχθη αὐτῆς ἡ μετάνοια. Ὁ τοίνυν φιλάνθρωπος θεὸς ἰάσεις ἐπετέλει διὰ τῶν εὐχῶν αὐτῆς. Ἐν μιᾷ γὰρ τῶν ἡμερῶν γυνή τις τοὺς ὀφθαλμοὺς δεινῶς ἀλγοῦσα εἰς τὸ μοναστήριον παρεγένετο πρὸς τὸ ἰαθῆναι. Θέλουσα οὖν δοκιμάσαι τὴν ταύτης μετάνοιαν ἡ μακαριωτάτη Παυλῖνα, λέγει αὐτῇ· "Πρόσελθε, τέκνον, τῷ Χριστῷ καὶ εὖξαι ὑπὲρ αὐτῆς, ὅπως διὰ τῆς σῆς ἐντεύξεως παράσχῃ αὐτῇ τὴν ἴασιν ὁ κύριος". Ἐν ὀλίγαις οὖν ἡμέραις εὐξαμένης αὐτῆς ἰάθη ἡ γυνή, ἥτις καὶ ἀποταξαμένη ἐν τῷ αὐτῷ μοναστηρίῳ ἔταξεν αὐτήν. Αὕτη δὲ ζήσασα ἐν τῷ μοναστηρίῳ δώδεκα ἔτη, ἐτελειώθη ἐν Χριστῷ τὸν δρόμον τελέσασα· τὸν γὰρ ἅπαντα χρόνον τῆς ἀσκήσεως αὐτῆς οἶνον οὐκ ἔπιεν, ἐλαίου οὐ μετέλαβεν, οὔτε ὀπώρας οὔτε ἑτέρου τινός, ἀλλ' ἢ μόνον ἄρτον καὶ ὕδωρ, καὶ αὐτὰ οὐκ ἐν πλησμονῇ, καθ' ἑσπέραν δὲ μεταλαμβάνουσα, ἦν δὲ ὅτε καὶ διὰ δύο ἡμερῶν· ἡ δὲ κοίμησις αὐτῆς ἦν ἐπὶ τοῦ ἐδάφους. Ταῦτα τὰ τέλη τῆς μακαρίας ζωῆς καὶ οὗτοι οἱ ἀγῶνες.

11. Ἀλλ' ἀναγκαῖον ἡμῖν πάλιν πρὸς τὸν μακάριον Μαρτινιανὸν ἐπανακάμψαντας διηγήσασθαι τὰ τούτου ἀνδραγαθήματα πρὸς ὠφέλειαν πολλῶν. Μετὰ γοῦν ἑπτὰ μῆνας ἀπεθεραπεύθη τὰς πληγὰς τῆς καύσεως, καὶ ἤρξατο λογίζεσθαι ἐν ἑαυτῷ λέγων· "Ἀληθῶς, εἰ ἐγὼ μὴ ἀναχωρήσω τοῦ τόπου τούτου, οὐ μὴ ἐάσῃ με ὁ πονηρὸς ἀναπαυῆναι. Ὀφείλω τοίνυν τοιοῦτον τόπον οἰκῆσαι, ὅπου οὐκ ἔστιν δυνατὸν γυναῖκα εἰσελθεῖν". Καὶ ταῦτα λογισάμενος, ἀναστὰς καὶ εὐξάμενος εἶπεν· "Ὁ δεσπότης οὐρανοῦ καὶ γῆς, ὁ μὴ θέλων τινὰ ἀπολέσθαι, ἀλλὰ πάντα ἄνθρωπον σωθῆναι

2 cod. καθεκάστην. 22 τέλει. 25 ἐπανακάμψαντας pro ἐπανακάμψασι. 29 ἀναπαυῆναι pro ἀναπαυθῆναι vel ἀναπαῆναι. 32 ὁ μὴ θέλων - εἰσελθεῖν] cf. Tim. I, II, 4.

καὶ εἰς ἐπίγνωσιν ἀληθείας εἰσελθεῖν, καὶ ἐπὶ τὸ συμφέρον οἰκονομῆσαι καὶ τὴν ἐμὴν ταπείνωσιν προθυμήθητι· καὶ μὴ ἐάσῃς τὴν ψυχήν μου ἀπολέσθαι εἰς τέλος, ἀλλὰ βοήθησόν μοι, κύριε ὁ θεὸς τῶν δυνάμεων, καὶ γενοῦ μοι ἰατρὸς καὶ ὁδὸς καὶ ζωὴ καὶ ῥάβδος καὶ πήρα καὶ ἄρτος". Καὶ ταῦτα εἰπών, καὶ κατασφραγισάμενος ὅλον τὸ σῶμα αὐτοῦ, ἐξῆλθεν ἐκ τοῦ κελλίου καὶ ὥρμησεν ἐπὶ τὴν θάλασσαν. Ἀνέκραξε δὲ ὁ δαίμων ὄπισθεν αὐτῶ λέγων· "Ἀνδριζέσθωσαν αἱ δυνάμεις μου, καὶ εἴη τὸ ὄνομά μου λαμπρόν, ὅτι ἴσχυσα κατ' αὐτοῦ· τέως τῆς κέλλης αὐτὸν ἐδίωξα, τὸ σῶμα αὐτοῦ ἐν πυρὶ κατέκαυσα καὶ τοῦτον φυγάδα ἐποίησα καὶ αἰχμάλωτον". Καὶ πάλιν λέγει ὁ δαίμων· "Φεύγεις, Μαρτινιανέ; ὅπου δ' ἂν πορεύσῃ, ἐκεῖ παραγίνομαι, καὶ ὥσπερ τῶν ἐντεῦθεν ἐδίωξά σε, οὕτω καὶ ὅπου ἐὰν βουληθῇς οἰκῆσαι ἐκδιώξω σε, καὶ οὐκ ἀφίσταμαί σου, ἕως τελείως ταπεινώσω σε". Ὁ δὲ μακάριος ἀποκριθεὶς λέγει· "Ἀσθενῆ καὶ ταλαίπωρε, ἐνόμισας ὅτι σύ με ἐξήλασας τῆς κέλλης μου; ἢ καὶ οἰήθης ὅτι ἀκηδιάσας ἀναχωρῶ; μὴ γένοιτο, ἀλλ' ἵνα σε ἐπὶ πλεῖον καταπατήσω". Καὶ πάλιν λέγει· "Οὐκ ἤρκεσέν σοι ἡ πρώτη καὶ δευτέρα προσβολὴ τοῦ πειρασμοῦ, ἐπιχείρησον καὶ ἔτι ἅπαξ. Τέως τὸ ἐργαστήριον, ὃ ἐσκεύασας κατ' ἐμοῦ, τοῦτο καταλύσας τῷ θεῷ προσήνεγκα· ὅθεν καὶ ἐκείνη αὐτὴ πηλόν σε ἐλογίσατο καὶ κατεπάτησέν σου τὰς δυνάμεις, καὶ οὔτε τῆς σκιᾶς αὐτῆς ἔτι προσεγγίσαι τολμᾷς". Καὶ ταῦτα αὐτοῦ λέγοντος, ἄφαντος ἐγένετο ἀπ' αὐτοῦ ὁ διάβολος.

12. Ὁ δὲ μακάριος ἤρξατο ψάλλειν τὸν ψαλμὸν τοῦτον καὶ λέγειν· "Ἀναστήτω ὁ θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν". Καὶ ψάλλων ἐπορεύετο τὴν κατὰ θάλασσαν ὁδόν· καὶ δὴ φθάσας εἰς τὸν λιμένα εὑρέν τινα ναύκληρον φοβούμενον τὸν θεόν, καὶ προσελθὼν λέγει αὐτῷ· "Ἀδελφέ, οἶδας νῆσον μικρὰν ἐν μέσῳ τῆς θαλάσσης, ἐν ᾗ οὐδεὶς κατοικεῖ"; Ὁ δὲ ἀποκριθεὶς λέγει αὐτῷ· "Τίνος ἕνεκεν ἐπερωτᾷς με καὶ τί θέλεις"; Λέγει αὐτῷ ὁ μακάριος· "Ἡσυχάσαι θέλω ἐκ τοῦ κόσμου καὶ τοῦ ματαίου βίου τούτου, καὶ οὐχ εὗρον τόπον, ἐν ᾧ καταπαύσω καὶ φύγω τὰ

1 cod. οἰκονομήσει. 12 παραγίνωμαι. 14 ἀφίσταμε. 15 σοί. 25 Psalm. LXVII, 1, 2.

σκάνδαλα τοῦ πονηροῦ". Λέγει αὐτῷ ὁ ναύκληρος· "Ἔστι πέτρα στενή, ὑψηλοτάτη πάνυ καὶ φοβερὰ καὶ ἀπέχουσα ἀπὸ τῆς γῆς· ἐὰν γὰρ γένηταί τις ἔγγιστα τῆς πέτρας ἐκείνης, γῆν οὐκέτι ὁρᾷ". Ὁ δὲ μακάριος λέγει· "Καὶ πάνυ τοιούτου τέρπομαι τόπου, ὅπου οὐκ ἔστιν δυνατὸν μάλιστα γυναῖκα εἰσελθεῖν". Λέγει αὐτῷ ὁ ναύκληρος** "Διαθήκην θήσομαι μεταξὺ ἀλλήλων, καὶ σὺ ἔσῃ μοι τὰ πρὸς τροφήν, καὶ ἐγὼ ἔσομαί σοι τὰ πρὸς τὸν θεόν, πλὴν καὶ ἐργάζομαι καθήμενος ἐπὶ τῆς πέτρας· μόνον σὺ ἐπικόμιζέ μοι βαΐα τῶν φοινίκων καὶ ἐργάζομαι ἐγὼ ἐν πλέγμασι τῶν χειρῶν μου, καὶ ἐξάξεις αὐτὰ ἐξ ἐμοῦ καὶ διαπωλήσεις καὶ ἐπικομίζεις μοι τὴν τροφήν. Λήψει μοι δὲ καὶ κεράμια, ἔνθα ἀποτιθέμεθα τὸ ὕδωρ, καὶ τὸν ἄρτον ψύξαντες καὶ κλάσαντες κατεγγίζομεν εἰς τὰ κεράμια· ἐλεύσει δὲ σὺ κατ' ἐνιαυτὸν δεύτερον ἢ τρίτον, ἐπικομιζόμενός μοι τὸν ἄρτον καὶ τὸ ὕδωρ".

13. Ταῦτα δὲ ἀκούσας ὁ ναύκληρος, καὶ γνοὺς ὅτι πνευματικός ἐστιν ὁ ἀνήρ, προθύμως πάντα συνέθετο ποιεῖν· καὶ λαβὼν πλοιάριον μικρὸν καὶ δεξάμενος τὸν μακάριον ἐν αὐτῷ, εὐθυδρόμησαν ἐπὶ τὴν πέτραν, ἀνέμου ἐπιτηδείου ὑπάρχοντος, καὶ πρὸς ἑσπέραν κατέλαβον τὸν τόπον. Ὁ δὲ μακάριος ἰδὼν τὸν τόπον ἐπιτήδειον πάνυ, ἐχάρη αὐτοῦ ἡ ψυχή, καὶ εὐχαριστήσας τῷ θεῷ καὶ εὐλογήσας τὸν ναύκληρον ἀνέβη ἐπὶ τῆς πέτρας, καὶ ἀνελθὼν ἔψαλλε λέγων· "Ὑπομένων ὑπέμεινα τὸν κύριον καὶ προσέσχεν μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου, καὶ ἀνήγαγέν με ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος, καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνεν τὰ διαβήματά μου". Καὶ πληρώσας τὸν ψαλμὸν καὶ εὐξάμενος λέγει τῷ ναυκλήρῳ· "Ἄπελθε, ἀδελφέ, ἐν εἰρήνῃ καὶ ἐπικόμισόν μοι τὰ κεράμια καὶ τὸν ἄρτον καὶ τὸ ὕδωρ". Λέγει αὐτῷ ὁ ναύκληρος· "Θέλεις ἐπικομίσομαί σοι καὶ ξύλα, ἵνα ποιήσωμέν σοι σκηνήν". Ὁ δὲ οὐκ ἠνείχετο, ἀλλ' ἦν αἴθριος καθεζόμενος ἐπὶ τοῦ ἀέρος καὶ τοῖς μὲν καύμασι φλεγόμενος, τῷ δὲ ψύχει καὶ τῷ κρύει πηγνύμενος. Ὁ δὲ ναύκληρος ἀπελθὼν ἀπε-

6 post ναύκληρος aliquid deest in apographo vel in codice; cf. pag. 109, 20: Πόθεν δέ σοι, ὁ ναύκληρος ἔφη, τὰ πρὸς τροφὴν ἔσται; Καὶ ὁ ὅσιος etc || cod. θήσωμαι || ἔσῃ μοι] ἔσται μέν. ~ 8 σὺ] σοί. 10 ἐξάξης || διαπωλήσης. 22 Ὑπομένων - διαβήματά μου] Psalm. xxxix, 1—3.

κομίσατο αὐτῷ πάντα, καθὼς ἐνετείλατο αὐτῷ ὁ μακάριος, καὶ ἦν κατ' ἐνιαυτὸν τρίτον ἐπικομιζόμενος αὐτῷ τὸν ἄρτον καὶ τὸ ὕδωρ. Ὁ οὖν μακάριος Μαρτινιανὸς ὥσπερ ἀνεπαύσατο ἐξελθὼν ἐκ τοῦ κόσμου, καὶ ἦν εὐφραινόμενος καὶ δοξάζων τὸν κύριον ἐν τῇ ἀγαθῇ πολιτείᾳ.

14. Ἀλλ' ὁ πονηρὸς καὶ κάκιστος διάβολος οὐδὲ οὕτως ἐπαύσατο πολεμῶν τὸν δίκαιον, ἀλλ' ἤρξατο πάλιν ἐκεῖ πειρασμοὺς αὐτῷ ἐπάγειν. Ἐν μιᾷ γὰρ νυκτὶ τὴν θάλασσαν κινήσας καὶ τὰ κύματα ἐγείρας μεγάλα, ἐδείκνυεν αὐτῷ ὡς ὅτι δῆθεν ὑπὲρ κεφαλῆς αὐτοῦ φέρεσθαι τὰ κύματα δεκαπέντε πήχεις· ὁ δὲ δαίμων ἔκραζε λέγων· "Νῦν ἀποπνίξω σε. Μαρτινιανέ, ἐν τοῖς ὕδασιν". Ὁ δὲ μακάριος ἀποκριθεὶς ἀταράχως λέγει· "Ἀσθενῆ καὶ ταλαίπωρε, τί μάτην κοπιᾷς; ἐμὲ γὰρ αἱ φαντασίαι σου οὐ πτοοῦσιν, οὐδὲ αἱ ἀπειλαί σου ἐκφοβοῦσίν με. Ἐλπίζω γὰρ εἰς τὸ ὄνομα τοῦ κυρίου μου Ἰησοῦ Χριστοῦ, ὅτι ἕως τέλους καταισχυνῶ σε". Καὶ ταῦτα εἰπὼν ἤρξατο ψάλλειν· "Σῶσόν με, ὁ θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου. Ἐνεπάγην εἰς ὕλην βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις· ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης καὶ καταιγὶς κατεπόντισέ με". Καὶ πληρώσας τὸν ψαλμὸν προσηύξατο λέγων· "Ἰησοῦ Χριστὲ μονογενῆ, ὁ διὰ τὰς ἡμετέρας ἁμαρτίας κατελθὼν ἐπὶ τῆς γῆς, ἐπάκουσόν μου· ὁ ἐπιτιμήσας τῇ θαλάσσῃ καὶ κατασχὼν τὸ ἀκατάσχετον αὐτῆς ὅρμημα, ὁ ἐπιτιμήσας τοῖς ἀνέμοις καὶ τὰ ἀκράτητα κρατήσας, ὅτι σοὶ πάντα ὑπακούει τρόμῳ, ἐπάκουσόν μου ἐν τῇ ὥρᾳ ταύτῃ καὶ κατάπαυσον τὸν ἐπεγερθέντα μοι πειρασμόν, καὶ καταίσχυνον τὸν ἐπεγειρόμενον μοι διάβολον, ὅτι πάντα δυνατά σοι, κύριε". Καὶ ταῦτα αὐτοῦ λέγοντος, ἀφανὴς ἐγένετο ἀπ' αὐτοῦ ὁ διάβολος, ὁ δὲ μακάριος ἔμεινεν ἀβλαβής.

15. Ἐπὶ οὖν ἓξ ἔτη οὕτως ἦν ὁ μακάριος διάγων ἐπὶ τῆς πέτρας, πάντα πόνον καὶ κάματον ὑπομένων ὑπὲρ τῆς σωτηρίας τῆς ψυχῆς αὐτοῦ· ἀλλὰ καὶ οὕτως οὐκ ἴσχυσεν ἡσυχάσαι ὁ πονηρός, ἀλλὰ καὶ ἕτερον αὐτῷ πειρασμὸν ἐπήγαγεν τοῦ πρώτου δεινότερον. Ἐπιτηρήσας γὰρ ὁ δαίμων ἐν μιᾷ ἡμέρᾳ πλοῖον παρερχόμενον, βαστάζον ἄνδρας τε καὶ γυναῖκας, προσρήξας ἀνέμῳ τὸ πλοῖον καὶ συντρίψας ἅπαντας τοὺς ἐκεῖ ἀπέπνιξεν. Κόρη δε μία εὐμορφο-

15 Σῶσον - κατεπόντισέ με] Psalm. LXVIII, 1—3. 20 ἐπιτημήσας. 30 δεινώτερον. 32 βαστάζοντα. 33 εὐμορφωτάτη.

τάτη ἠδυνήθη σανίδος ἐπιλαβέσθαι, καὶ ἐγγίσασα τῇ πέτρᾳ ἀπεκρεμάσθη καὶ ἤρξατο κράζειν· "'Ελέησόν με, δοῦλε τοῦ θεοῦ τοῦ ὑψίστου, καὶ ἐπίδος μοι χεῖρα βοηθείας, καὶ σῶσόν με ἐκ τοῦ ὕδατος τούτου, καὶ μὴ ἐάσῃς με ἀπολέσθαι". Ὁ δὲ μακάριος ἰδὼν αὐτήν, ὅτι οὐδαμόθεν ἄλλοθέν ἐστι σωτηρία τῆς ψυχῆς αὐτῆς ἢ βοήθεια, ὑπομειδιάσας εἶπεν· "Καὶ τοῦτο τέχνασμα τοῦ πονηροῦ ἐστιν· ἀλλ' οὐ μή μου νικήσῃς τὴν πρόθεσιν, διάβολε". Καὶ λέγει ἐν ἑαυτῷ· "Οὐαί μοι τῷ ἁμαρτωλῷ, ὅτι πάλιν δοκιμασία καρδίας πάρεστί μοι. Τί οὖν ποιήσω; ἐὰν ἀφῶ αὐτήν, ἀποπνίγεται ἐν τοῖς ὕδασιν καὶ κηλιδώνει μου τὴν ψυχὴν ἐν ἡμέρᾳ κρίσεως· ἐν δεινοτέρᾳ γὰρ ἀνάγκῃ αὕτη ὑπάρχει παρὰ τὴν πρώτην, ὅτι ἐκείνη μὲν ἐν τῇ γῇ ὑπάρχουσα ἠδύνατο σωθῆναι, αὕτη δὲ οὐδαμόθεν ἄλλοθεν ἔχει τοῦ σωθῆναι". Καὶ ἀνατείνας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν εἶπεν· "Κύριε ὁ θεός μου, εἰς ὃν ἤλπισα ἐκ νεότητός μου, μὴ ἐάσῃς ἀπολέσθαι με, ἀλλὰ τὸ συμφέρον τῇ ψυχῇ μου οἰκονόμησον"· Καὶ ταῦτα εἰπὼν ἐπέδωκεν αὐτῇ χεῖρα καὶ ἀνήγαγεν αὐτὴν ἐκ τοῦ ὕδατος, καὶ κατανοήσας αὐτὴν ἐνώπιον οὖσαν λέγει αὐτῇ· "'Αληθῶς οὐ μὴ συμφωνήσει πῦρ μετὰ χόρτου· οὐ δύναμαι ἐγὼ καὶ σὺ εἶναι ἐνταῦθα ἅμα, ἐπεὶ σῆψιν ἐν ἡμῖν ἐργάζεται ὁ πονηρός. 'Αλλὰ σὺ ἦσθα ἐνταῦθα καὶ μηδὲν φοβηθῇς· ἔχεις καὶ ἄρτον καὶ ὕδωρ, καὶ καθὼς ἤσθιον ἐγώ, οὕτως ἔσθιε καὶ σύ, ὅπως ἐξαρκέσει σε ἕως τοῦ παραγενέσθαι τὸν ναύκληρον, τὸν ἐπικομίζοντά μοι τὸν ἄρτον· ἔτι γὰρ δύο μῆνες λείπουσιν καὶ παραγίνεται ὧδε, καὶ ὅταν παραγένηται, διήγησαι αὐτῷ τὸ δρᾶμα καὶ ἐξάξει σε ἐντεῦθεν καὶ πορεύσῃ εἰς τὴν πόλιν σου".

16. Καὶ εἰπὼν ταῦτα ἐσφράγισεν τὴν θάλασσαν καὶ εἶπεν· "Κύριε ὁ θεός μου, ὁ ἐπιτιμήσας τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ καὶ ὑπήκουσάν σοι τρόμῳ, ἐπίβλεψον ἐπ' ἐμὲ καὶ μὴ ἐάσῃς με ἀπολέσθαι· ἰδοὺ γὰρ ἐν τῷ ὀνόματί σου ῥίπτω ἐμαυτὸν εἰς τὴν θάλασσαν· αἱροῦμαι γὰρ ἀλόγως ἀποθανεῖν ἢ πάθει σώματος προσομιλῆσαι". Καὶ στραφεὶς πρὸς τὴν κόρην εἶπεν· "Ὁ κύριος διαφυλάξει σε, τέκνον, ἀπὸ πάσης ἐπηρείας τοῦ διαβόλου καὶ σώσει σου τὴν ψυχὴν εἰς τέλος". Καὶ ταῦτα εἰπὼν ἔβαλεν ἑαυτὸν

14 ἤλπισα ἐκ νεότητός μου] Psalm. LXX, 5. 20 ἦσθα pro ἴσθι || φοβηθεῖς. 21 ἦσθε. 30 ἑροῦμαι.

εἰς τὴν θάλασσαν, εὐθέως δὲ ἐδέξαντο αὐτὸν δύο δελφῖνοι, καὶ ὑποβαστάσαντες αὐτὸν ἐξήγαγον ἐκ τῆς θαλάσσης καὶ ἀπέθεντο ἐπὶ τῆς γῆς· ἡ δὲ κόρη, ἕως ἔδυσεν ἐκ τῶν ὀφθαλμῶν αὐτῆς, ἐώρα αὐτὸν ἐπιφερόμενον ἐπάνω τῶν ὑδάτων καὶ οὐκέτι ἔγνω τί ἐγένετο. Ὁ δὲ μακάριος ἐξελθὼν ἐπὶ τὴν γῆν ηὔξατο λέγων· "Εὐχαριστῶ σοι, κύριος ὁ θεός μου, ὅτι ἐποίησας ἔλεος εἰς τὴν ἐμὴν ταπείνωσιν· ἀλλὰ καὶ ἕως τέλους μὴ ἐγκαταλίπῃς με". Καὶ ταῦτα εἰπὼν λέγει ἐν ἑαυτῷ· "Τί ποιήσω; ἐν τοῖς ὄρεσιν οὐκ εἴασέν με ὁ Σατανᾶς, οὔτε δὲ ἐν θαλάσσῃ, καὶ τί ποιήσω οὐκ οἶδα. Καλόν μοί ἐστιν μελετᾶν τὸ Εὐαγγελίου ῥητὸν καὶ ποιεῖν αὐτό· διδάσκει γὰρ ὁ κύριος λέγων· Ἐὰν διώκωσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἄλλην· οὐ μὴ γὰρ τελευτήσει τὰς πόλεις τοῦ Ἰσραήλ". Καὶ ταῦτα εἰπὼν ἤρξατο φεύγειν καὶ λέγειν· "Φεῦγε, Μαρτινιανέ, μή σε καταλάβῃ πειρασμός· φεῦγε, μοναχέ". Καὶ οὕτως φεύγων καὶ διώκων ἑαυτὸν ἐτέλεσεν αὐτοῦ τὰς ἡμέρας τῆς ζωῆς, μὴ βαστάσας μὴ πήραν, μὴ ῥάβδον, μὴ δύο χιτῶνας, μήτε χαλκὸν εἰς τὴν ζώνην μήτε ἕτερόν τι ἐπιφερόμενος εἰς τὴν σωματικὴν χρείαν, τὰ ὀφείλοντα ὑπηρετεῖν τῷ ἀνθρώπῳ· ἀλλ' ὅπου δ' ἂν εἰσῄει, εἰς πόλιν ἢ εἰς κώμην, ἐπεζήτει τίς ἂν εἴη εὐλαβὴς ἀνὴρ ἐν αὐτῇ, κἀκεῖ παρεγένετο, καὶ λαμβάνων τὰ πρὸς τὴν τροφὴν ἐξῄει. Καὶ οὕτως φεύγων καὶ διώκων διετέλεσεν τὰς ἡμέρας αὐτοῦ· καὶ ὅπου δ' ἂν κατελάμβανεν ἡ ἑσπέρα, ἢ ἐπ' ὄρους, ἢ ἐπ' ἐρημίας, ἢ ἐπὶ πέτραν, ἐκεῖ ἔμενεν. Ἐπὶ ἔτη οὖν δύο τρέχων καὶ διώκων ἑαυτόν, τὸν δρόμον τὸν καλὸν ἐπλήρωσεν, ἑκατὸν ἑξήκοντα τέσσαρας πόλεις περιπατήσας.

17. Ὅτε δὲ ἔμελλεν λοιπὸν πρὸς κύριον ἐκδημῆσαι, ἔφθασεν εἰς Ἀθήνας· τῷ δὲ ἐπισκόπῳ τῷ ὄντι ἐκεῖσε ἀπεκαλύφθη περὶ τῆς τοῦ μακαρίου τελευτῆς. Ὁ δὲ μακάριος Μαρτινιανὸς εἰσελθὼν εἰς τὴν ἐκκλησίαν, προεγνωκὼς τὴν ἡμέραν τοῦ θανάτου αὐτοῦ, ἀναπεσὼν ἐπὶ σκάμνον, λέγει τοῖς ἐκεῖ· "Καλέσατέ μοι ὀξέως τὸν ἐπίσκοπον". Οἱ δὲ ἐνόμισαν αὐτὸν ἔξηχον εἶναι. Ἔτι δὲ ἐπὶ πλεῖον αὐτοῦ παρακαλοῦντος, ὑπήκουσαν καὶ ἀπῆλθον λέγοντες· "Ἄνθρωπός τις ἀνάκειται ἐν τῇ ἐκκλησίᾳ ἐπὶ σκάμνου καὶ οὐκ

1 δελφῖνοι pro δελφῖνες. 7 ἐγκαταλείπῃς. 11 Ἐὰν διώκωσιν - Ἰσραήλ] Matth. x, 23.

οἴδαμεν εἰ ἔξηχός ἐστιν, ἢ τίς ἐστιν. Εἶπεν ἡμῖν, ὅτι Καλέσατέ μοι ὀξέως τὸν ἐπίσκοπον". Ὁ δὲ λέγει αὐτοῖς· "Ἔξηχοι ὑμεῖς ἐστε· ἐκεῖνος γὰρ καὶ ὑμῶν καὶ ἐμοῦ ἀνώτερός ἐστιν". Καὶ εὐθέως ἐν σπουδῇ ἀναστὰς ἀπῆλθεν ἐν τῇ ἐκκλησίᾳ· ὁ δὲ μακάριος ἰδὼν αὐτόν, ἀναστῆναι μὲν οὐκ ἠδυνήθη, τὰς δὲ χεῖρας αὐτοῦ ἐξέτεινεν ἐπὶ τὸ ἔδαφος, καὶ οὕτως τὴν ὀφειλομένην αὐτῷ ἀπέδωκε τιμήν. Ὁ δὲ ἐπίσκοπος περισσοτέραν αὐτῷ τιμὴν προσήγαγεν λέγων· "Πάλαι μοι ἐπηγγείλατο ὁ θεὸς δεῖξαι τὸν δοῦλον αὐτοῦ, καὶ ὁ ἀψευδὴς τὰ εἰρημένα ἐπλήρωσεν. Σὺ δὲ ὅταν αὐλίζῃ ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ, καὶ τῆς ἐμῆς ψυχῆς μέμνησο, δέομαί σου". Ὁ δὲ ἀποκριθεὶς λέγει αὐτῷ· "Εὐλόγησόν με, πάτερ, καὶ εὔχου ὑπὲρ ἐμοῦ, ὅπως εὕρω παρρησίαν ἐν τῷ παρίστασθαί με τῷ φοβερῷ βήματι τοῦ Χριστοῦ". Καὶ εἰπὼν ταῦτα ἐπῆρεν τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν καὶ εἶπεν· "Εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου, κύριε." Καὶ κατασφραγισάμενος ὅλον τὸ σῶμα αὐτοῦ ἑκατέρωθεν λέγει τῷ ἐπισκόπῳ· "Παράθου με τῷ θεῷ, πάτερ". Καὶ τοῦτο εἰπών, μειδιῶντος τοῦ προσώπου αὐτοῦ, παρέδωκεν τὸ πνεῦμα αὐτοῦ τῷ κυρίῳ, τὸν δρόμον τελέσας, τὴν πίστιν τηρήσας, τοῦ προκειμένου στεφάνου τὴν ἐπαγγελίαν ἀπολαβὼν καὶ τῆς τῶν οὐρανῶν βασιλείας ἀξιωθείς. Τίς γὰρ μὴ θαυμάσειεν τοῦτον τὸν ἅγιον καὶ γενναῖον ἀθλητήν; τίς μὴ μακαρίσειεν τὸν τούτου ἀκαταγώνιστον δρόμον καὶ τὸν εὐπαρρησίαστον αὐτοῦ βίον; τίς μὴ διηγήσειε καὶ ἐκπλαγείη τὴν τούτου ἐνάρετον πολιτείαν, πῶς ἕως θανάτου καὶ πυρὸς ἠγωνίσθη ὑπὲρ τῆς σωτηρίας τῆς ψυχῆς αὐτοῦ; Ἀλλὰ καὶ τὸ μαρτύριον τῆς ἀθλήσεως αὐτοῦ αὐτὸς ἑαυτῷ ᾠκοδόμησε· μὴ παρόντος γὰρ διωγμοῦ, μήτε βασιλέως διώκτου, μήτε ἄρχοντος, αὐτὸς ἑαυτῷ τὸ μαρτύριον ᾠκοδόμησεν αὐτοπροσώπως, τῷ διαβόλῳ πολεμήσας καὶ καταπατήσας τὸ τούτου φρύαγμα· αὐτὸς λέγομεν ἑαυτοῦ καὶ διώκτης καὶ βασιλεὺς καὶ δήμιος αἰκίζων ἑαυτόν, καὶ μάρτυς ἀγωνιζόμενος, καὶ ἀθλητὴς στεφανούμενος, καὶ δίκαιος κηρυττόμενος. Καὶ γὰρ ὡς γενναῖος μάρτυς τοῦ πυρὸς κατεφρόνησεν· καὶ πάλιν, τὸ θαυμαστόν, αὐτὸς ἑαυτῷ ἀνάψας τὴν κάμινον καὶ διὰ τοῦ αἰσθητοῦ πυρὸς

14 Εἰς χεῖρας - πνεῦμά μου] cf. Luc. XXIII, 46, cf. Tim. 2, II, 7—8.

14 τὸν δρόμον - ἀξιωθείς] cf. Tim. 2, IV, 7—8.

*

τοῦ αἰωνίου πυρὸς κατεφρόνησεν· καὶ ἣν κατ' αὐτοῦ ἐξήγειρεν γυναῖκα ὁ διάβολος, ταύτην δι' εὐχῆς δούλην τοῦ θεοῦ ἀνέδειξεν καὶ τὴν ψυχὴν καθαρὰν προσήγαγεν τῷ θεῷ.

18. Ἀλλὰ δεῖ ἡμᾶς καὶ περὶ τῆς κόρης ἐκείνης τῆς καταλειφθείσης ἐπὶ τῆς πέτρας τῆς ἐν τῇ θαλάσσῃ, ποῖον τέλος αὕτη ἀπηνέγκατο καὶ πῶς τὸ πέρας τοῦ βίου ἀμέμπτως ἐτέλεσεν, διηγήσασθαι· καὶ γὰρ ἕνεκεν πάλιν ταύτης ἡ εὐχὴ τοῦ μακαρίου οὐκ ἔμεινεν ἄπρακτος, ἀλλ' εἰς τέλος ταύτην διεφύλαξεν. Καταλειφθεῖσα γὰρ αὕτη ἐπὶ τῆς πέτρας ἤσθιεν οὕτως, καθὼς ἐνετείλατο αὐτῇ ὁ μακάριος. Ἐλθὼν δὲ ὁ ναύκληρος, ὁ ἐπικομίζων τὸν ἄρτον καὶ τὸ ὕδωρ, καὶ ἐγγίσας τῇ πέτρᾳ καὶ ἰδὼν τὴν κόρην ἱσταμένην ἐνόμισεν φάντασμα εἶναι, καὶ φοβηθεὶς ἤρξατο ἐπαναχωρεῖν τῆς πέτρας κώπαις ἐλαύνων. Ἡ δὲ ἔλεγεν κράζουσα τῷ ναυκλήρῳ· "Μὴ φοβηθῇς, ἀδελφέ· γυνὴ γάρ εἰμι τῇ ἀληθείᾳ καὶ χριστιανή εἰμι. Ἔγγισόν μοι καὶ διηγήσομαί σοι τὸ δρᾶμα". Ἐκείνου δὲ ἐπὶ πλεῖστον ἀπιστοῦντος καὶ φοβουμένου, αὕτη διώμνυτο λέγουσα· "Μὰ τὸν βασιλέα Χριστόν, χριστιανή εἰμι· ἐλθὲ ἐγγύς μου καὶ διηγήσομαί σοι τὸ πρᾶγμα". Τότε προσήγαγεν τὸ πλοιάριον αὐτοῦ ὁ ναύκληρος καὶ λέγει αὐτῇ· "Ποῦ ἐστιν ὁ ἐνταῦθα μοναχός, ἢ τί γέγονεν αὐτῷ, ὅτι ἀνεχώρησεν; τίς δέ σε εἰσήγαγεν ἐνταῦθα"; Ἡ δὲ κόρη σφραγίσασα ἑαυτὴν διηγήσατο αὐτῷ τὰ συμβεβηκότα αὐτοῖς· ὁ δὲ ἀκούσας λέγει αὐτῇ· "Δεῦρο οὖν ἐξάξω σε ἐντεῦθεν, καὶ πορεύου εἰς τὴν πόλιν σου". Ἡ δὲ ἀποκριθεῖσα λέγει αὐτῷ· "Μή, παρακαλῶ σε, κύριέ μου, μὴ ἐκβάλῃς με ἐκ τῆς πέτρας ταύτης· ἀλλὰ ποίησον μετ' ἐμοῦ ἔλεος καὶ φιλανθρωπίαν, καὶ ἀπελθὼν εἰς τὴν πόλιν σου ἐπικόμισόν μοι βηρὶν καὶ στιχάριν τρίχινον, καὶ τὸν ἄρτον καὶ τὸ ὕδωρ, καθὼς ἀπεκομίζου τῷ μακαρίῳ, καὶ τὸν μισθὸν αὐτὸν λήψει παρὰ τοῦ δεσπότου Χριστοῦ· οὐ γὰρ ἔστι παρὰ τῷ θεῷ διάκρισις ἄρρενός τε καὶ θηλείας, καθὼς εἶπεν Παῦλος ὁ ἀπόστολος, ὅτι πάντες ὑμεῖς ἓν ἐστε ἐν Χριστῷ Ἰησοῦ. Μὴ οὖν βδελύξῃ με τὴν ἁμαρτωλόν, θέλουσαν σωθῆναι· εἰ μὴ γὰρ ὁ θεὸς ἠθέλησεν σωθῆναί με, μετὰ πάντων ἂν κἀγὼ ἀπωλόμην ἐν τῇ θαλάσσῃ. Θέλοντος οὖν τοῦ θεοῦ σῶσαί με, σὺ μὴ ἀπολέσῃς με, ὅτι γυνή εἰμι. Μνήσθητι ὅτι ὁ πλάσας τὸν

13 cod. κόπαις. 21 ἑαυτῆ. 30 Gal. iv, 28.

Ἀδὰμ καὶ τὴν Εὔαν ἔκτισεν, καὶ τοὺς ἀμφοτέρους αὐτὸς ἐδημιούργησεν, καὶ ἐπ' ἐσχάτου τῶν ἡμερῶν δι' ἁγίας παρθένου ἐφανερώθη. Δεῦρο οὖν, παρακαλῶ σε, πορεύθητι εἰς τὴν πόλιν σου, καὶ καθὼς προεῖπόν σοι ἐπικόμισόν μοι τὸ στιχάριν καὶ τὸ βηρίν, καὶ τὸν ἄρτον καὶ τὸ ὕδωρ καὶ ἐρέαν· καὶ τὴν γυναῖκά σου ἄγαγε ἐνταῦθα, ἵνα μετ' ἐκείνης ποιήσω τὸν λόγον τῆς ἐρέας, καὶ ἵνα ἐκείνη μεταμφιάσῃ με εἰς τὸ ἀνδρικὸν σχῆμα, καὶ κύριος ὁ θεός μου ἔσται μετὰ σοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, καὶ δώῃ σοι ἐν τούτῳ τῷ βίῳ ἔλεος καὶ ἄφεσιν ἁμαρτιῶν καὶ ἐν ἐκείνῳ παρρησίαν ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ".

19. Ταῦτα ἀκούσας ὁ ναύκληρος, καὶ ἰδὼν τὸν πόθον αὐτῆς τὸν πρὸς θεόν, λέγει αὐτῇ· "Ἰδοὺ ἐγὼ ποιῶ πάντα, ὥσπερ ἐνετείλω μοι· μόνον σὺ ἀνδρίζου καὶ ἴσχυε, καὶ κύριος πληρώσει τὴν ἐπιθυμίαν σου." Καὶ ταῦτα εἰπών, κινήσας τὸ πλοιάριον αὐτοῦ, ἐπορεύθη εἰς τὴν πόλιν αὐτοῦ, καὶ λαβὼν τὴν γυναῖκα αὐτοῦ τῇ δευτέρᾳ ἡμέρᾳ καὶ ὅσα ἐνετείλατο αὐτῷ παρεγένετο πρὸς τὴν κόρην, καὶ ἀνελθοῦσα ἡ γυνὴ προσεκύνησεν τὴν κόρην ἐπὶ πρόσωπον καὶ ἀνήνεγκεν πάντα ἐκ τοῦ πλοίου. Ἡ δὲ κόρη παρεκάλεσε τὸν ἄνδρα ἀναχωρῆσαι ἐν τῷ πλοιαρίῳ, ὅπως μεταμφιάσηται ἐν τῷ ἀνδρικῷ σχήματι. Ἀναχωρήσαντος δὲ αὐτοῦ, ἀποδυσαμένη τὰ γυναικεῖα ἱμάτια ἅμα καὶ τὴν γυναικείαν ἀσθένειαν, περιεζώσατο ἀνδρείαν φρόνησιν καὶ περιεβάλετο τὰ ἀνδρεῖα ἱμάτια, τό τε βηρὶν καὶ τὸ στιχάριν τὸ τρίχινον, καὶ στᾶσα ηὔξατο πρὸς κύριον λέγουσα· "Ὁ ἐπακούσας πάντων τῶν ἁγίων σου, κύριε, ἐπάκουσον καὶ ἐμοῦ τῆς ἁμαρτωλῆς, καὶ τελείωσόν με ἐν τῷ σώματι τούτῳ ἀκαταίσχυντον, καὶ διαφύλαξόν μου τὴν ψυχήν, καὶ στήριξόν μου τὴν καρδίαν, καὶ ἰσχυροποίησόν μου τὸ σῶμα, καὶ ὁδήγησόν μου τὸν νοῦν πρὸς εὐαρέστησιν τῶν σῶν ἐντολῶν, καὶ τοῖς τὴν ὑπακοήν μου ποιήσασι παράσχου, δέσποτα, τὸν ἄξιον μισθόν· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας". Καὶ λέγει πρὸς τὴν γυναῖκα· "Παρακαλῶ σε, κυρία, ἐν τῷ ἐπικομίζεσθαί μοι τὸν ἄρτον καὶ τὸ ὕδωρ μέλλεις καὶ ἐρέαν ἐπικομίζειν μοι, καὶ συναρτύσασα ἀποδώσω σοι, ἵνα μὴ δωρεὰν ἄρτον φάγω· τὰ δὲ ἱμάτιά μου λάβε αὐτὴ εἰς μνημόσυνόν μου". Καὶ ταῦτα εἰποῦσα ἀπέλυσεν αὐτοὺς μετ' εἰρήνης.

5 cod. αἰρέαν. 12 ἐνετείλο. 13 σοὶ. 27 ὠδήγησόν. 32 συναρτὴσασά.

20. Διὰ δὲ τριμήνου παρεγένοντο πρὸς αὐτὴν ὅ τε ναύκληρος καὶ ἡ γυνὴ αὐτοῦ ἀποκομιζομένη αὐτῇ τὰ πρὸς τροφήν, ἡ δὲ μακαρία ἦν ἀγαλλιωμένη ἐν τῇ ἀγαθῇ πολιτείᾳ· ἐποίει δὲ ἐν τῇ ἡμέρᾳ δώδεκα προσευχάς, ἐν δὲ τῇ νυκτὶ εἰκοσιτέσσαρας. Ἡ δὲ τροφὴ αὐτῆς ἦν ἐν ταῖς δυσὶν ἡμέραις λίτρα ἄρτου καὶ ὕδωρ βαυκάλιον ἕν, καὶ οὕτως τὸν δρόμον αὐτῆς ἐτέλεσεν ἐν ἀγαθῇ πολιτείᾳ· ἦν δὲ ὅταν εἰς τὴν πέτραν εἰσῆλθεν ἐτῶν εἰκοσιπέντε, ἔζησεν δὲ καὶ ἐν τῇ πέτρᾳ ἔτη ἓξ. Πρὸ δὲ δύο μηνῶν τῆς παρουσίας τοῦ ναυκλήρου καὶ τῆς γυναικὸς αὐτοῦ παρέδωκεν ἡ μακαρία Φωτεινὴ τὸ πνεῦμα αὐτῆς τῷ Χριστῷ, τὸν δρόμον τῆς ἀσκήσεως αὐτῆς τελέσασα ἐν ἀγαθῇ πολιτείᾳ, ὡς καὶ αὐτῷ τῷ ναυκλήρῳ ἀποκαλυφθῆναι τὰ περὶ αὐτῆς. Μετὰ δὲ τὸ πληρωθῆναι τὸν χρόνον τῶν δύο μηνῶν παρεγένετο ὁ ναύκληρος μετὰ τῆς γυναικὸς αὐτοῦ, καὶ εὗρον αὐτὴν τελειωθεῖσαν καὶ εὐσχημόνως ἀνακειμένην καὶ τὰς χεῖρας σταυροειδῶς ἔχουσαν, ὡς νομίσαι αὐτοὺς ὅτι καθεύδει. Προσελθόντες δὲ εὗρον αὐτὴν τεθνεῶσαν (ἦν δὲ τὸ πρόσωπον αὐτῆς ὥσπερ ἄνθος πρωϊνόν), καὶ προσκυνήσαντες τὸ τίμιον καὶ ἅγιον αὐτῆς λείψανον, λαβόντες εἰς τὸ πλοιάριον καὶ ἀπενέγκαντες εἰς τὴν πόλιν Καισαρείας, ἀνήγγειλαν τῷ ἐπισκόπῳ τὸν ταύτης ἐνάρετον βίον. Ἐκέλευσεν οὖν ὁ ἐπίσκοπος ἐν τόπῳ ἐπισήμῳ ταφῆναι αὐτὴν μετα λαμπάδων καὶ ὕμνων εἰς δόξαν θεοῦ παντοκράτορος καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

VI.

Μηνὶ τῷ αὐτῷ ιγ'.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΜΑΡΤΙΝΙΑΝΟΥ.

1. Καισαρείας ἔγγιστα τῆς Παλαιστίνης ὄρος ἐστὶ καλούμενον Κιβωτοῦ Τόπος. Τούτῳ τῷ ὄρει καὶ ἔρημος παράκειται πολλοῖς καὶ καλοῖς ἀνδράσιν ἀνθοῦσα, ὧν εἷς καὶ ὁ θεῖός ἐστι Μαρτινιανός, ὃς ἐκ νέου τὸν θεὸν ἀγαπήσας τὴν ἔρημον ταύτην ὀκτωκαίδεκα μὲν ἐτῶν γενόμενος εἰσέρχεται· ἓξ δὲ πρὸς τοῖς εἴκοσι χρόνοις οἰκήσας αὐτήν, πᾶν μὲν εἶδος ἀρετῆς κατώρθωσε, πᾶσαν δὲ νόσον ἀνθρωπίνην ἰάσατο, οὐ σωμάτων μόνον ἀλλὰ δὴ καὶ ψυχῶν ἰατρὸς ἄριστος γεγονώς. Ἔνθεν τοι καὶ πλῆθος αὐτῷ πειρασμῶν οὐ διέλειπεν ἐπεγείρων ὁ πονηρός, ὧν ἓν ἐν βραχεῖ διηγήσομαι.

2. Ψάλλοντός ποτε τοῦ ὁσίου, δράκων ὥσπερ ὁ ἀπατεὼν γενόμενος, τὴν οἰκίαν ἐν ᾗ καὶ ἔψαλλεν ὁ ἅγιος ὑπελθών, μέρος τι τοῦ θεμελίου ὑποσπᾶν ἤρξατο, ὡς ἂν φόβον ἐπισείσῃ τούτῳ καὶ λογισμοὺς δειλίας ἐμβάλῃ. Ἐπεὶ δὲ ὁ ὅσιος ἀκατάπληκτος ἦν, τέλος αὐτῷ ἤδη τοῦ ψαλμοῦ ἔχοντος, παρακύψας ἀπὸ τῆς θυρίδος "Τί ματαίως κάμνεις" φησὶ πρὸς αὐτόν, "ἄθλιε, ἕρπων ὥσπερ δή σοι προσῆκον ἐπὶ τῆς γῆς; ἐμοὶ γὰρ τὸ πτοεῖσθαί σου τὰς φαντασίας ἴσόν ἐστι τῷ δι' ὀνείρων πλήττεσθαι". Ἤκουσε

Codex Mosquensis $\frac{183}{\text{CLXXXIV}}$, s. XI, fol. 50^{b}—58^{b}.

9 cod. κατόρθωσε. 12 διέλιπεν. 21 τῷ] τὸ.

ὁ ἐχθρὸς καὶ εὐθὺς ὡς λαῖλαψ φυγὼν ἀφανὴς γίνεται, "Μεῖνόν με" λέγων "αὐτός, μεῖνον, καὶ ὀργὴν ἐπάξω σοι, πρὸς ἣν ἀντισχεῖν οὐ δυνήσῃ· ἀλλὰ καὶ τοῦ οἰκίσκου τούτου τάχος ἐκφυγεῖν σε παρασκευάσω". Ὁ μὲν οὖν φεύγων ἔλεγε ταῦτα, ὁ δὲ μακάριος οὐδὲν τῶν εἰρημένων (ἀκούσας) ἐπιστραφεὶς ἡσυχίαν ἦγε, ταῖς θείαις ἐνηδόμενος τῶν Γραφῶν ἀναγνώσεσιν.

3. Ὁ μέντοι πονηρὸς ὡς ἀεὶ πονηρὸς ἦν καὶ ἔτι, καὶ τί ποιεῖ; Ὀδυόντων ποτέ τινων καὶ μνήμην ποιουμένων περὶ τῶν τοῦ ὁσίου κατορθωμάτων, γυνή τις προσεῖχε τοῖς λεγομένοις· ἥτις καὶ γλῶσσα καὶ στόμα τῷ πονηρῷ γενομένη, "Τίς οὗτος", φησὶ πρὸς αὐτούς, "ὁ παρ' ὑμῶν θαυμαζόμενος, ὃς ἐμοῦ βουληθείσης ῥᾳδίως καταβληθήσεται; τί γὰρ καὶ μέγα ποιεῖ; Καθεῖρξεν ἑαυτὸν καὶ σωφροσύνην ἔχειν μεγαλαυχεῖ, καυχήσεται τοίνυν καὶ χόρτος δίχα πυρὸς ἄκαυστος συντηρούμενος. Εἰ οὖν ἐγὼ προσελθοῦσα τούτῳ ἀπαθὴς μείνοι, τότε πεισθήσομαι καλῶς λέγειν ὑμᾶς καὶ πολλοῖς στέψω τὸν ἄνδρα τοῖς ἐγκωμίοις". Οὕτως εἰποῦσα καὶ συνθήκας πρὸς τοὺς ἄνδρας ποιησαμένη, εὐθὺς ὡσεὶ ξυρὸν ἠκονημένον ποιεῖται τὸν δόλον· ῥυπαρὰ γὰρ ἐνδῦσα καὶ τὸν κόσμον αὐτῆς ἐν μαρσηπίῳ θεμένη, καὶ τοῦτον οὕτω λαβοῦσα πρὸς τὸ ὄρος ἀνῆλθεν, ὅπου δὴ καὶ ὁ ἅγιος ἦν, νυκτὸς ἐπιγενομένης, ὄμβρων τε ἰσχυρῶς καταφερομένων καὶ ἀνέμων χαλεπῶν ἐμπνεόντων. Ἤδη δὲ πλησίον αὐτοῦ γενομένη, ἐλεεινὰς ἠφίει φωνάς, "Ἐλέησόν με" λέγουσα, "δοῦλε τοῦ θεοῦ, ἐλέησον τὴν ἠπορημένην καὶ βρῶμα προκειμένην ἤδη θηρίοις· πεπλάνημαι γὰρ ἡ ταλαίπωρος τῆς ὁδοῦ καὶ οὐκ οἶδα ποῦ καὶ πορεύσομαι. Μὴ τοίνυν ἀπώσῃ με τὴν ἐλεεινήν, μὴ βδελύξῃ τὴν ἁμαρτωλόν, ἐπεὶ κἀγὼ πλᾶσμα θεοῦ· εἰ γάρ με παρίδῃς, θηρίοις ἔσῃ ψυχὴν προδιδοὺς καὶ τὸ κρῖμα ἔσται δικαιόν σου τὴν ψυχήν".

4. Τοιαῦτα λεγούσης μετὰ δακρύων, προκύψας διὰ θυρίδος ὁ ὅσιος καὶ οὕτως ἔχουσαν ἐλεεινῶς κατιδών, πλήττεται τὴν ψυχήν, "Οἴμοι" λέγων καθ' ἑαυτόν, "τί πράξω; Εἰ μὲν μὴ εἰσενέγκω ταύτην, θηρίοις βρωθήσεται· εἰσαγαγὼν δὲ φοβοῦμαι, μήποτέ μοι βόθρον ὁ ἐχθρὸς ὀρύξῃ δι' αὐτῆς". Εἶτα καὶ πρὸς τὸν θεὸν "Ἐπὶ σοί, κύριε, ἤλπισα" ἔφη· "μὴ καταισχυνθείην

1 ἀκούσας inserui. 8 τινῶν. 17 ὡσεὶ ξυρὸν ἠκονημένον] Psalm. LI, 4.

εἰς τὸν αἰῶνα, ἀλλὰ σῶσόν με κατὰ τὸ σὸν θέλημα καὶ σκέπασον, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν". Οὕτως εἰπὼν διανοίγει τὴν θύραν, καὶ εἰσαγαγὼν αὐτὴν καὶ πυρὰν καύσας, "Γύναι" φησί, "θερμαίνου". Ἐνεγκὼν δὲ καὶ φοίνικας καὶ παρασχὼν αὐτῇ (δύο γὰρ ἔξωθεν τῆς αὐτοῦ κέλλης ἵσταντο φοίνικες), "Φάγε" λέγει "καὶ μεῖνον ἐνταῦθα, καὶ φρόντισον ἑαυτῆς". Οὕτως εἰπών, ἐάσας αὐτήν, εἰς τὸ ἐνδότερον κελλίον εἰσῆλθεν, καὶ εὐξάμενος ὕπνῳ δέδωκεν ἑαυτόν, στρωμνῇ ψιλῷ τῷ ἐδάφει χρώμενος, ὥσπερ ἦν εἰθισμένον αὐτῷ.

5. Ταύτης δὲ τῆς νυκτὸς ἐκείνη διεγερθεῖσα, κοσμεῖ ἑαυτὴν καὶ καλλωπίζει πρὸς τὸ κλέψαι τὸν ἅγιον· ἐκεῖνος δὲ λογισμοῖς ὀχληθεὶς τῆς σαρκὸς καὶ διαναστάς, ὡς ἂν ἐκβάλοι τὸ γύναιον καὶ οἴκαδε παραπέμψοι, ταύτην οὕτως ἔχουσαν κεκαλλωπισμένην ἰδών, "Τί ταῦτα, ὦ γύναι"; φησί. "Τίς ἡ παρ' ἐλπίδα μετάθεσις αὕτη"; Ἡ δὲ παραχρῆμα πρὸς τὸ ἑταιρικὸν καὶ ἐπαγωγὸν ἑαυτὴν καταστήσασα, "Ἐγώ" φησι "ἐκ τῆς πόλεως εἰμι Καισαρείας τῆς Παλαιστίνης· ἀκούσασα δὲ περὶ τῆς σῆς νεότητος καὶ τοῦ κάλλους, πάντων ἀφεμένη τῶν ἄλλων ἑνὸς ἐγενόμην μόνου, τοῦ σὲ τὴν ἐμὴν ὄντως ἰδεῖν καὶ ψυχὴν καὶ πνοήν, καὶ τοῦ σοῦ κάλλους καὶ τῆς ἡδίστης κατατρυφῆσαι νεότητος. Τί δέ σοι καὶ ἡ πολλὴ αὕτη βούλεται νηστεία εἰς μαρασμὸν κάλλους τοιούτου καὶ ὡραιότητος; ποία δὲ καὶ γραφὴ λέγει μὴ φαγεῖν, μὴ πιεῖν, μὴ γυναικὶ συναφθῆναι; Τίς τῶν προφητῶν ἢ πατριαρχῶν οὐκ ἔζευκται γυναικί; τίς δὲ καὶ ζευχθεὶς βασιλείας οὐρανῶν γέγονεν ἔκπτωτος; οὐχὶ Ἐνώχ, οὐχ Ἀβραάμ, οὐκ Ἰακώβ, οὐχὶ Μωσῆς ὁ μέγας γυναιξὶν ὁμιλήσαντες μεγάλοι τυγχάνουσι καὶ φίλοι θεῷ; Τί δὲ ὁ θεῖος Δαυίδ; τί δὲ ὁ λοιπὸς τῶν ἁγίων χορός, ἵνα μὴ καὶ Πέτρον εἴπω τὸν κορυφαῖον; οὐχὶ καὶ αὐτοὶ γάμου κοινωνήσαντες καὶ παίδων ὀφθέντες πατέρες, εἶτα καὶ βασιλείας οὐρανῶν λαμπρῶς ἠξιώθησαν"; Οὕτω λέγουσα (καὶ γὰρ εἶχε τὸν πονηρὸν ἐνηχοῦντα) καὶ χεῖρας ἐκείνου τρίβουσα καὶ ῥήμασι κολακεύουσα, τὸν πύργον αὐτοῦ τῆς ψυχῆς διασαλεύειν ἤρξατο.

6. Προσσχὼν οὖν αὐτῇ Μαρτινιανός, "Καὶ εἰ λάβω σέ" φησι "εἰς γυναῖκα, ποῦ πορευσόμεθα καὶ πῶς ἄν σε διαθρέψω";

14 cod. παρελπίδα. 17 ἀκούσας.

Ἡ δὲ πρὸς αὐτὸν "Τί σοι τούτων φροντις"; ἔφη· "σὺ μίαν μοι λῦσον ἐπιθυμίαν, δι' ἣν ἐγὼ παραγέγονα, ἐγὼ δέ σοι περὶ τούτων ἀφρόντιδα θήσομαι· εἰσὶ γάρ μοι καὶ οἰκίαι καὶ κτήματα καὶ χρυσός, παῖδές τε καὶ παιδίσκαι, ὧν πάντων κύριον καταστήσω σε καὶ δεσπότην, εἰ μόνον ἀπολαύειν ἔχω κάλλους τοσούτου καὶ γλυκύτητος ὀφθαλμῶν". Ταῦτα λεγούσης, χαλεπὴ πύρωσις εἰσῄει τὸν ἄνδρα καὶ πρὸς τὴν ἁμαρτίαν ὅλως αἰχμάλωτος ἤγετο. Ἀλλὰ μὴ φοβηθῇς, ἀγαπητέ· φθάνει γὰρ ὁ ἀγαθὸς καὶ χεῖρα ὀρέγει, καὶ ὁ τρόπος ὡς θαυμαστός. Ἐν τοσούτῳ γὰρ ὑπολαβὼν ὁ γενναῖος, "Μεῖνον, ὦ γύναι", φησί· "καὶ γὰρ εἰώθασί τινες φοιτᾶν πρὸς ἡμᾶς ὠφελείας χάριν. Ἐξελθὼν οὖν διασκοπήσω τὰς ὁδούς, ἵνα μή τις ἡμᾶς καταλάβοι καὶ γελασθῶμεν· εἰ γὰρ καὶ θεὸν κρύψαι τὴν ἁμαρτίαν οὐ δυνατόν, ἀλλ' οὖν γε σπεύσωμεν ἀνθρώπους λαθεῖν".

7. Ἐξιὼν οὖν περιέβλεπε τὰς ὁδούς, καὶ ὁρῶντα βλέπει τοῦτον ὁ θεός, καὶ τὴν καρδίαν αὐτοῦ μεταβάλλει, καὶ μετάνοιαν τῶν ἐντεθυμημένων εἰσάγει. Τοίνυν καὶ καταβὰς ἀπὸ τῆς πέτρας καὶ φρύγανα συλλεξάμενος, πῦρ τε τούτοις ὑφάψας, ὑπολυσάμενος τὰ σανδάλια, κατὰ μέσης εἰσῆλθε τῆς ἀρθείσης φλογός, φλέγων ὡσανεὶ τοὺς πονηροὺς λογισμούς. Ἱκανῶς οὖν καταφλεχθεὶς καὶ τοὺς πόδας ἀλγήσας ἔξεισι τοῦ πυρός, καὶ ὥσπερ ἐγκαλῶν ἑαυτῷ καὶ διαμαχόμενος, "Τί σοι δοκεῖ, Μαρτινιανέ"; λέγει. "Καλῶς ἔχει σοι τὰ τῆς καύσεως; φέρεις τοῦ πυρὸς τοῦδε τὴν κόλασιν; Εἰ δυνατόν σοι φέρειν, πρόσελθε καὶ τῇ γυναικί, δι' ἧς ὁ πονηρὸς τὸ ἄσβεστόν σοι πῦρ προξενεῖ καὶ τὸν σκώληκα τὸν ἀκοίμητον καὶ τὰς ἄλλας ὀδύνας ἐκείνας". Ταῦτα δὲ καὶ εἰς ὦτα τῆς γυναικὸς λεγόμενα εἶπεν. Ἐπεὶ δὲ μικρὸν ἀνείθη, πάλιν τὸ πῦρ ὑποτρέχει καὶ φλέγεται δεινῶς, καὶ τὸν πόνον μὴ ἐνεγκὼν ἔξεισι, καὶ μέσης αὐτῆς ἐκ καρδίας στενάζει τῇ γῇ προσκαταβληθείς, "Σύγγνωθί μοι" λέγων, "Χριστέ, σύγγνωθι, καὶ ἄφες τὸ πρὸς ἁμαρτίαν ὁρμημα τῆς ψυχῆς· οἶδας γάρ, οἶδας ὅτι σὲ μόνον ἠγάπησα, βασιλεῦ, καὶ σοῦ χάριν ἐμαυτὸν τῷ πυρὶ παραδέδωκα". Οὕτως ηὔξατο ἐπὶ γυμνοῦ κείμενος τοῦ ἐδάφους, ἵστασθαι γὰρ ὑπὸ τῆς καύσεως οὐκ ἠδύνατο· ἔψαλλε δὲ καὶ οἰκεῖον ψαλμόν,

29 cod. πρὸς καταβληθείς.

"Ὡς ἀγαθὸς" λέγων "ὁ θεὸς τῷ Ἰσραήλ, ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες· παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου".

8. Τούτων ἀκούσασα ἡ γυνὴ καὶ τῷ πραχθέντι νοῦν ἐπιστήσασα, ἀναστᾶσα τὸ τάχος καὶ τὸν κόσμον ἐκεῖνον ἀποβαλοῦσα, δακρύων ἠφίει πηγάς, "Μὴ μνησικακήσῃς ἐπ' ἐμοὶ" λέγουσα, "πάτερ. Οἶδας τὸ πολυμήχανον τοῦ πονηροῦ, εὖξαι ὑπὲρ ἐμοῦ τῆς ἀθλίας. Καὶ τοῦτο γίνωσκε, ὡς τὸ ἀπὸ τοῦδε οὔτε πόλις ἐμὴ οὔτε οἰκία με ὄψεται, ἀλλὰ σοὶ παρατίθημι καὶ σῶμα ἤδη καὶ τὴν ψυχήν· σπεύσω γάρ, τῆς σῆς εὐχῆς βοηθούσης μοι, παίγνιον ἀποδεῖξαι τὸν πονηρὸν καὶ τὴν ἐμὴν ὅλῃ προθέσει σῶσαι ψυχήν". Ταῦτα λεγούσης καὶ τὸ δάκρυον ἀπέσταζε τῶν ὀμμάτων, τὴν μετάνοιαν πάντως πιστούμενον". Ὁ δὲ ὅσιος "Κύριός ὁ θεός μου συγγνώσεταί σοι τῆς ἁμαρτίας" εἶπεν, "ὦ γύναι· πορεύου τὸ λοιπὸν ἐν εἰρήνῃ, μὴ ἐπιλανθανομένη τῶν συνθηκῶν". Κἀκείνη "Ποίαν δὲ τὴν ὁδὸν" ἔφη "πορεύσομαι"; Καὶ ὃς "Εἰς Ἱεροσόλυμα" φησὶ "καὶ πρὸς τὴν ἁγίαν Βηθλεὲμ συμφέρει σοι κατελθεῖν, ἔνθα παρθένον ἁγίαν, ὄνομα Παῦλαν, ζητῆσαι δεῖ. Ταύτῃ τὴν ὑπόθεσιν ἐξαγόρευσαι καὶ πολλῆς μεθέξεις τῆς ὠφελείας".

9. Τοῦτο ἐπεὶ ἤκουσεν ἡ γυνή, προσκύνησιν αὐτῷ προσάγει καὶ ἀξιοῖ δέεσθαι ὑπὲρ αὐτῆς· ὁ δὲ μόλις διαναστάς (δυσφόρως γὰρ εἶχε διὰ τὰς πληγάς), καὶ φοίνικας αὐτῇ δοὺς ὀλίγους, βραχὺ τῆς ὁδοῦ παραμύθιον, "Πορεύου" λέγει, "πορεύου, γύναι", τὴν ὁδὸν ὑποδείξας, "καὶ σῴζουσα δὴ τὴν ἑαυτῆς σῷζε ψυχήν, μετανοούντων γὰρ ὁ θεός". Τούτων λεγομένων, ἐκείνη τὸν κλαυθμὸν ἐπιτείνουσα, "Ἐλπίζω εἰς Χριστὸν" ἔφη, "πρὸς ὃν καὶ ἔθνη ἤλπισαν καὶ οὐ κατῃσχύνθησαν, ὅτι τὸ λοιπὸν μερὶς τῷ ἀντικειμένῳ ἐν ἐμοὶ οὐκ ἔσται". Οὕτως εἰποῦσα καὶ τὸν θεῖον προσκυνήσασα Μαρτινιανὸν ὁδοῦ εἶχετο· ὁ δὲ τῷ σημείῳ τοῦ σταυροῦ σφραγίσας αὐτὴν καὶ σωτηρίαν αὐτῇ ἐπευξάμενος, εἰσῄει τὴν κέλλαν, καὶ βαλὼν ἑαυτὸν εἰς ἔδαφος βάρει στεναγμῶν κατετείνετο καὶ θερμότερον ηὔχετο.

10. Ἡ μέντοι γυνὴ πορευομένη, ὅ φησιν ἡ θεία Γραφή, ἐπορεύετο κλαίουσα, καὶ δακρύων σπέρματα καταβάλλουσα διὰ τὸν μετ' εὐφροσύνης ἔσχατον θερισμόν, εἶτα φθάνει καὶ τὴν Βηθλεὲμ

1 Ὡς ἀγαθὸς - διαβήματά μου] Psalm. LXXII, 1—3 || τῷ] cod. τῶν; cf. p. 91, 9. 25 ἤλπισαν - κατῃσχύνθησαν] Psalm. XXI, 6.

καὶ τῷ μοναστηρίῳ Παύλας τῆς παρθένου προσέρχεται, ᾗ καὶ τὰ τῆς ὑποθέσεως (ὡς ἡ ἐντολὴ τοῦ ὁσίου) πάντα κατὰ μέρος εἰποῦσα, ὑποδέχεται καλῶς παρ' αὐτῆς καὶ προνοίας ψυχικῆς ἅμα καὶ σωματικῆς ἀξιοῦται. Τοσοῦτον οὖν πρὸς τοὺς ἀσκητικοὺς ἀγῶνας ἑαυτὴν κατέτεινεν, ἵνα συντόμως εἴπω, ὡς μὴ μόνον ἄφεσιν ἁμαρτιῶν αὐτῇ προσγενέσθαι, ἀλλὰ καὶ χάριν ἰαμάτων δοθῆναι. Γυνή γάρ τις τοὺς ὀφθαλμοὺς ἀλγοῦσα, καὶ λίαν ὀδυνηρῶς, εἰσῆλθε τὸ μοναστήριον, ἡ δὲ μακαρία Παῦλα προσευχὴν ἐπιτάττει θεῷ ταύτην προσενεγκεῖν ὑπὲρ τῆς πασχούσης· τῆς δὲ τοῦτο ποιησαμένης, ὑγιαίνοντες ἦσαν οἱ πάσχοντες ὀφθαλμοί, καὶ ἡ τυχοῦσα τῆς θεραπείας τῷ βίῳ ἀποταξαμένη τὴν κόμην εὐθὺς ἀποκείρεται καὶ ταῖς λοιπαῖς συναριθμεῖται τῆς μονῆς γυναιξίν. Ἡ τοίνυν θαυμασία ἐκείνη γυνή, ἡ ποτὲ φαύλη καὶ μοχθηρά, χαίρω γὰρ μετανοίας ἰσχὺν μανθάνων, ἅτε δὴ καὶ αὐτὸς ἁμαρτίαις ἀμέτρως ἔνοχος ὤν, δύο πρὸς τοῖς δέκα χρόνοις ἐν τῇ μονῇ ζήσασα τελευτᾷ τὸν βίον, μὴ οἴνου μετασχοῦσα, μὴ ἐλαίου, μὴ σταφυλῆς ἢ ἄλλης τῶν ὀπωρῶν, ἀλλ' ἢ μόνον ἄρτου καὶ ὕδατος, καὶ ταῦτα διὰ τὴν ἀνάγκην τῆς φύσεως. Οὕτως ἡ γενναία τὸ προλαβὸν διέλυσε σκότος, οὕτω περιφανῶς τὸν πτερνίσαντα ἤττησεν.

11. Ἀλλ' ἐπὶ τὸν μακάριον Μαρτινιανὸν αὖθις ἰτέον καὶ διηγητέον ὁποίῳ τέλει καὶ οὗτος τὸν βίον κατέλυσεν. Εἴσω μὲν ἑβδόμου μηνὸς ἀδυνάτως εἶχε βαδίζειν ἐλευθερίως διὰ τὰς ἐκ τῶν πληγῶν ὀδύνας· ἐπεὶ δὲ μετρίως ἰάθησαν, διελογίζετο ὅπως δὴ καὶ ἐν ποίῳ μεταβήσεται τόπῳ γυναιξὶν ὅλως ἀβάτῳ. "Εἰ μὴ γάρ" φησι "τοῦτο γένηται, οὔμενουν ἐλεύθερος ἔσομαι τῶν τοῦ ἀντικειμένου βελῶν". Διὸ καὶ δέεται τοῦ θεοῦ πρὸς τὴν φέρουσαν εἰς ζωὴν αὐτὸν ὁδηγῆσαι ὁδόν. Οὕτως εἰπὼν καὶ τῷ σημείῳ τοῦ σταυροῦ φραξάμενος ἐξῆλθὲ τοῦ κελλίου καὶ πρὸς τὴν θάλασσαν ὥρμησεν· ὡς δὲ αὐτὸς ἐξήρχετο, φωνὴν ὁ δαίμων ἀφῆκεν, "Ἀνδριζέσθωσαν αἱ δυνάμεις μου" λέγων "καὶ εἴη τὸ ὄνομά μου λαμπρόν, ἐπεὶ καὶ ἴσχυσα κατ' αὐτοῦ· ἰδοὺ γὰρ καὶ πυρὶ κατέφλεξα καὶ τῆς κέλλης αὐτὸν ἀπήλασα καὶ φυγάδα κατέστησα". Καὶ προσθείς, "Ποῖ φεύγεις, Μαρτινιανέ"; λέγει· ""Οπου δ' ἂν ἀπέλθῃς, καὶ αὐτὸς ἐλεύσομαι, κἀκεῖθεν τάχος σε ἐκδιώξω, καὶ οὐκ ἀποστήσομαί σου, ἄχρις ἂν καὶ εἰς τέλος σε

ταπεινώσω". Πρὸς ταῦτα ὁ ὅσιος· "Ἀλλὰ σὺ δοκεῖς, ἀσθενέστατε, τῆς κέλλης με διώκειν; μή σοι εἴη τοῦτο εἰς καύχημα, μοχθηρέ· ἀφίσταμαι γὰρ ἑκών, ἵνα σου καταβάλω τὸ φρύαγμα. Ὅρα δὲ ὅπως καὶ ὁ παρεσκεύασας κατ' ἐμοῦ ἐργαστήριον, θεῷ προσήνεγκα, καὶ νῦν ἐκείνη σε ἴσα καὶ πηλῷ νομίζει· σὺ δὲ ἀλλ' οὐδὲ σκιᾶς αὐτῆς ὅλως ψαῦσαι τολμᾷς". Ταῦτα τοῦ ὁσίου λέγοντος, ὁ διάβολος φυγῇ τε ἐχρῆτο καὶ ἀπιὼν ᾤχετο.

12. Ὁ μέντοι μακάριος κατέψαλλεν αὐτοῦ λέγων· "Ἀναστήτω ὁ θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ" καὶ τὰ λοιπὰ τοῦ ψαλμοῦ· ὡς δὲ ἤδη τοῦ λιμένος ἐντὸς ἦν, ἐντυγχάνει ναυκλήρῳ φοβουμένῳ τὸν Κύριον, καὶ πρὸς αὐτόν· "Ἔστι σοί τις, ἀδελφέ, τῶν νήσων εἰς γνῶσιν, ἢ μέσον που κεῖται θαλάσσης, οὐδένα ἔχουσα τὸν οἰκοῦντα"; Ὁ δὲ "Καὶ ὅτου χάριν ἐρωτᾷς" ἔφησε "περὶ τοῦδε"; Καὶ ὁ δίκαιος "Ἡσυχίας ἔρως μέ" φησιν "εἵλε καὶ ἡ τοῦ κόσμου τούτου φυγή". Καὶ ὁ ναύκληρος· "Ἔστι πέτρα τις στενὴ μὲν καὶ ὑψηλή, πολλῷ τῆς γῆς ἀπέχουσα διαστήματι· τῷ γὰρ ἔγγιστα αὐτῆς γινομένῳ ἡ γῆ τὸ παράπαν οὐ θεατή". Καὶ ὁ ἅγιος· "Πάνυ σφόδρα με τοιοῦδε τόπου εἶχεν ἐπιθυμία, καὶ μάλιστα ὅτι καὶ ἄβατος εἶναι δι' ὅλου γυναικὶ δύναται". — "Πόθεν δέ σοι", ὁ ναύκληρος ἔφη, "τὰ πρὸς τροφὴν ἔσται"; Καὶ ὁ ὅσιος· "Σύ μοι τὰ πρὸς τὸ ζῆν ἔσῃ παρέχων, ἐγὼ δέ σοι πρεσβεύων τὰ πρὸς θεόν· πλὴν ἀλλ' εἴ μοι καὶ βαΐα φοινίκων κομίσεις, διὰ τῶν ἐκ τούτων ἔργων ἔξω τὰς πρὸς τὸ ζῆν ἀφορμάς· κομίσεις δέ μοι καὶ κεράμια, ἐν' οἷς τὸ ὕδωρ μοι φυλαχθήσεται. Ἐλεύσῃ δὲ τοῦ ἐνιαυτοῦ δὶς ἢ καὶ τρίτον αὐτός, τὸ ὕδωρ μετακομιζόμενος ἡμῖν καὶ τὸν ἄρτον".

13. Ἐπεὶ τούτων ὁ ναύκληρος ἤκουσε, γνοὺς εἶναι τὸν ἄνδρα πνευματικόν, ἐπένευσε ποιεῖν πάντα σὺν προθυμίᾳ. Ἐμβιβάσας τοίνυν αὐτὸν ἔν τινι πλοίῳ, ἄχρις ἑσπέρας τὴν πέτραν πεφθάκασι, πρὸς ἣν χαίρων ὁ μέγας ἀνέβη καὶ ἔψαλλεν· "Ὑπομένων ὑπέμεινα τὸν κύριον καὶ προσέσχε μοι, καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου". Καί φησι πρὸς τὸν ναύκληρον· "Ἀλλ' αὐτὸς ἄπιθι μετ' εἰρήνης, κομίσεις δέ μοι

8 Ἀναστήτω etc.] Psalm. LXVII, 1, 2. 24 ἐν οἷς] cod. ἐφοῖς. 30 Ὑπομένων - διαβήματά μου] Psalm. XXXIX, 1—3.

τά τε κεράμια καὶ τὸν ἄρτον, ἀδελφέ, καὶ τὸ ὕδωρ". Ὁ δὲ "Ἀλλ' εἰ βούλει" φησὶ "καὶ ξύλα, δι' ὧν ἄρα σοι καὶ σκηνὴν ποιήσομαι". Καὶ ὃς οὐκ ἐπένευσεν, ἀλλ' ἔμενεν οὕτως ἀνέμοις ἔκδοτος καὶ ἡλίῳ καὶ ὑετῷ. Πλὴν ἀλλ' ὁ μὲν ναύκληρος ἀπελθὼν πάντα διακομίζεται, καὶ τοῦτο δὴ τρίτον τοῦ ἐνιαυτοῦ διετέλει ποιῶν· ὁ δὲ ὅσιος γαλήνης μεστὸν ἦγε βίον καὶ ἡδονῆς πληρούμενον τῆς κατὰ θεόν.

14. Τῷ μέντοι πονηρῷ δαίμονι πάλιν αἱ ἐπιβουλαὶ κατ' αὐτοῦ συσκευάζονται, καί ποτε νυκτὸς ὁ πανοῦργος τὴν θάλασσαν συνταράξας κύματα διήγειρε, πήχεσι πεντεκαίδεκα τῆς κεφαλῆς ὑπερφερόμενα τοῦ ὁσίου, ἐβόα τε μέγιστον· "Ἄλλα νῦν σε, Μαρτινιανέ, τοῖς ὕδασιν ἀποπνίγω". Καὶ ὁ ἅγιος "Εἰς κενόν σοι τὰ τῆς μηχανῆς" ἀντεφθέγξατο· "ἔχω γὰρ τὸν ἐνισχύοντά με Χριστόν, δι' οὗ καὶ εἰς τέλος καταισχυνῶ σε". Καὶ εὐθὺς ὁ ψαλμὸς ἐπὶ στόματος· "Σῶσόν με ὁ θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου" καὶ τὰ λοιπὰ τοῦ ψαλμοῦ. Εἶτα καὶ ηὔξατο, "Χριστὲ" λέγων "μονογενῆ, ὁ διὰ τὰς ἡμῶν ἁμαρτίας ἐπὶ γῆς κατελθών, ἐπάκουσόν μου καὶ λῦσον τὸν ἐπιόντα μοι πειρασμόν". Οὕτως εὐξαμένου, ὁ μὲν ἐχθρὸς ἀφανὴς ἦν, ὁ δὲ ὅσιος ἔμεινεν ἀβλαβής.

15. Ἐξ διῆλθον ἐνιαυτοὶ καὶ ἕτερον αὐτῷ πειρασμὸν πάλιν ὁ ἐχθρὸς ἐπανίστησι, τοῦ προτέρου βαρύτερον. Πλοῖον γὰρ τὸν τόπον διιόν, ἀνδρῶν πλῆρες καὶ γυναικῶν, ἀνέμῳ τινὶ βιαίῳ προσαράσσει σφοδρῶς ὁ κακοῦργος τῇ πέτρᾳ καὶ αὐτὸ μὲν συνέτριψε, τοὺς ἐπιβάτας δὲ τοῖς ὕδασιν ἐναπέπνιξε. Μία δέ τις κόρη τὸ κάλλος ὑπερφυής (ὦ τῶν τεχνῶν σου τῶν σκολιῶν, πονηρέ), σανίδος ἐπιλαβομένη μιᾶς, τῇ πέτρᾳ προσῆλθε καὶ βοᾶν ἤρξατο· "Ἐλέησόν με, δοῦλε τοῦ θεοῦ· ὄρεξον χεῖρα, πρόφθασον· ἤδη γὰρ ὁ βυθός με λαμβάνει". Ἰδὼν οὖν ὁ μακάριος ὡς ἐπὶ ξυροῦ ἡ ἀπώλεια, ὑπομειδιάσας, "Καὶ τοῦτο τέχνη" ἔφη "σή, πονηρέ· ἀλλ' οὐ νικήσεις αὐτὸς τὴν δύναμιν τοῦ Χριστοῦ". Εἶτα κατελθὼν καὶ πρὸς οὐρανὸν ἀποβλέψας, "Κύριέ μου, κύριε", εἶπε, "μὴ ἐάσῃς με, σῶσαι βουλόμενον ἐμαυτόν, ἀπολέσθαι· ἀλλὰ τὸ συμφέρον μοι κατὰ ψυχὴν οἰκονόμησον". Οὕτως εἰπὼν δίδωσι τῇ γυναικὶ χεῖρα καὶ ἀνάγει τοῦ ὕδατος· ἐπεὶ δὲ περικαλλὴ ταύτην

15 Σῶσον etc.] Psalm. LXVIII, 1. 16 cod. μονογενές.

εἶδεν, "'Αληθῶς" ἔφη "οὐ συμφωνήσει χόρτος καὶ πῦρ, ἐπεὶ σῆψις ἀμφοτέροις ἔσται διὰ τοῦ πονηροῦ. Σὺ τοίνυν ὑπόμεινον ἐνταῦθα καὶ μηδὲν φοβηθῇς· ἔστι σοι γὰρ καὶ ἄρτος καὶ ὕδωρ". Εἶτα λέγει καὶ τὰ κατὰ τὸν ναύκληρον, καὶ "'Επειδάν" φησιν "ἔλθοι, διασάφησον αὐτῷ τὸ συμβεβηκός, κἀκεῖνος πρὸς τὴν σὴν ἀπαγάγει σε πόλιν".

16. Οὕτως εἰπών, τὸ σημεῖον τοῦ σταυροῦ τοῖς ὕδασιν ἐπιβάλλει, "'Ο θεὸς" εἰπών, "ἐπίβλεψον ἐπ' ἐμὲ καὶ μὴ ἐάσῃς με ἀπολέσθαι· ἰδοὺ γὰρ ἐπὶ τῷ ὀνόματί σου τοῖς ὕδασιν ἐμαυτὸν ἐπιτρέπω". Εἶτα καὶ τῇ κόρῃ σωτηρίαν ψυχῆς ἐπευξάμενος, καθῆκεν ἑαυτὸν τῇ θαλάσσῃ· δύο δὲ παραχρῆμα δελφῖνες ἑαυτοὺς ὑποθέντες, καὶ ἀσφαλῶς τοῖς νώτοις τὸν ἄνδρα διαβαστάσαντες, ἐξάγουσι τῶν ὑδάτων. 'Η κόρη δὲ ἀπὸ τοῦ ὕψους, ἄχρι καὶ ὀφθαλμοὶ ταύτης ἔβλεπον, ἑώρα τοῦτον ἄνω τῶν ὑδάτων ἀποφερόμενον. 'Ως δὲ καὶ τῆς γῆς ἐπέβη ὁ ὅσιος καὶ θεῷ μὲν ηὐχαρίστει τῆς σωτηρίας καὶ τί ποιητέον ἐσκόπει, κατὰ νοῦν τοίνυν λαβὼν τὴν εὐαγγελικὴν κέλευσιν, τὸ διωκομένους τῆσδε τῆς πόλεως φεύγειν εἰς τὴν ἑτέραν, λέγει πρὸς ἑαυτόν· "Φεῦγε, Μαρτινιανέ, μή σε καταλάβῃ πειρασμός· φεῦγε, ταπεινὲ μοναχέ". Καὶ οὕτως διετέλει φεύγων ἔρημος παντὸς ἀναγκαίου καὶ πάσης οἰκήσεως· ἔνθα γὰρ ἂν καὶ κατέλαβεν αὐτὸν ἡ ἑσπέρα, ἢ ἐπ' ὄρους, ἢ ἐρημίας, εἴτε μὴν καὶ πέτρας, ἐκεῖ τὴν νύκτα διῆγε. Καὶ οὕτω φεύγοντος, ἢ μᾶλλον τὴν Χριστοῦ βασιλείαν διώκοντος, δύο μὲν χρόνοι διῆλθον, αὐτὸς δὲ τέσσαράς τε καὶ ἑξήκοντα πρὸς ταῖς ἑκατὸν διέδραμε πόλεις· ὧν ἡ ἐσχάτη πασῶν αἱ λαμπραὶ ἦσαν 'Αθῆναι, ἡνίκα καὶ τὸ μακάριον αὐτὸν ἐλάμβανε τέλος.

17. 'Ως οὖν ἤδη πέφθακε τὰς 'Αθήνας, τῷ ἐπισκόπῳ τῆς πόλεως δῆλη γίνεται ἡ αὐτοῦ τελευτή. 'Αλλὰ καὶ αὐτὸς ὁ θεῖος Μαρτινιανὸς τοῦ τέλους τὴν ἡμέραν προεγνωκὼς καὶ τὸν ναὸν εἰσελθὼν ἔν τινι των σκάμνων ἀνέκλινεν ἑαυτόν, καὶ πρὸς τοὺς παρόντας "Μετακαλέσασθέ μοι τὸ τάχος" ἔφησε "τὸν ἐπίσκοπον". Οἱ δὲ παραφρονεῖν ὑπολαβόντες αὐτὸν ἠμέλουν, ὅμως δὲ παραγενόμενοι πρὸς αὐτόν, "'Ανθρωπός τις" λέγουσι "τὸν ναὸν εἰσελ-

3 cod. φοβηθεὶς. 17 cf. Matth. x, 23.

θὼν καὶ σκάμνῳ ἑαυτὸν ἀνακλίνας, ἄφρονι ἐοικώς, Καλέσατέ μοι τὸν ἐπίσκοπον φάσκει". Ὁ δὲ "Ὑμεῖς ἐστέ" φησιν "ἄφρονες· τούτου γὰρ πολὺ τὸ μέσον ἡμῶν". Καὶ τάχος διαναστὰς τὸν ναὸν κατέλαβεν, ὃν ὡς ἴδοι Μαρτινιανός, ἐπεὶ μὴ δυνατὸς ἦν ἀναστῆναι, τὰς χεῖρας εἰς τὸ ἔδαφος κατατείνας ἐτίμα. Καὶ ὁ ἐπίσκοπος δὲ τιμήσας εἰκότως αὐτόν, "Ὅταν τῆς μακαρίας ἀπολαύῃς" ἔφη "τρυφῆς, μὴ ἐλλείποις τῆς ἡμῶν διαμνημονεύων ψυχῆς". Καὶ ὁ ἅγιος, "Εὐλόγησόν με, πάτερ", φησί, "καὶ ὑπὲρ ἐμοῦ εὔχου, ἵν' ἐν τῷ μέλλειν με τῷ φοβερῷ παραστῆναι βήματι τοῦ Χριστοῦ τύχω τῆς παρ' αὐτῷ παρρησίας". Οὕτως ἔφη, καὶ σφραγισάμενος ἑαυτὸν τῷ σταυρῷ, καὶ "Παράθου με θεῷ" τῷ ἐπισκόπῳ εἰπών, μειδιῶντι προσώπῳ παρατίθησι Χριστῷ τὴν ψυχήν· ἀνὴρ ὄντως τοῦ παντὸς ἄξιος.

18. Πλὴν ἀλλὰ καὶ περὶ τῆς κόρης, ἣν ἐπὶ τῆς πέτρας ὑπέλιπε, διηγητέον οἵαν μὲν ἔσχε τὴν ἀγωγήν, οἷον δὲ καὶ τὸ τέλος. Μείνασα αὕτη ἐπὶ τῆς πέτρας τροφῇ μὲν ἐχρῆτο, ὥσπερ δὴ καὶ Μαρτινιανὸς αὐτῇ ἐνετείλατο, ἄχρι γοῦν καὶ ὁ ναύκληρος ἦλθεν· ἐπεὶ δὲ δύο μῆνες παρῆλθον καὶ οὗτος ἀφίκετο τὸν ἄρτον τε καὶ τὸ ὕδωρ κομίζων, τὰ μὲν πρῶτα τὴν κόρην ἰδὼν φάντασμα ἐδόκει ὁρᾶν καὶ φόβῳ συνείχετο καὶ ὅλαις κώπαις ὑπέστρεφεν· ὡς δὲ ἐκείνη ἐβόα, ὅτι "Καὶ γυνὴ πρὸς ἀλήθειαν εἰμὶ καὶ χριστιανή", πείθεται μόλις, καὶ προσιὼν "Ποῦ ἐστί" φησιν, "ὃς ἐνταῦθα ἦν μοναχός, καὶ ποῦ μὲν ἐκεῖνος ᾤχετο, πῶς δὲ αὐτὴ τῆς πέτρας ἐπέβης"; Ἡ δὲ πρῶτον μὲν σφραγίζει ἑαυτὴν τῇ τοῦ Χριστοῦ σφραγῖδι, ἔπειτα διασαφεῖ πάντα, τὸν κλύδωνα, τὸ ναυάγιον, τὴν μόνης αὐτῆς περίσωσιν, τὴν ἐπὶ τῆς πέτρας ἄνοδον, τὴν τοῦ ὁσίου διὰ σωφροσύνην κατὰ τῶν ὑδάτων ἄφεσιν καὶ τὴν ὑπὸ τῶν δελφίνων αὐτοῦ θαυμασίαν διάσωσιν. Ταῦτα ἀκούσαντα τὸν ναύκληρον, "Δεῦρο οὖν" εἰπεῖν πρὸς αὐτὴν "καὶ ἀπάξω σε τῶν ἐνταῦθα καὶ πρὸς τὴν πόλιν πορεύσῃ τὴν σήν"· τὴν δέ, ὡς ἤκουσε, λύπη κατέσχε δεινή, καὶ ἐδεῖτο θερμῶς μὴ παριδεῖν αὐτήν, ἀλλὰ κομίζειν αὐτῇ τὸν ἄρτον δὴ καὶ τὸ ὕδωρ ὁμοίως, πρὸς δὲ καὶ ὃ καλεῖται βηρίον ἐπικομίσαι ταύτῃ καὶ στιχάριον τρίχινον καὶ ἔριον· "Ἀλλὰ καὶ ὅτε μοι ταῦτα κομίσεις,

15 cod. ὑπέλειπε. 32 περιδεῖν.

ἐλθέτω καὶ ἡ γυνὴ τότε ἡ σή, ἵνα πρὸς τὸ ἀνδρικόν, παρούσης αὐτῆς, ἐμαυτὴν ἀμφιάσω· ὁ δὲ κύριος δῴη ὑμῖν καὶ νῦν ἔλεος καὶ ἐν τῷ μέλλοντι παρρησίαν".

19. Ταῦτα ἀκούσας ὁ ναύκληρος, αὐτίκα τὴν πόλιν καταλαβὼν καὶ πάντα λαβών, καὶ τὴν γυναῖκα δὲ τὴν αὐτοῦ, δευτέρας οὔπω ληγούσης ἡμέρας εἰς ἐκείνην ἀνέστρεφεν. Εἶτα ὑποχωρήσαντος αὐτοῦ καὶ τῶν γυναικῶν ὁμοῦ γενομένων, ἡ σεμνὴ ἐκείνη γυνὴ ἀποδύεται μὲν τὰ ἱμάτια καὶ σὺν αὐτοῖς τὴν γυναικείαν ἀσθένειαν, ἐνδύεται δὲ τὰ ἀνδρικὰ καὶ σὺν τούτοις τὴν χάριν τοῦ πνεύματος. Ἔπειτα στᾶσα κατὰ ἀνατολὰς εὔχεται ἑαυτῇ μὲν τὴν τελείωσιν, τοῖς ὑπουργήσασι δὲ τὴν ἀντάμειψιν. Εἶτα καὶ πρὸς τὴν γυναῖκα τοῦ ναυκλήρου "Ἀλλ' ὅτε μοι μέλλετέ" φησι "τὸν ἄρτον καὶ τὸ ὕδωρ κομίζειν, καὶ ἔριον σὺν αὐτοῖς ἔστω, ὥστε με μὴ ἀργὴν οὖσαν τὸν ἄρτον ἐσθίειν· τὰ δὲ ἱμάτιά μου ταῦτα", περὶ ὧν ἀπέδου λέγουσα, "ἔστω σοι πρὸς μνήμην ἐμήν".

20. Τούτων οὕτω γενομένων, ὁ μὲν ναύκληρος οἴκαδε σὺν τῇ γυναικὶ ἐπανήεσαν, καὶ μετὰ παρέλευσιν τριῶν μηνῶν ἦλθον πάλιν πάντα μετακομίζοντες καὶ διέμειναν εἰς τέλος ποιοῦντες ὁμοίως, ἐκείνην δὲ πολλή τις εἶχεν εὐφροσύνη τῇ πέτρᾳ ἐγκαθημένην. Ἦσαν γὰρ ἡμέρας μὲν εὐχαὶ δυοκαίδεκα ταύτῃ, νυκτὸς δὲ διπλαῖ· ἡ δὲ τροφὴ ἄρτος μόνος λίτραν ἕλκων, κατὰ δύο ἡμέρας παρ' ὅλην ζωὴν μεταλαμβανόμενος· καὶ τῆς μὲν πέτρας ἐπέβη πέμπτον καὶ εἰκοστὸν ἔτος τῆς ἡλικίας ἄγουσα, ἐν αὐτῇ δὲ τῇ πέτρᾳ χρόνους ἓξ διανύει, καὶ θνήσκει πρὸ δύο μηνῶν τῆς τοῦ ναυκλήρου παρουσίας· γυνὴ τῷ ὄντι ἀξιοθαύμαστος. Ἐπεὶ δὲ καὶ ὁ ναύκληρος ἅμα τῇ γυναικὶ παρεγένετο, θεωροῦσι ταύτην κειμένην εὐσχημόνως νεκράν, οὕτω νεαρῶς ἔχουσαν, ὡς πρὸ ὀλίγου τὸ πνεῦμα καταλιποῦσαν. Πεσόντες οὖν εἰς γῆν προσεκύνουν, εἶτα καὶ περιστείλαντες αὐτὴν ὡς ἔδει καὶ τῷ πλοίῳ ἐνθέμενοι, τῇ πόλει προσήνεγκον δῶρον κοινωφελές, σῶμα νεκρόν, μεγάλην τοῖς ζῶσιν εὐεργεσίαν.

21. Τοιαῦτά σου, Μαρτινιανέ, τὰ κατὰ τοῦ διαβόλου τρόπαια· ἃς γὰρ ὥπλισεν ἐκεῖνος κατὰ σοῦ γυναῖκας, ἀντεστράτευσας σὺ κατ' αὐτοῦ καὶ ἔδειξας ὅπως δεῖ γυναῖκας ἀνδρίζεσθαι, οὐχ ἡδονῇ τὰ μέλη χραινούσας, ἀλλὰ Χριστῷ ταῦτα καθιερούσας ἁγνῶς, τῷ

πάντων ποιητῇ καὶ δεσπότῃ· καὶ νῦν συνευφραινόμενος ταύταις ἐν τοῖς οὐρανίοις σκηνώμασιν αἴτησαι δοθῆναι παρὰ θεοῦ καὶ βασιλεῖ ἡμῶν τῷ πιστῷ καὶ φιλαγίῳ καὶ τὰ πάντα χρηστῷ μῆκος βίου καὶ ζωῆς εἰρηναίας κατάστασιν, ἰσχὺν κατ' ἐχθρῶν ἀοράτων ἅμα καὶ ὁρατῶν, χρηστότητα θεοῦ καὶ παιδείαν καὶ γνῶσιν, αὐλῆς ἁγίας τὴν κατοικίαν, ἡλίου δόξης τὴν μετουσίαν, λειμώνων θείων τὴν κληρουχίαν, πάντων ἀγαθῶν τὴν ἀπόλαυσιν καὶ βασιλείας οὐρανῶν τὴν ἐπίτευξιν. ὅτι Χριστῷ τῷ θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

VII.

Μηνὶ Μαρτίῳ ε.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΓΕΡΑΣΙΜΟΥ ΤΟΥ ΑΝΑΧΩΡΗΤΟΥ.

1. Ὑφηγοῦνται μὲν ἀεὶ τὸ καλὸν καὶ ἐπαινοῦσι τὰς ἀγαθὰς πράξεις αἱ ἱεραὶ καὶ θεῖαι Γραφαί, ὁδηγοῦσαι ἡμᾶς καὶ διανιστῶσαι πρὸς ἀρετήν, ἀλλ' οἵ γε ῥᾴθυμοι καὶ ἀναπεπτωκότες καὶ χαῦνοι ὀκλάζομεν πρὸς αὐτὴν καὶ ἀναδυόμεθα, δυσχερῆ τὴν ἐργασίαν αὐτῆς ἡγούμενοι, ἢ καὶ πάντῃ ἀδύνατον, διὰ τὸ πρὸς ἡδονὴν ἐπιρρεπὲς ἡμῶν καὶ πρὸς τὰ πάθη εὐόλισθον· βίοι δὲ σπουδαίων ἀνδρῶν εἰς ἐξήγησιν προτιθέμενοι καὶ ὅπως μὲν αὐτὴν ἐξήσκησαν καὶ κατώρθωσαν οὗτοι, οἵας δὲ λαμπρότητος ἔτυχον καὶ πρὸς ὅσον ὕψος ἀνήχθησαν ὑφηγούμενοι, τῶν τε ἱερῶν Γραφῶν τὸ ἀξιόπιστον παριστῶσι καὶ οὐδὲν ὅλως ἀδύνατον διδάσκειν αὐτὰς ἐμφαίνουσι· καὶ τοὺς ῥᾳθυμοῦντας καὶ πρὸς τὴν ἐργασίαν τῆς ἀρετῆς ἐποκλάζοντας διαθερμαίνουσί πως τοῖς ὑποδείγμασι καὶ πρὸς ζῆλον ἐγείρουσι, καὶ πείθουσι πολλάκις τοῖς ἴσοις ἐπιχειρεῖν καὶ τῶν αὐτῶν ἐκείνοις ἐφάπτεσθαι. Τοιοῦτός ἐστι καὶ ὁ τοῦ μεγάλου πατρὸς Γερασίμου βίος, ὃς δὴ καὶ πρόκειται νῦν ἡμῖν εἰς ἐξήγησιν καὶ ὃν εἰς κοινὴν ὠφέλειαν προθεῖναι τοῖς ἀκροαταῖς ὑμῖν διεγνώκαμεν, ἱκανὸς μὲν δεῖξαι τὸ δυνατὸν τῆς ἀρετῆς οἷς ἐκεῖνον κατορθώσαντα δείκνυσιν, ἱκανὸς δὲ πρὸς αὐτὴν διεγεῖραι οἷς τὴν ἐντεῦθεν αὐτῷ προσγενομένην λαμπρότητα καὶ δόξαν παρίστησι. Τοίνυν λεγέσθω τὰ τοῦ ἀνδρὸς καὶ προτιθέσθω εἰς μέσον,

Codex 145 monasterii Διονυσίου, s. XVII, f. 156ᵃ — 162ᵃ.

ἐπιτομώτερον μέντοι καὶ διὰ βραχέων, τοῦτο μὲν διὰ τὸ στενὸν τῆς ἡμετέρας γλώττης καὶ ἀσθενές, τοῦτο δὲ ἵνα μὴ δόξῃ ὁ λόγος διὰ τῆς μακρηγορίας καὶ τῆς κατὰ τέχνην συνθέσεως μεγαλύνειν τὸν εὐφημούμενον, ἀλλὰ τὸν λόγον μᾶλλον οὗτος ἐπικοσμεῖν καὶ σεμνύνειν αὐτῇ μόνῃ τῇ τῶν ἔργων μεγαλειότητι.

2. Γεράσιμος ὁ θεῖος, τὸ γέρας ὄντως τῶν μοναχῶν, ἔφυ μὲν ἐν ἐπαρχίᾳ Λυκίων, γονέων δὲ ἔτυχε βίον μὲν αὐτάρκη κεκτημένων, πρὸς δὲ τὸ καλὸν δεξιῶς ἐχόντων· ὡς δὲ ἡλικίας ἥπτετο ἤδη καὶ σύνεσιν πλουτεῖν ἤρξατο, οὐ κατὰ τοὺς πολλοὺς τῶν νέων ἠγάπησε ζῆν, οἳ μόνον τὸ τὴν αἴσθησιν τέρπον ἐν τῇ τοῦ ἀγαθοῦ μοίρᾳ τίθενται, τῶν δὲ τῆς ψυχῆς καλῶν οὐδένα λόγον ποιοῦνται. ἀλλ' αὐτίκα πρὸς θεὸν καὶ τὴν ἀρετὴν καλῶς ἔβλεψε, καὶ τῶν παρόντων ματαιότητα πολλὴν καταγνοὺς καὶ οὐδὲν ἄλλο τὰ βιωτικὰ κρίνας εἶναι, ἢ ἀπάτην μόνην καὶ τοῦ λογισμοῦ σύγχυσίν τε καὶ ζόφωσιν, ἀπανίσταται τῶν ἐν κόσμῳ θορύβων καὶ πρὸς τὸν ἀπράγμονα βίον καὶ ἡρεμαῖον μεθίσταται. Τὴν τρίχα οὖν κειράμενος, σὺν αὐτῇ δὲ καὶ πᾶν εἰπεῖν εἴ τι κοσμικὸν καὶ περίγειον φρόνημα, ὅλος τῆς ἀρετῆς γίνεται, καὶ θερμῷ τῷ πρὸς αὐτὴν φίλτρῳ καὶ ζέοντι συσχεθεὶς ἔσπευδε καὶ συντόνως ἀγωνιζόμενος ἦν, ὅπως ἂν αὐτῷ καθαρὰ μὲν παντὸς πάθους καὶ κηλῖδος ἁπάσης ἡ ψυχὴ γένοιτο, ὁ δὲ νοῦς δεκτικὸς δειχθείη τῶν χαρισμάτων τοῦ πνεύματος καὶ τῶν ἐκεῖθεν ἐλλάμψεων. Ἔνθεν τοι καὶ γαστρὸς μὲν ἐκράτει τοσοῦτον, ὡς πᾶσαν μὲν ἡδονὴν τοῦ φάρυγγος μετὰ χαρᾶς ἀποπέμπεσθαι, πᾶν δὲ τὸ βαρῦνον γαστέρα ὥς τι ἄχθος καὶ παρενόχλημα τῆς φύσεως ὂν ἀποτρέπεσθαι· ἐντεῦθεν αὐτῷ καὶ τὰ τῆς σαρκὸς ἐμπαθῆ κινήματα κατηυνάζετο καὶ τὸ τοῦ νοὸς νηφάλεον συνετηρεῖτο ἀθόλωτον. Ἀλλὰ γαστρὸς μὲν οὕτως ἐκράτει καὶ οὕτω πρὸς τὰς τῶν βρωμάτων ἡδονὰς ἀπεμάχετο· ὕπνου δὲ ἥττων ἐδείκνυτο, καί πως ἄρα νηστείαις διηνεκέσι συζῶν οὔκουν οὐδ' ἐν τούτῳ ἑαυτὸν εὐχερῶς ὑπεχάλα, ἀλλὰ τοσοῦτον ἐνδιδοὺς τῇ φύσει, ὅσον συνίστασθαι ταύτην καὶ μὴ πρὸς τοὺς πόνους ἀπαγορεύειν, ἐσχόλαζεν εὐτόνως ταῖς ἀγρυπνίαις καὶ ταῖς εὐχαῖς καὶ τῇ μελέτῃ τῶν λογίων τοῦ πνεύματος.

3. Οὕτω τοίνυν ἀγωνιζόμενος ἐπὶ τῆς πατρίδος καὶ τὴν μοναχοῖς πρέπουσαν πολιτείαν ἐπιδεικνύμενος, καὶ πολλοὺς ἐκκενῶν

τοὺς ἱδρῶτας κατὰ τῶν πνευμάτων τῆς πονηρίας, δεῖν ἔγνω πρὸς τὴν παρὰ τὸν Ἰορδάνην ἔρημον μεταβῆναι, βουλόμενος μειζόνων ἐφάψασθαι τῶν ἀγώνων καὶ τὴν ἐρημίαν τοῦ τόπου φιλοσοφίας ὑψηλοτέρας βοηθόν τε καὶ συνεργὸν ἐφευρεῖν. Τοῦτο δὴ καὶ ποιεῖ, καὶ λοιπὸν ἐκεῖσε παραγενόμενος ἀρχὴν ποιεῖται τὴν ἐρημίαν, καθάπερ ἐζήτει, κρείττονος ἀγωγῆς καὶ μείζονος πρὸς τὴν ἀρετὴν ἐπιδόσεως· οὐκ ἔτι γὰρ ἠγάπα τοῖς προτέροις ἐμμένειν, ἀλλ' ἔσπευδεν ἀληθῶς τοῖς ὑπὲρ τοῦ καλοῦ πόνοις καθ' ἡμέραν αὐτὸς ἑαυτὸν ὑπερβαίνειν. Διὸ καὶ τῶν ὄπισθεν ἐπιλανθανόμενος καὶ τοῖς ἔμπροσθεν, ὅ φησι Παῦλος, ἐπεκτεινόμενος, ὥσπερ τις εὐσταλὴς καὶ κοῦφος δρομεὺς ἔτρεχε διαπαντὸς ἀνεπιστρόφως τε καὶ συντόμως τὸν δρόμον τῆς ἀρετῆς, πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως ἐπειγόμενος. Καὶ οὐχ ὡς δρομεὺς μόνον ἀγαθὸς ἦν, ἀλλὰ δὴ καὶ ὡς στρατιώτης γενναῖος, ἐπεμβαίνων μὲν εὐτόλμως τοῖς πολεμίοις, βάλλων δὲ καιρίως τοὺς κατ' αὐτοῦ ἐπιόντας, οὐ πρὸς αἷμα καὶ σάρκα διαγωνιζόμενος, ἀλλὰ πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας τοῦ σκότους, ὧν καὶ ἡ περὶ τὸ πολεμεῖν τοῖς ἀγαθοῖς ἀνδράσι τέχνη καὶ μέθοδος καὶ ἡ ἐπίθεσις ἀνένδοτος λίαν καὶ σφοδροτάτη, καὶ ἡ μάχη καρτερὰ καὶ διηνεκής· "οὐχ ὑπνώσουσι γάρ" φησιν ὁ σοφός, "ἐὰν μὴ κακοποιήσωσι". Πρὸς τοιούτους ἦν ὁ ἀγὼν τῷ ἀνδρί, οὕτω πικροὺς ἀνταγωνιστάς, οὕτω δεινοὺς πολεμίους.

4. Ἀλλ' οὐκ ἦν ἄρα καλῶς τοῖς ὅπλοις τῆς ἀρετῆς πεφραγμένον καὶ δυναμούμενον ὑπὸ τῆς ἄνωθεν χάριτος καὶ διαμαχόμενον ἐπιμόνως μὴ τρέψαι ποτὲ πρὸς φυγὴν τοὺς ἐχθροὺς καὶ παρασκευάσαι τούτους νῶτα δόντας ὑποχωρῆσαι. Τοιγαροῦν φεύγουσι μὲν οὗτοι περιφανῶς ἡττηθέντες, νεκροῦται δὲ πᾶν ἐμπαθὲς φρόνημα τῷ ἀγωνιστῇ, καὶ ἡ ψυχὴ λοιπὸν αὐτῷ τῆς ἐν πνεύματι καταξιοῦται γαλήνης. Τί τὸ ἐντεῦθεν; μέγαν εἶναι κατ' ἀρετὴν καὶ θεοῦ θεράποντα γνήσιον ἡ φήμη τὸν ἄνδρα κηρύττει καὶ πολλοὺς πολλαχόθεν πρὸς αὐτὸν ἕλκει, καὶ πείθει τούτῳ χρῆσθαι πρὸς θεὸν ὁδηγῷ καὶ τῆς τῶν οἰκείων ψυχῶν σωτηρίας καθηγεμόνι· τούτων τινὲς καὶ μοναχικῆς ἥπτοντο τελειότητος καὶ

1 πνευμάτων τῆς πονηρίας] cf. Ephes. VI, 12. 10 Παῦλος] Phil. III, 15. 11 cod. ἀνεπιστρόφος. 15/17 οὐ πρὸς αἷμα — σκότους] cf. Eph. VI, 12. 20 ὁ σοφός] Pr. IV, 16.

τῶν λεγομένων ἀναχωρητῶν ἦσαν. Τοσοῦτον ὀνομαστότατος ὤφθη τῶν κατ' ἐκεῖνο καιροῦ μοναχῶν καὶ διαφορώτατος.

5. Ἀλλὰ τούτους δὴ τοὺς αὐτῷ προσιόντας ὁρῶν ὁ θεῖος Γεράσιμος τὴν μετ' αὐτοῦ συνοίκησιν αἱρουμένους καὶ παρ' αὐτῷ μένειν προθυμουμένους, λαύραν τε μεγίστην οἰκοδομεῖ οὐ πλέον μιλίου ἑνὸς τοῦ Ἰορδάνου ποταμοῦ διέχουσαν, πρὸς δὲ καὶ κοινόβιον μέσον αὐτῆς ἀνεγείρει. Καὶ ταῦτα διαπραξάμενος, νόμους τίθησιν ὡς ἄριστα διατεταγμένους, τοὺς μὲν εἰσαγομένους τῶν μοναχῶν ἐν τῷ κοινοβίῳ μένειν, ἐν αὐτῷ τε τὴν μοναδικὴν ἐξασκεῖσθαι διαγωγήν· ὅσοι δὲ συχνοῖς καὶ μακροῖς πόνοις ἐνεγυμνάσαντο καὶ τὸ τῆς τελειότητος μέτρον ἐπέβησαν ἤδη, τούτους ταῖς λεγομέναις ἐγκατοικίζεσθαι κέλλαις, οὐκ ἐλάττοσιν οὔσαις τῶν ἑβδομήκοντα. Οὓς καὶ ὑπὸ τοιούτῳ ζῆν ἐκέλευσε τῷ κανόνι, τὰς μὲν πέντε τῆς ἑβδομάδος ἡμέρας ἕκαστον τῇ ἰδίᾳ κέλλῃ ἐφησυχάζειν, οὐδενὸς ἄλλου τῶν εἰς βρῶσιν, ὅτι μὴ μόνον ἄρτου καὶ ὕδατος καὶ φοινίκων ἀπογευόμενον· Σαββάτου δὲ καὶ Κυριακῆς εἰς τὴν ἐκκλησίαν παραβαλόντας καὶ μετασχόντας τῶν ἁγιασμάτων, εἰς τὸ κοινόβιον ἑψητῷ χρῆσθαι καὶ οἴνου μεταλαγχάνειν ὀλίγου· ἐν κελλίῳ δὲ μηδενὶ ἐφειμένον εἶναι ἢ πῦρ καῦσαι, ἢ ἑψητοῦ γεύσασθαι· τὴν ἀκτημοσύνην ὡς οὐδὲν ἕτερον ἀξιοσπούδαστον ἔχειν, τῇ ταπεινοφροσύνῃ μάλιστα κεκοσμῆσθαι, ἕκαστον μέντοι τὸν πόνον τῶν οἰκείων χειρῶν, ὃς διὰ τῆς ἑβδομάδος αὐτοῖς ἐνεργεῖ, τῷ Σαββάτῳ ἀποφέρειν εἰς τὸ κοινόβιον καὶ περὶ δείλην Κυριακῆς τὸ ἀνάλωμα πάλιν τῆς ἑβδομάδος ἀναλαμβάνοντα, ἄρτους ψημὶ καὶ φοίνικας καὶ ὕδωρ ἐν ἀγγείῳ τινὶ καὶ βαΐα, εἰς τὸ κελλίον αὖθις ἐπανιέναι.

6. Τοιούτῳ κανόνι καὶ τύπῳ τοὺς ὑπ' αὐτῷ τελοῦντας ἀναχωρητὰς ὁ μέγας Γεράσιμος ἐκέλευε διαζῆν. Διὸ καὶ τούτοις ἐκπαιδευθέντες οὕτως ἦσαν ἀφρόντιδες καὶ πράγμασιν ἀνθρωπίνοις οὐδαμῶς κάτοχοι, ὥστε μηδὲν αὐτοῖς εἶναι πλέον ὧν ἀμφιέννυντο, δευτέρας μὴ οὔσης περιβολῆς. Ἡ στρωμνὴ δὲ τί ἕτερον ἢ ψίαθος καὶ ἃ κεντώνιόν τε καὶ ἐμβρίκιον συνήθως ἀποκαλοῦσι, σκεῦός τε κεραμεοῦν εἰς ὕδωρ, ὅπερ ὁμοῦ πρὸς πόσιν καὶ τὴν τῶν βαΐων δεῦσιν ἐξήρκει. Νόμος καὶ οὗτος αὐτοῖς ἦν ὑπὸ Γερασίμου παραδεδομένος, ἐξιόντας ἀνεῳγμένας ἀφιέναι τὰς κέλλας, ὥστε ἐξὸν εἶναι

22 cod. τὸ σαββάτου. 34 ἐξὸν] cod. ἐξ ὧν

τῷ βουλομένῳ εἰσιόντι λαμβάνειν ὃ βούλοιτο τῶν εἰς χρείαν φαύλων ἐκείνων καὶ ἀναγκαίων, οὐδενὸς εἴργοντος, ἀλλὰ καὶ αὐτοὺς ἀποστολικῶς βιοῦντας ὁρᾶσθαι καὶ εἶναι καὶ τῶν ἐν ἐρήμῳ βιούντων παραπλησίως αὐτοῖς τὴν καρδίαν τε καὶ τὴν ψυχὴν μίαν, ἐπεὶ μηδείς τι τῶν ὑπαρχόντων αὐτῷ ἔκρινεν εἶναι ἴδιον, ἀλλὰ πάντα ἐπίσης αὐτοῖς εἶναι κεῖσθαι κοινά.

7. Καὶ τοῦτο δὲ περὶ τῶν ἀναχωρητῶν λέγεται, ὅτι προσελθόντων αὐτῷ τινων καὶ ἐφεῖσθαι αὐτοῖς αἰτουμένων ὕδωρ τε θερμαίνειν καὶ ἑψητοῦ μετέχειν καὶ ὑπὸ λύχνον ἀναγινώσκειν, τὸν μέγαν Γεράσιμον ὑπολαβόντα, "Εἰ οὕτω ζῆν βούλεσθε", φάναι, "πολὺ τὸ συμφέρον ἐν κοινοβίῳ διάγειν ὑμᾶς· ἐγὼ γὰρ οὔμενουν οὐδαμῶς ἐφείσω παρ' ὅλον δή μου τὸν τῆς ζωῆς χρόνον τοῦτο παρ' ἀναχωρηταῖς γενέσθαι". Ὥστε τοὺς Ἰεριχουντίους ἀκούοντας τῶν παρὰ τῷ θείῳ πατρὶ Γερασίμῳ τὴν πολιτείαν οὕτω κατηναγκασμένην εἶναι καὶ ἀπαράκλητον καὶ πολὺ τὸ ἄχαρι τὸν βίον ἔχειν, νόμον ἑαυτοῖς ἐκθεῖναι τοιοῦτον, Σαββάτου τε καὶ Κυριακῆς εἰς αὐτοὺς ἀπιέναι καὶ παράκλησιν αὐτοῖς μετακομίζειν οὗτι μετρίαν· ἀλλὰ τοῦτο μὲν Ἰεριχουντίων ἔπαινος καὶ ἀπόδειξις φιλαρέτων ψυχῶν. Πολλοὺς μέντοι τῶν ὑπὸ τῷ μεγάλῳ τούτῳ Γερασίμῳ ἀγωνιστῶν ὁρῶντας ἐπὶ σκοπῷ τοιούτῳ τοὺς κοσμικοὺς ἐρχομένους τοσοῦτον ἀπέχειν εὔθυμον αὐτῶν καὶ ἡδεῖαν ἡγεῖσθαι τὴν ἄφιξιν, ὥστε μηδὲ κατὰ χώραν στέργειν αὐτοὺς ὅλως ὀφθῆναι, μηδ' ὑπομένειν, ἀλλ' ὡς τὰ μεγάλα βλάψοντας μᾶλλον φεύγειν αὐτοὺς καὶ ἐξίστασθαι. Ἦδεσαν γὰρ ἐκεῖνοι καλῶς μητέρα σωφροσύνης ἀκριβοῦς εἶναι τὴν ἐγκράτειαν, λογισμούς τε ῥυπαροὺς ἀπωθεῖσθαι καὶ ὕπνου κουφίζειν βαρύτητα δυναμένην, ἅτε μηδὲ λόγοις μόνον ἀλλὰ καὶ ἔργοις ὑπὸ τοῦ πατρὸς ἄριστα τοῦτο μεμαθηκότες· καὶ γὰρ τοσοῦτον ἐγκράτειαν ἐκεῖνος περὶ πλείστου πεποίηκεν, ὡς τὰς τεσσαράκοντα τῆς νηστείας ἡμέρας ἄσιτος διιέναι, τῇ μεταλήψει μόνῃ τῶν μυστηρίων ἀρκούμενος.

8. Οὕτω βιώσαντι Γερασίμῳ καὶ τοῖς ὑπ' αὐτὸν ἀρχέτυπον ἀρετῆς καὶ σωτηρίας ὑπόθεσιν γενομένῳ, καὶ τῆς κατὰ τὸν Ἰορδάνην ἐρήμου πολίτῃ καὶ πολιούχῳ φανέντι, τὸ κοινὸν ἔπεισι

16 cod. ἐκθῆναι. 20 ἐπισκοπῶ. 22 ὠφθῆναι. 23 βλάψαντας. 25/26 ἀποθεῖσθαι. 28 περιπλείστου.

τέλος, τοῦ Μαρτίου μηνὸς εἰκάδα τετάρτην ἐπέχοντος, ἐν ὑπατείᾳ Ζήνωνος αὐγούστου τὸ δεύτερον. Ἀλλὰ καιρὸς λοιπὸν ἐπιμνησθῆναι ἡμᾶς καὶ τοῦ κατὰ τὸν θῆρα λέοντα θαύματος, τὸν καὶ ζῶντι τῷ μεγάλῳ πατρὶ θαυμασίως καθυπουργήσαντα καὶ μεταστάντι τῶν τῇδε παραδόξως ἐναποψύξαντα· διὰ τοῦτο γὰρ καὶ τελευταῖον τῷ λόγῳ τὸ θαῦμα προστέθειται, διότι περ τῷ τέλει τῆς ζωῆς τοῦ πατρὸς ἀκολουθεῖ καὶ τὸ τέλος τῆς ὑποθέσεως. Ἔχει δὲ οὕτως.

9. Λέων τις τῶν ἐν τῇ κατὰ τὸν Ἰορδάνην ἐρήμῳ διαιτωμένων συνήντησέ ποτε τῷ ἁγίῳ κατὰ τὴν ὄχθην τοῦ ποταμοῦ διιόντι, μέγα βοῶν καὶ ὠρυόμενος ἐνωδύνως, ἐμπαγέντος αὐτοῦ τῷ ποδὶ σκόλοπος ἐκ καλάμου καὶ τὸ ἄλγος οὐ φορητὸν ἐμποιοῦντος. Τοῦτον ἰδὼν ὁ ὅσιος καὶ οἰκτείρας, καὶ τοῦ πάθους κατελεήσας καὶ τὴν ψυχὴν ἐπικλασθεὶς ἐξ ὧν ἐποίει πρὸς αὐτὸν σχημάτων ὁ θήρ, τὴν ἱκετείαν ἐπιδεικνὺς καὶ τὴν θεραπείαν ἐπιζητῶν, ἅπτεται τοῦ ποδὸς αὐτοῦ, ἐξῳδηκότος ἤδη καὶ ἠλκωμένου, ἐξαίρει τε τὸν σκόλοπα εὐφυῶς καὶ τὴν ὀδύνην αὐτῷ κουφίζει. Τί οὖν ὁ λέων; πρόβατον εὐθὺς γίνεται, οὐ τὴν φύσιν μεταβληθείς, ἀλλὰ τὴν ἀγριότητα, καὶ τῷ μεγάλῳ κἀν τῇ κέλλῃ συνὼν καὶ ὅπῃ δ' ἂν ἀπῄει συμπορευόμενος. Μέγα μὲν δὴ καὶ τοῦτο καὶ γέμον ἐκπλήξεως· ἀλλ' οἷον ἄρα τὸ ἐφεξῆς; Ὡς θαυμαστὸς ἀληθῶς ὁ θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ· τῆς γὰρ λαύρας οὐ πόρρω τοῦ ποταμοῦ διακειμένης, ὡς ἔφημεν, ὄνος ἦν μετακομίζων ἐξ αὐτοῦ τὸ εἰς χρείαν ὕδωρ τοῖς ἐν αὐτῇ. Τούτου τὴν φυλακὴν ὁ γέρων ἐγχειρίζει τῷ λέοντι, καὶ παρατίθησι τῷ θηρίῳ τὸ ὀνάριον, ὡς ἂν διατηροίη τοῦτο νεμόμενον. Ἐνήργει τοιγαροῦν οὗτος τὸ διακόνημα τοῦτο ἐφ' ἱκανὸν καὶ τὴν ὑπηρεσίαν ἐπλήρου, καὶ ὁ πρὶν γενόμενος πρόβατον λέων πάλιν ἐγένετο κύων καὶ παρεπόμενος ἦν τῷ ὄνῳ καὶ κυκλόθεν περιιὼν καὶ παρακαθήμενος καὶ τὰς ὁδοὺς ἐπιβλέπων, πρὸς τὴν νομὴν ἐνασχολουμένῳ. Ἀλλὰ τί μετὰ ταῦτα συμβαίνει;

10. Ὕπνος ποτὲ κατέσχε τὸν λέοντα· νεμόμενος ὁ ὄνος μακρὰν γίνεται ἀπ' αὐτοῦ. Διήρχοντό τινες ἐξ Ἀραβίας μετὰ καμήλων καὶ ἀφείλοντο τοῦτον· ἐξανίσταται τοῦ ὕπνου ὁ λέων, ἐπι-

5 cod. διατοῦτο. 8 λέον. 20/21 θαυμαστῶς 21 θαυμαστὸς — αὐτοῦ] cf. Psalm. LXVII, 36.

ζητεῖ τὸν ὄνον καὶ οὐχ εὑρίσκει· ἐπάνεισι πρὸς τὴν λαύραν, ἐντυγχάνει τῷ γέροντι σκυθρωπός, στυγνός, κατηφής, τὴν κεφαλὴν εἰς γῆν ἐπικλίνων. Ὡς οὖν εἶδε τοῦτον ὁ μακάριος οὕτως ἔχοντα καὶ τὸν ὄνον μὴ συμπαρόντα, ὑπώπτευσεν ἐπιβούλως τὸν θῆρα διατεθῆναι περὶ αὐτόν, καί φησι τῷ λέοντι χαριέντως πως καὶ προσηνῶς καὶ τὸ ὅλον εἰπεῖν ἁγιοπρεπῶς· Τί ἐστι τοῦτο, λέον; ἔφαγες τὸν ὄνον, ὄντως ἐπανῆλθες εἰς τὸ ἀρχαῖον· ἐδοκίμασας τῷ τρόπῳ μεταβληθῆναι πρὸς πρόβατον· ἔσπευσας τάξιν κυνὸς ὑπελθεῖν. ἀλλ' ἡ φύσις ἐνίκησεν· τάχα τὴν προτέραν ἐνεθυμήθης ἀλαζονείαν καὶ τὴν βασιλικὴν κατὰ τῶν ἄλλων ζῴων ὀφρύν, καὶ ἐπεθύμησας πάλιν τοῦ ἄρχειν· ἀλλ' ἐγώ σε ταπεινώσω καὶ καθελῶ τὸ φρόνημά σου τὸ ἐπηρμένον, καὶ διὰ ταπεινοτάτης ἀγωγῆς τὰ πρότερα μὴ ἐπιζητεῖν σε παρασκευάσω. Ἔσο δὴ λοιπὸν μηκέτι λέων, ὡς ἐπεθύμησας, ἀλλ' ὄνος ἀχθοφόρος ὡς ἐκεῖνος, ᾧ ἐπεβούλευσας". Οὕτως εἰπὼν ὁ γέρων ἁπλοϊκῶς, προστάσσει τὴν διακονίαν τοῦ ὄνου ἐπιτιθέναι τῷ λέοντι καὶ τοῦτον ἐπιφερόμενον τὰ ἀγγεῖα μετακομίζειν τὸ ὕδωρ τοῖς ἀδελφοῖς. Γέγονε τοῦτο, καὶ ἦν ἰδεῖν τὸν λέοντα ὥσπερ τῷ τρόπῳ πρότερον πρόβατον, εἶτα κύνα, οὕτω πάλιν ὄνον ἀχθοφοροῦντα. Θαῦμα καινότατον ὄντως.

11. Χρόνος τις παρέδραμεν ἐν τῷ μεταξὺ καὶ τὴν διακονίαν ταύτην ἐπετέλει οὕτως ἀκολιγώρως· ἀλλ' οἱ τὸν ὄνον ἀφελόμενοι παρήρχοντο αὖθις κατὰ τὸ μέρος τοῦ ποταμοῦ Ἰορδάνου, ἔχοντες τὸ ζῷον μεθ' ἑαυτῶν, καὶ πρὸς τὴν ἁγίαν ἀπήρχοντο πόλιν κατά τινα χρείαν ἰδίαν. Συμβαίνει καὶ τὸν θῆρα παρεῖναι τότε τῷ ποταμῷ μετακομίσοντα τὸ ὕδωρ τοῖς ἀδελφοῖς, καὶ τί γίνεται; Ὁρᾷ τὸν ὄνον πόρρωθεν καὶ γνωρίζει, καὶ ἀφεὶς αὐτίκα τὸ εἶναι ὄνος, μᾶλλον δὲ τάξιν ἐπέχειν τοιοῦδε ζῴου, ἀθρόον πάλιν δείκνυται λέων καὶ βασιλικῷ τῷ βρυχήματι κατὰ τῶν ἀγόντων τὸν ὄνον ἔπεισι. Φεύγουσιν οὖτοι παραχρῆμα τοῦτον ἰδόντες πολλῷ τάχει καὶ δέει. καὶ ὃς ὀραξάμενος τοῦ κημοῦ, τοῦ τῷ ὄνῳ περικειμένου, ἐπάνεισι μετ' αὐτοῦ πρὸς τὴν λαύραν εὔθυμος ἄγαν, καὶ τοῖς ἅλμασι καὶ τοῖς ἄλλοις σχήμασιν οἷς ἐποίει τὸ περιχαρὲς ἐνδεικνύμενος καὶ οἱονεί τις στρατιώτης γενναῖος τοῖς ὁρῶσι φαινόμενος ἐπανήκων ἀπὸ πολέμου μετὰ τροπαίων. Εἶδε τοῦτον ὁ μέγας

3 cod. ὑπόπτωσεν. 11 ταπεινωτάτης.

καὶ εὐλογήσας ἀφίησι τῆς δουλείας, ἐπιτάξας ταύτην αὖθις τὸν ὄνον ἀποπληροῦν· πρὸς δὲ καὶ ἐπονομάζει τοῦτον δὴ τὸν λέοντα Ἰορδάνην, τυχὸν οἶμαι διὰ τὸ περὶ τὸν ποταμὸν Ἰορδάνην ταῦτα τῷ θηρίῳ συναχθῆναι. Διέτριβε τοίνυν ἐξ ἐκείνου ὁ λέων ἄνετος, κἀν τῇ λαύρᾳ παραμένων καὶ ἔξω ποι ἐνίοτε πορευόμενος.

12. Παρέδραμον ἐνιαυτοὶ τρεῖς καὶ ὁ θεῖος Γεράσιμος πρὸς ὃν ἐπόθησε θεὸν μεταβαίνει, καὶ ὁ Ἰορδάνης εἴτε παρὰ τῷ Ἰορδάνῃ εἴτε παρ' ἑτέρῳ τόπῳ διάγων [κατ' οἰκονομίαν θεοῦ οὐχ εὑρέθη ὁ λέων ἐκεῖ, ὅταν ὑπὸ τῶν πατέρων ἐτάφη. Μετὰ μικρὸν δὲ ἐλθὼν ἐζήτει τὸν γέροντα· ὁ δὲ ἀββᾶς Σαββάτιος ὁ Κῖλιξ, ὁ μαθητὴς τοῦ ἀββᾶ Γερασίμου, ἰδὼν αὐτὸν ἔλεγεν αὐτῷ· "Ὁ γέρων ἡμῶν ἀφῆκεν ἡμᾶς ὀρφανοὺς καὶ πρὸς κύριον ἐξεδήμησεν, ἀλλὰ λάβε, φάγε". Ὁ δὲ λέων φαγεῖν οὐκ ἤθελεν, ἀλλὰ συνεχῶς τοῖς ὀφθαλμοῖς αὐτοῦ ὧδε κἀκεῖσε ἔστρεφε τὸ ὄμμα, βουλόμενος ἰδεῖν τὸν γέροντα, ὠρυόμενος μεγάλα καὶ μὴ φέρων αὐτοῦ τὴν ἀπόλειψιν. Ὁ δὲ ἀββᾶς Σαββάτιος καὶ οἱ λοιποὶ πατέρες τρίβοντες τὸν νῶτον αὐτοῦ ἔλεγον αὐτῷ φαγεῖν καὶ ἡσυχάσαι· ὁ δὲ λέων οὐκ ἐπαύσατο βοῶν καὶ ὠρυόμενος. Ὅσῳ δὲ ἐπειρῶντο λόγοις αὐτὸν θεραπεύσειν, τοσοῦτον μᾶλλον ὠρύετο καὶ μείζοσι βοαῖς ἐκέχρητο καὶ τὸν πόνον ἐπηύξει, δεικνύων οἵαν λύπην εἶχε μὴ ἰδὼν τὸν γέροντα. Τότε λέγει αὐτῷ ὁ ἀββᾶς Σαββάτιος· "Δεῦρο μετ' ἐμοῦ, ἐπειδὴ οὐ πιστεύεις ἡμῖν, καὶ δείξω σοι ποῦ τέθαπται ὁ γέρων". Καὶ λαβὼν ἀνήνεγκεν αὐτὸν ὅπου ἦσαν θάψαντες τὸν γέροντα· ἀπεῖχε δὲ ἀπὸ τῆς ἐκκλησίας ὡς ἥμισυ μιλίου. Στὰς τοίνυν ὁ ἀββᾶς Σαββάτιος ἐπὶ τοῦ τάφου τοῦ γέροντος λέγει τῷ λέοντι· "Ἰδοὺ ὁ γέρων ἡμῶν ὧδε ἐτάφη", καὶ ἔκλινε τὰ γόνατα μετάνοιαν ποιῶν ἐπάνω τοῦ τάφου τοῦ γέροντος. Ὡς οὖν εἶδεν αὐτὸν ὁ λέων βάλλοντα μετάνοιαν, καὶ αὐτὸς βάλλει μετάνοιαν, καὶ ἐφ' ἱκανὸν τὴν κεφαλὴν αὐτοῦ ἐπὶ τῆς γῆς κλίνων ἐπάνω τοῦ τάφου ἀπέθανε. Τοῦτο δὲ ὅλον γέγονεν οὐχ ὡς ψυχὴν λογικὴν ἔχοντος τοῦ λέοντος, ἀλλ' ὡς τοῦ θεοῦ θέλοντος τοὺς δοξάζοντας αὐτὸν δοξάσαι οὐ μόνον ἐν τῇ ζωῇ ταύτῃ, ἀλλὰ καὶ μετὰ θάνα-

1 cod. ἀφίεισι. 8 κατ' οἰκονομίαν usque ad Ἀμήν desunt in codice Διονυσίου et recepta sunt ex editione K. Δουκάκη, Μέγας συναξαριστὴς ἤτοι χαλκηδών. Ἐν Ἀθήναις 1891, p. 41.

τον, καὶ δεῖξαι τοῖς ἀνθρώποις ὁποίαν εἶχον ὑποταγὴν τὰ θηρία πρὸς τὸν Ἀδὰμ πρὸ τῆς παραβάσεως. Μιμησώμεθα οὖν καὶ ἡμεῖς, ἀδελφοί, κἂν τῶν θηρίων τὴν εὐγνωμοσύνην, ἣν πρὸς τοὺς τὸν κύριον δουλεύοντας ἐπεδείκνυντο· ὧν ταῖς πρεσβείαις τῆς αὐτῶν καταξιωθείημεν μερίδος ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. Ἀμήν].

VIII.

Μαρτίῳ η̄.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

ΚΑΙ ΜΕΡΙΚΗ ΘΑΥΜΑΤΩΝ ΔΙΗΓΗΣΙΣ ΤΟΥ ΟΣΙΟΥ

ΠΑΤΡΟΣ ΗΜΩΝ ΓΕΡΑΣΙΜΟΥ ΤΟΥ ΑΣΚΗΤΟΥ

ΣΥΓΓΡΑΦΕΙΣ ΠΡΟΣ ΤΟΥ ΜΟΝΑΧΟΥ ΚΟΣΜΑ ΡΗΤΟΡΟΣ.

1. Πολλοὺς μὲν τῶν Καππαδοκῶν ⟨τὸ⟩ φῦλον ἀρεταίνοντας χαριέντως ἐκφύει καὶ ὥσπερ ἀπό τινος πηγῆς κατὰ κύκλων περιόδους διειδέστατοι ψυχαὶ ἀνιμῶνταί τε καὶ δαψιλὲς νᾶμα τοῖς μετέπειτα γίνονται, ⟨αἳ⟩ κρύπτουσι μὲν ὅσον νεφῶδες καὶ σκοτεινόν, ἀποδιοπομποῦσι δὲ πᾶν ἀλμυρῶδες καὶ σεσηπὸς ἀπιστίας· διαυγάζει δὲ παρ' αὐτοῖς ἡ τῆς ἀληθείας περιοπὴ καὶ διαύγεια, ὡς τὸν εὐσεβῆ λόγον γάννυσθαι, ἀμαυροῦσθαι δὲ τὴν δυσσέβειαν· ὁποῖοι παμφανόωντες ἀστέρες τῷ πρὸ ἡμῶν βίῳ διήστραψαν, πᾶσαν τὴν οἰκουμένην ἀνακαθάραντες, καὶ τῷ ποικίλῳ τῆς διαδοχῆς ποικιλοτρόπως ἀνείλκυσαν πάντας πρὸς ἀρετὴν πυρσοῖς διαυγεστάτοις ὅ τε θεῖος Βασίλειος καὶ ὁ γρηγορόνους Γρηγόριος· οἱ δ' ἄλλοι παρέσθωσαν ὡς ὑπὲρ κατάληψιν.

2. Ἐξ ὧν εἷς καὶ ὁ νῦν εἰς εὐωχίαν προκείμενος καὶ πανδαίσια τοῖς φιλαρέτοις ἐράσμιος, ὁ θεῖος Γεράσιμος· ὃς ἔφυ μὲν ὥσπερ τις κυπάρισσος ἀρεταῖς ὑψίκομος ἐξ ἐπισήμων γένους

Codex monasterii S. Salvatoris nunc Universitatis Messanensis, N° μβ', an. 1308, fol. 242ᵇ — 245ᵇ.

3 cod. μερηκὴ. 5 σὺνγραφῆς || πρὸς] cod. πρων. 6 καπαδοκῶν φύλον ἀνεταίνοντας. 7 κατακύκλων. 8 ἀνείμωντετε. 9 αἳ inserui || cod. σκοτενὸν. 10 ἀποδιοπεμποῦσι || σεσηπῶς ἀπιστείας. 11 παρὰ αὐτοῖς || διαυγεῖα. 13 διήστραψεν. 14/15 ποικηλοτρόπως. 15 ἀνείλκησαν || πυρσοὶ. 16 γρηγορονοῦς γρηγορήω. 17 παρείσθωσαν. 18 ἐξῶν εἷς. 20 εὐψήκομος (υ corr. e ν) ἐξεπισήμων

Καππαδοκῶν (ὑπέρσεμνοι τῶν ἄλλων χωρῶν Καππαδόκαι καὶ περιφανῶς μεγάθυμοι), κώμη (δὲ) τοῦτον ἡ προενέγκασα (πρὸ μὲν τῆς ἐκείνου προόδου καὶ πάντῃ ἄσημος. μετὰ δὲ τὴν εἰς φῶς τοῦ ἀνδρὸς τοῦδε παραγωγὴν καὶ λίαν ἐξ ἐκείνου περιφανής), Δρόσος ἐγχωρίως λεγομένη, τὸν ἀληθῶς δροσίσαντα πολλῶν ψυχὰς ἐκτακείσας δίψῃ τῆς ἀκαρπίας τοῦ ἐναρέτου βίου προενέγκασά τε καὶ ὥσπερ τι δένδρον ἀειθαλὲς ἀναθρεψαμένη. Ἡ δέ γε τοῦτον θηλάσασα καὶ ταῖς ὠδῖσιν ἐπ' αὐτῷ μογήσασα Μαρία τοὔνομα, μηδένα μετὰ τὸν παῖδα τοῦτον ἄλλον θηλάσασα ἢ σπαργανώσασα, ἀλλ' οἷα τῆς μήτρας ἀπαγορευσάσης τὸ μηκέτι δύνασθαι τοιόνδε κλάδον ἕτερον ἐξενέγκαι· μένει γὰρ ἐξ ἐκείνου ἀνήροτος ἢ (τἀληθὲς εἰπεῖν) ἄκαρπος. Ὁ δέ γε τούτου πατὴρ Ἰωάννης, πολλὰ θεῷ δοὺς τὰ εὐχαριστήρια, ὅτι περ ἠξίωτο παιδὸς τοιοῦδε· ἐξ ὧν γὰρ ἑώρα προήκοντα καὶ προκόπτοντα τὸν υἱόν, οὐκ ἦν ὑφ' ἡδονῆς καθεκτός, ἀλλ' ηὐχαρίστει. Τὸ Δαυίδ, τὸ Ἰώβ, τὸ Σαμουὴλ διενοεῖτο καὶ ἔλεγεν· "Ὑφρανάς με, κύριε, ἐν τῷ ποιήματί σου", καὶ "ἀλλ' οὐ γλυκύς μοι ὁ παῖς ὑπὲρ ἡλίου βολάς"; Τοῦ δὲ γέροντος οὐδὲν (τούτου) ἡδύτερον.

3. Ἀλλ' οὔπω παρῆλθεν ἔνατος ἐνιαυτὸς καὶ λειτουργεῖ τὸ χρεὼν ὁ φιλόπαις ἐκεῖνος πατήρ, ἐσάλευε δὲ ἡ μήτηρ τὰ πρὸς τὸν παῖδα ἐλπίσιν· ὁ δὲ γλυκύτατος παῖς ἄρτι τὸν ἴουλον (ἦν) φαιδρῶς ἐξανθῶν, ὅτε καὶ τοῖς μητράσιν ἡδονὴ ἄρρητος γίνεται καὶ μεταβολὴ τῆς γνώμης, λαμβάνει γὰρ τὴν ἀμείνω. Θεία τις χάρις ἐπιφοιτήσασα τούτῳ ἐκείνῳ (τὴν) ψυχὴν ὅλως πρὸς τὰ τῶν ναζιραίων ἀποκλίνει, καὶ θερμαίνεται τὴν ψυχὴν καὶ πρὸς τὴν μονὴν ἐπείγεται καὶ δρασμὸν ἐννοεῖ. Οὐ φέρων καθορᾶν δάκρυον μητρὸς θερμῶς σταζόμενον, ἀλλὰ ἀνωτέρω ὀφθεὶς πόθου μητρός, συγγενῶν, φίλων, πατρίδος, τῶν ὁμηλίκων, ἀωρὶ τῶν νυκτῶν φυγὰς πρός τι τῶν ἐν γειτόνων φροντιστηρίων ᾤχετο. Τῆς δὲ γενναίας μη-

1 ὑπέρσεμνοι?] cod. εἰπερσοσμροὶ || χῶρων. 2 cod. μεγέθυμοι || δὲ inserui || μὲν τῆς] cod. μένοις τῆς. 3 πρὸ ὁδου || ἀσήμος. 4 ἐξῖκείνου περϊφάνης. 6 προενεγκάσα. 7 δένδρον ἀειθαλὲς] cod. ἔρονεριθαλὲς. 8 μογήσασα] cod. αὐτῶ γήσασα || μὴδὲν. 10 μὴκετι δύνασθε. 11 ἀνήρωτος || εἰπῆν. 12 τούτο. 13 ὅτι περ] cod. ὅτι τες || τοιῶδε. 15 ἀλληὐχαρίστη. 16 Psalm. xci, 5 || cod. ἄλλου. 18 τούτου addidi. 21 ἦν inserui. 23 cod. μεταβολὴν || λαμβάννει. 24 τούτου ἐκείνου ψυχὴ || πρὸστατων ναζηράιων. 25 θερμαίνετε || μονίν. 27 πόθο. 29 τινα τῶν ἐγγείτόνων φροντῆστηρίων || Τῆς etc.] nota genit. absol. pro nomin.

τρὸς τὸ δρᾶμα καταμαθούσης καὶ μὴ ἀγνοούσης ὁποῖον τὸν πόθον ἔτρεφέ τε καλῶς ὁ παῖς καὶ ποῦ τὸν ἔρωτα μετηγάγετο. ἥλγει μὲν ὡς εἰκὸς τῇ τοῦ παιδὸς στερήσει (καὶ πῶς γὰρ οὔ, εἰ μὴ λίθος ἦν, εἰ μὴ σίδηρος;), ηὐχαρίστει δὲ τῷ θεῷ, ὅτι μὴ ὁ παῖς ἀπεσκίρτησεν ἔξω χάριτος θείας καὶ πόρρω τοῦ πλάσαντος, ἀλλ' εἴσω τῶν πατρικῶν ἀγκαλῶν εἰσέδυσε καὶ προσεπιθάλπεται.

4. Οὐ συχνὸς παρῆλθε χρόνος, καὶ ἡ φιλόπαις ἐκείνη καὶ σεμνὴ μήτηρ πρὸς τὰς ἐκεῖθεν μεταβαίνει σκηνάς. Ταῦτα μαθὼν ὁ χαρίεις ἐκεῖνος παῖς καὶ θεῷ μεγάλως ἀποδοὺς τὰς εὐχαριστίας, ὅτι τε τῶν μητρικῶν ἀπελείφθη φροντίδων καὶ μόνος ὡς ἐνῆν μόνῳ θεῷ προσομιλεῖν ἐξέσται αὐτῷ ἀπὸ τοῦδε, τί γίνεται; ὅλον ἑαυτόν, ψυχὴν ἅμα καὶ σῶμα, φέρων ἀνατίθησιν αὐτῷ τῷ τῆς μονῆς προεστῶτι, καὶ πίπτει πρὸς τοῖς ἐκείνου ποσί, τί μὴ ποιῶν; δυσωπῶν τὸν ποιμένα, ἱκετεύων, παρακαλῶν, δάκρυα θερμὰ στάζων, ὥστε τοῦ ἐπαγγέλματος τοῦτον μεταμφιάσασθαι τοῦ τῶν μοναστῶν. Ὁ δέ γε πνευματοφορούμενος ἐκεῖνος ἀνὴρ προβλέπων διὰ τῆς ἐνούσης αὐτῷ χάριτος, ὁποῖος ἐσεῖται μετὰ τὴν δωρεὰν ταύτην καὶ ὅπως οὐ μόνον ἑαυτὸν κυβερνήσοι καὶ προκόψει δι' ἀρετῆς. ἀλλὰ καὶ πολλοὺς ὁμοίως παραθήξει πρὸς ταύτην καὶ παρασκευάσοι ζηλωτὰς γενέσθαι αὐτοῦ, πείθεται, καὶ τὰς συνήθεις εὐχὰς ἐπειπὼν κείρει κατὰ μοναχοὺς τὸν καὶ αὐτοῖς ἀγγέλοις αἰδέσιμον. Καὶ παιδεύεται, ὡς ἐνῆν τῇ μονῇ, προστάξει τοῦ ποιμένος τὴν τῶν γραμμάτων προπαίδειαν, καὶ γίνεται πρὸς τὰ μαθήματα, ταῦτα δὴ τὰ ᾀδόμενα, δαλὸς εἰς πῦρ, ξυρὸς εἰς ἀκόνην, ῥοῦς κατὰ πρανοῦς. Ἐν ὀλίγῳ χρόνῳ ἅπαν ἀποστηθίσας τὸ τοῦ Δαυὶδ ψαλτήριον, καὶ πᾶσαν ἐκκλησιαστικὴν βίβλον μετ' ἐπιμελείας ἐπιών, ἐθαυμάζετο παρὰ πᾶσιν.

5. Ἐσκίρτα μὲν ὁ τῆς μονῆς ἀφηγούμενος καὶ πάντες οἱ μοναχοί, ὁρῶντες ἐν ἁπλῷ καὶ οὕτω νεάζοντι σώματι ὁλόνυκτον

1 καταμαθούσης] cod. κατὰπαθούσης. 2 ἐτρέφετο καλόσοπὲσ. 4 ἠύχαρίστη || ὦφῖ. 7 φῖλόπες. 8 μεταβαίνην. 9 μεγάλω || εὐχαριστείας. 10 ἀπελῖφθη. 11 προσομῖλῆν || γίνετε ὁ λέγον ἑαυτὸν. 12 ψυχὼν ἅμα. 13 πρὸς τὰς. 16 πνευτοφορούμενος. 17 ἐνόυσιν || ἔσειται μετὰ τῶν. 19 πολλόν || παραθῖξει. 20 ἀυτῶ, πείθετε. 22 παιδεύετε. 24 ξηρὸς. 25 ἐνολίγο χρόνο ἅπ. ἀποστηθήσας || ψαλτήρειον. 26 μετεπιμελέιας. 27 πᾶσην. 28 ἐκρίφτα. 29 μονάχὴ || ἐναπλῶ || νάζοντι.

ἀγρυπνίαν, μελέτην διηνεκῆ, συνετὸν φρόνημα, ὑποπίπτουσαν πρὸς πάντα ἀπόκρισιν. Ταῦτα καθορῶν ὁ τῆς μονῆς ἐκεῖνος διορατικὸς ἀνήρ, εἰς νοῦν λαμβάνει, μὴ ἂν ἀργὸν καὶ ἀνόνητον παραλελεῖφθαι τοιοῦτον φῶς· ἐπόθει τὸν (οὐ) κατὰ νέους φρονοῦντα, ἀλλ' ὑπὲρ γέροντας, ἱερατικὴν ἀναδέξασθαι λειτουργίαν. Βιάζει ὀκνοῦντα καὶ ἀναδυόμενον, ὁ δὲ ὑπακοῆς υἱὸς τυγχάνων μόλις διὰ τὴν ἀξίαν ὑπείκει, καὶ χειροτονεῖται διάκονος, εἶτα ἱερεύς· ἀλλ' ἡ τῆς ἀξίας ἀνάβασις ἐζήτει καὶ τὴν τῆς ἀρετῆς προκοπὴν μείζονα.

6. Ἑπτά που παρῆλθον ἐνιαυτοί, καὶ λαβὼν τὸν ἄνδρα ἔρως ἡσυχίας καὶ τοῦ κατιδέσθαι τοὺς ἱεροὺς τόπους καὶ ἔνθα (οἱ) τοῦ θεοῦ πάναγνοι καὶ θεῖοι πόδες ἔστησαν εἰς σύστασιν τῆς οἰκουμένης, μηνύει τῷ ἀββᾷ τῆς μονῆς τὰ τῶν λογισμῶν, ἔκφορα ποιεῖ τὰ τῆς ψυχῆς· ὁ δὲ προεστώς, προσσχὼν τοῖς λεγομένοις καὶ ὡς ἐπὶ συννοίᾳ οἷον ἑαυτὸν ἐπισυνάξας, πρῶτα μὲν ἐλελύπητο τὴν ἀθρόαν μεταβολὴν καὶ ἀνέλπιστον ἀκοήν· εἶθ' οὕτως καὶ καθ' ἑαυτὸν συνδιασκεψάμενος, μή τοι οὐκ ἀθεεὶ τὸ πρᾶγμα ⟨τῇ⟩ τοῦ ἀνδρὸς ψυχῇ ἐνέσκηψεν, λοιπὸν ἐπιτρέπει τὸ βουλευτέον κατὰ θεοῦ ἀποκάλυψιν· ὃ δὴ καὶ γίνεται. Τρεῖς παρῆλθον ἡμέραι καὶ τῷ μεγάλῳ ἀποκαλύπτεται, θεῖος ὄνειρος ἐπιπτάς, ἀνεῖναι τὸν θεῖον Γεράσιμον καὶ τὸ βουλητέον αὐτῷ διαπράττεσθαι· οὕτω γὰρ μετωνόμασται τῇ τοῦ μοναδικοῦ ἀμφιάσει, Γρηγόριος ἐκ γενετῆς καλούμενος.

7. Τῶν τῆς ἀναχωρήσεως τοίνυν ὁ ἀνὴρ λόγων ἀκούσας καὶ ἡσθεὶς τῷ ἀπροσδοκήτῳ τῆς ἀφέσεως, τῷ θεῷ χάριτας ὡμολόγει, ὅτι μὴ ἀντίξουν ἦλθεν αὐτῷ τὸ βουλευόμενον· ἐσκέπτετο γὰρ λάθρᾳ τῆς συνοδίας ἐκείνης διασπασθῆναι. Πίπτει πρὸς τοὺς ἱεροὺς ἐκείνους πόδας τοῦ ἱεροῦ ποιμένος ὁ ἱερεὺς καὶ θύτης, καὶ καθαρῶς αἰτεῖται συγγνώμην παρὰ πάντων· ταῖς συμπλοκαῖς δάκρυα ἐπεμίγνυεν, ἕως πάντας ἀντασπασάμενος τῆς μονῆς ἐξῆει. Συχνὰ

1 cod. διηνεκεῖ. σύνετον. 2 ἀπόκρισην. 3 λαμβάνειν || ἀνώνυτον παραλελῦφθαι. 4 ἐπ.//θει τὸν μετὰ. 5 ἱερατικων || ὠκνοῦντα. 6 ἀναδυόμεν. 7 ὑπήκει || χειροτονεῖτε || ἀλλὴ. 8 ἀρετὴν. 9 ἐνιάυτὸν. 10 κατειδεσθαι || οἱ inserui. 12 τῷ] cod. τοῦ. 14 ἐπισυννωα. 15 ἀθρόα || ἐισθούτως. 16 καὶ μήτιούκαθεὶ || τῇ inserui 17 λοιπὸν] cod. εὐχὸν || βουλευταῖον καὶ θῦ. 18 γίνετε || ἡμέρες. 20 βουλητάιον. 21 μετωνόμασθε || γρηγόρηος || γεννητοῖς. 23 λόγον. 24 ὁμολόγει. 25 ἀντήξουν. 27 καθαρὸς. 28 συγγνώμης || συμπλοκᾶσ. 29 ἐξύει.

τοὺς ὀφθαλμοὺς μεταστρέφων πρὸς τὴν γλυκυτάτην ἐκείνην καὶ ἱερὰν ποίμνην, ἕως πόρρω που τῆς μονῆς διαστάς, καὶ τῆς ὁδοῦ ἀπαρξάμενος ἤρξατο ψάλλειν, "Δίδαξόν με, κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι", καὶ τὸ "Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι" καὶ τὰ ἑξῆς. Καὶ οὕτω διανύσας ἐπὶ πολλὰς ἡμέρας φθάνει τὴν Παλαιστίνην, ἔνθα μετὰ πολλῆς εὐφροσύνης ἄσμενος ὑπεισδὺς ὁρᾷ τοὺς σεβασμίους τόπους, ὅπου τὸ ὑπὲρ ἡμῶν ὁ σωτὴρ ἐπεπόνθει· καὶ μετὰ πίστεως καὶ θυμηδίας ὅσης τὸν πόθον ἀφοσιώσας, πλείστοις τε θείοις ἀνδράσι συνομιλήσας καὶ οὐ μικράν τινα τὴν ὠφέλειαν ἔνθεν ἀπαρυσάμενος, ἔξεισι πρὸς τὸν Ἰορδάνην, ὅπου κατακεῖσθαί φασιν ἄνδρας ἀγγελικὸν μετιόντας βίον· ἀνιμῆσαι τὴν ἐκείνων ἀρετὴν τὸ σπουδαζόμενον ἦν.

8. Καὶ τέως εἰσβάλλει τῇ τοῦ θείου Σάβᾳ λαύρᾳ. Ἐκεῖσε γοῦν ἐπιξενωθεὶς καὶ φιλοφρονηθεὶς παρὰ τοῦ θαυμαστοῦ Σάβα καὶ εὐλογηθείς, καὶ πρὸς ἀρετὴν ἐπὶ πλέον οἴκοθεν θερμανθείς (φιλεῖ γὰρ πρὸς τὸν ὅμοιον ζῆλον ἀναπτεροῦσθαι, ὅταν τὸ ὁμόφυλον τὸ αὐτὸ καθορᾷ ἐπειγόμενον), ἐν τῇ λαύρᾳ οὖν, ὡς ἔφην, προσιὼν καὶ πλεῖστα τῆς ἀρετῆς ἐκμαθὼν παλαίσματα, καὶ διδαχθεὶς πῶς δεῖ παλαίειν "πρὸς τὰ πνευματικὰ τῆς πονηρίας", καὶ ὅλως ὡς σίδηρος τῷ ψυχρῷ τῆς ἀρετῆς ὕδατι στομωθείς, πολὺν τῷ ἀγῶνι τούτῳ χρόνον τῇ λαύρᾳ προσδιατρίψας, ἄπεισι τῆς λαύρας (θειοτέρα τις ἔλλαμψις πρὸς ἑαυτὴν ⟨ἦν τοῦτον⟩ μεταβιβάζουσα), ⟨καὶ⟩ τὰ τοῦ Ἰορδάνου μέρη καταλαμβάνει· ἔνθα τετρακτὺν τῶν ἀρετῶν εὐφυῶς ἑαυτῷ διεσώσατο, ἀνδρείαν, σωφροσύνην, δικαιοσύνην, τῇ μὲν ἀνδρείᾳ κατὰ τῶν ἰσχυρῶς ἀνταγωνιζομένων καὶ ὀλικῶς ἐπεισπηδώντων σπαράξαι ἡμᾶς ἐχθρῶν ὁρατῶν χρησάμενος.

9. Ὅσοι μὲν νοητοὶ ἐχθροὶ καθελκῦσαι ἢ χαλάσαι ⟨τοῦτον⟩ τοῦ τόνου ἐπέτρεχον, ὁ δέ γε θεῖος οὗτος Γεράσιμος ὑψῶσαι δι' ἀσιτείας καὶ νευρῶσαι ⟨ἑαυτὸν⟩ τῇ τοῦ σωτῆρος πίστει ἐπισπεύδων

3 cod. ψάλλην||Psalm. CXLIII, 8. 4 Psalm CXVIII, 1. 5 cod. ἐπιπολλὰς||φθάννει. 8 θυμῖδίας. 9 συνομῖλῖσας. 10 ὠφελείαν || ἐξυσι. 11 ἀνιμεῖσαι. 12 ἀρετὸν. 13 ἐκεῖσαι. 15 ἐπιπλέον. 16 ζῆλον] cod. λῆλον. 19 παλαίην || Ephes. VI, 12. 20 cod. ὅλωώσ || στωμωθεὶσ πολὴν 21 χρόνω. 22 ἦν τοῦτον et καὶ inserui. 23 cod. καταλαμβάννει. ἔθα τετρακτὴν. 26 ἐπεισπηδόντων || ὁορατῶν. 27 ὡσοί || καθελκεῖσαι || τοῦτον addidi. 28 cod. ἐιέτρεχον. 29 διασιτείας || ἑαυτὸν inserui || τῇ τοῦ] cod. τῆστοῦ || ἐπεσπέυδεν.

ὡς πρὸς θαῦμα, καὶ θάμβος ἦν καθορᾶν διαπαλαίουσαν ἄυλον φύσιν καὶ ἔντονον καὶ πρὸς ὕψος αἰρομένην μεθ' ὑλικῆς παχυτῆτος καὶ παθητῆς καὶ χαμερποῦς καὶ προσγείου. Ὅσον εὐσθενεῖ ὁ ὑπέρτερος πρὸς τὸν ὑποβεβηκότα, ὡς ἐξὸν διαμάχεσθαι ἴσον πρὸς ἴσον, οὐ μὴν ἑτερούσιά τινα καὶ ἑτερότροπα· εἰ δὲ καὶ οὕτω νικήσει τὸ ἡσθενημένον, καὶ τὸ ἧττον πρὸς φύσεως σύγκρισιν μετὰ θαύματος ἀξιέπαινον· ὃ δήπου νενίκηκε περιφανῶς ὁ θεῖος οὗτος ἀνήρ, τὸν ἐξαλείφειν πάντα ἐγκαυχησάμενον. Τοσαύτη ἦν ἡ τοῦ ἀνδρὸς ἀνδρικωτάτη ἐπίρρωσις, ὡς ἀπὸ στερρᾶς ἀρχῆς στερρότερον τὸ συμπέρασμα διιππεῦσαι.

10. Σωφροσύνῃ δὲ τοσαύτῃ ἐκέχρητο, ὡς ἐπιλελῆσθαι τὰς φυσικὰς ὀρέξεις καὶ τῇ ἐπιτεταμένῃ σκληρᾷ διαίτῃ ἐναποψυγῆναι πᾶν ὑδαρῶδες καὶ δίυγρον, μόνην ⟨δ'⟩ ἐναπομεῖναι τὴν οἷον αἰθέριον καὶ μὴ διαρρέουσαν ὑπόστασιν, ὡς τῶν φυσικῶν ἀναγκῶν ὑψωθῆναι καὶ μηδὲ ἴχνος ὀρεκτικὸν τῇ τοῦ νοῦ φαιδρότητι διαπαρεῖναι, ἀλλ' ἀτενὲς ἐνορᾶν πρὸς τὸ θεοπρεπὲς καὶ μόνην ἔχειν ὡς φυσικὴν τὴν τοῦ καλοῦ κίνησιν. Ἐρασθεὶς γὰρ τῆς ὑπεραρχίου καὶ τελεταρχικῆς ζωοποιοῦ Τριάδος, ἐκεῖσε τὸ τῆς ζωῆς αὐτοῦ μέτρον ἀνέφερέ τε καὶ συνεχῶς τῷ νοῖ διέστρεφε, μηδόλως ἐκπεσεῖν σπουδάζων τῆς καλῆς νίκης, τῆς ὑπεραστραπτούσης ἐν καλλοναῖς. Οὕτως ἦν αὐτῷ τὰ περὶ τὴν σωφροσύνην σπουδάσματα, ἐξ ἧς ἡμιλλήθη ἀγγέλοις, σὺν οἷς ἐσκίρτα χορεύων παραδόξως ἐπὶ τῆς γῆς· τὸ δὲ θαυμαστόν τε καὶ ἀληθές, αὐτὴν τὴν ἁγίαν Τριάδα ἔσχεν ἔνοικον τῇ καθαρωτάτῃ ψυχῇ, ὡς μὴ ἔλαθε τὸ ῥητὸν τοῦ ἀψευδοῦς στόματος, ὡς "Ἐγὼ καὶ ὁ πατὴρ ἐνοικήσομεν", τοῖς καθαροῖς δηλονότι, "καὶ μονὴν χαρίεσσαν ἐμποιήσομεν". Οὕτως ἐψωμίζετο ὥσπερ τι θεῖον νέκταρ τὴν σωφροσύνην ὁ Γεράσιμος.

11. Φέρε δὴ φέρε κατοψώμεθα καὶ τὰς προσούσας τῷ ἁγίῳ τῷδε τῆς δικαιοσύνης ἀκραιφνεῖς ⟨στάθμας?⟩. Ἐσταθμίζετο γὰρ ἐκά-

2 cod. αἰρούμενον μεθηλικῆς. 3 προσγείου] cod. προσοίγει || εὐσθενῆ. 6 σύγκρησιν. 7 δ] cod. ὡς. 8 οὕτωσ. 9 ἀνδρεικότατα. 10 διηππεῦσαι. 11 ἐπιλελεῖσθαι. 12 ἐναποψυχῆναι (supra χ m. pr. γ). 13 δ' addidi || τὴν] cod. τῶν. 15 ὀρεκτικὸν] cod. ὀρυκτικὸν || διαπαρεῖναι] cod. διάσπαρηναι. 16 ἀλλάτηνὲς. 17 ωσέφυσικὴν. 19 ἀνεφέρετε. 20 σπουδάζοντεσ τῆσ καλλωνικῆσ || καλλωνᾶσ· 22 ἡμῖλλίθη. 23 ῥητὸν] cf. Iohan. xiv, 23. 25 cod. ἐνοικήσωμεν. 26 δηλονότη || χαρίεσσεν ἐμποιήσωμεν. 29 ἀκραιφνεῖσπρόμνα. ἐσταθμίζετο etc.

στῳ τὸ πρέπον, τῇ μὲν ψυχῇ προσνέμων τὸ προσῆκον ἀύλῳ καὶ καθαρῷ καὶ ἰσάξιον τὴν ἐπινέμησιν, τῷ δὲ σώματι ἀναλόγως ⟨τὸ⟩ γαιώδει φύσει καὶ σαρκικῇ· καὶ οὕπω κατεξανίστασθαι τὸ ἕτερον ⟨κατὰ⟩ τοῦ ἑτέρου παρεχώρει, ὡς ἄκριτα καὶ ἀκυβέρνητα, ἀλλὰ τὰς ἑκάστου ῥοπὰς διιχνεύων, ἐπιμιξίας, στασιώδη καὶ ὀχλοειδῆ πόρρωθεν διέκρινεν· οἷς γὰρ οὐ διέκρινεν πραγμάτων ἐπιμιξίαν καὶ χρημάτων ἀστεγῆ στάσιν, οὐδ' ἀδικούμενον πρὸς τοῦ ἀνταθετουμένου· οὐδὲ ἀρχοντικῇ ἀξίᾳ περιεζώννυτο. Τὸ φιλοδίκαιον ἐν τούτοις ἐν ἑαυτῷ διέφαινε, τῷ νοουμένῳ νέμων τὸ τῆς ψυχῆς ἄυλον καὶ ἀόρατον, τῷ χοῒ δὲ τὸν πηλὸν τόνδε ἐπιμιγνύς. Οὕτω τὸ φιλοδίκαιον ἐν ἑαυτῷ διεσῴζετο, ὡς ἀδικίαν ἐν καρδίᾳ αὐτοῦ πρὸς θεὸν οὐχ ἑώρακεν πώποτε. Τὸ κεφάλαιον πάντων τῶν καλῶν καὶ κορωνὶς τῶν ἄλλων προσόντων ἡμῖν τοῖς ἐν βίῳ ἡ φρόνησις, ᾗ ἐκεκόσμητο ὁ θεῖος ὄντως καὶ θαυμαστὸς Γεράσιμος, ὡς στάθμη τις οὖσα καὶ κανὼν ἀρρεπής, κατ' εὐθεῖαν τῇ τέχνῃ πρὸς τὸ ἀνάλογον ἐπιθάλπουσα, οἷά περ τὸ αἰσθητὸν ἄλας διαρτύειν πεπίστευται τὰς ἐν ἡμῖν τῶν βρωμάτων ποικιλίας καὶ γλυκαίνειν τὴν ὄρεξιν καὶ διεγείρειν πρὸς τὰ σιτία - - -

12. Τούτοις ὁ μέγας Γεράσιμος ἐνοπλισθεὶς καὶ οἷόν τινα περικεφαλαίαν καὶ κράνος καὶ θώρακα ἐνδύς, ἔστη τῷ σταδίῳ τῆς ἐρημίας καὶ τοὺς ἐχθροὺς δαίμονας οὓς μὲν ἐτίτρωσκε ταῖς εὐχαῖς, οὓς δὲ καὶ κατέβαλλε τελείως τῇ ἀσιτίᾳ· ἔστι δ' ὅτε καὶ ἠφάνιζεν αὐτοὺς ὡσεὶ καπνόν. Τίς γὰρ ἀγρυπνῶν καὶ νηστείᾳ τήκων ἑαυτὸν οὐκ εὐθὺς ὄργανον ὤπται θείας χάριτος ὁ θεῖος οὗτος Γεράσιμος; ἢ τίς τῷ ταπεινῷ μετρούμενος καὶ ἀντεξεταζόμενος πρὸς ὕψος ἦρτο θείας γνώσεως, ὡς ὁ πάμμεγας οὗτος; Ἐν ἕξει γὰρ γεγονὼς τοῦ καλοῦ, δι' ὧν κατώρθου καὶ δι' ὧν ἐτίθει πόνων ἐν ἀρεταῖς ὑπερηκόντησεν τοὺς προτοῦ καὶ μετά, καὶ - - - τὸ πλέον πόνων διδοὺς ἑνίκα περιφανῶς. Τί δὲ ὁ τούτων τῶν

3 cod. καθορῶ || τὸ inserui=προσνέμων τὸ προσῆκον. 3 γαιώδη. 4 κατὰ inserui. 5 διιχνεύων, ἐπιμιξίας. 6 πόρρωθεν] cod. πόρρω. 8 πρὸς τὸν ἀντιθετούμενον. 13 πασῶν καλῶν καὶ κωρωνίδα. 15 θαυμαστόν. 18 γλυκαίνην || σιτεια. ὡς μαρανθὲν τοῦτο. ὃ δὴ πιστεύετε φρόνησις, οὐδὲ τῶν ἀλλόνησις, ἀλλὰ καὶ παίγνιον ἄντικρυς. 19 τινα] cod. τε. 20 περικεφαλαίαν καὶ κράτος. 22 ἐχαῖς || ἀσιτεία. 25 ἀντιξεταζόμενος. 27 ἐνέξει || κατόρθου. 28 πόνον ἔναρετον || καὶ ἐνῷωσ το πλέον.

καλῶν ἐργάτης καὶ οὕτω νικῶν; τῇ ἐπιτάσει τῶν ἐπιπόνων ἀσκήσεων ᾤετο τὸν ἀέρα φιλονεικῶν διίπτασθαι; Οὔμενουν· ἆρα δὲ ηὐμοίρησε θείας ἐλλάμψεως, ἢ καὶ χαρίτων ὅλος ἐγεγόνει μεστός; Ναὶ μὴν καὶ ὑπερεπερίσσευσεν ἡ χάρις καὶ ηὐγάσθη καὶ τῶν δωρεῶν τοῦ ἀγαθοῦ πνεύματος δαψιλῶς διεδράξατο, ὅθεν καὶ τῶν χαρίτων καὶ τῶν θαυμάτων ἡ ἀρχή. Πλησθεὶς γάρ, ὡς ἔφην, πνεύματος ἁγίου καὶ τῇ καρδίᾳ δεξάμενος θείαν ἔννοιαν, καὶ τελεσιουργηθεὶς ἢ (τάληθὲς εἰπεῖν) χρισθεὶς χειρὶ θεοῦ, λαύραν ἱερὰν ἐποικοδομεῖ τῷ ποταμῷ τοῦ Ἰορδάνου ἔγγιστα, πιστεύων ψυχῶν εἶναι ἐπιμελὲς καταγώγιον, λύτρον καὶ ἀφέσιον κακιῶν. Πολλοὺς γοῦν τῇ λαύρᾳ ἐπισυνάξας δι' ἀρετῆς ἐργάτας ἀξιάκουστος ἐπεφύκει, καὶ συνέτρεχον ἄλλοθεν ἄλλος, τοῦ μύρου τῶν χαρίτων πόρρωθεν συγκαλοῦντος τοὺς ἀξίους τῆς δωρεᾶς, καὶ ἦν ἰδεῖν ἐκεῖσε χορείαν ἔμμουσον, ἐναρμόνιον μέλος ψαλλόντων ἀπαύστῳ ῥυθμῷ.

13. Ταῦτα τῆς καλῆς συνοδίας ἐκείνης τὰ ἀγωνίσματα, ταῦτα (τὰ) τοῦ θαυμαστοῦ Γερασίμου κατὰ τῶν ἐχθρῶν στρατηγήματα· τὰ δ' ἄλλα θαυμάσια καὶ τροπαιουχήματα τίς διηγήσεται; Ἓν δὲ τῶν πολλῶν εἰς μέσον προθήσομαι, τῶν ἄλλων παραθήσω τὸ πλῆθος, φεύγων τὸν κόρον τῇ ἀμετρίᾳ. Σύνηθες ἦν τῷ μακαρίῳ τούτῳ πατρὶ περιπολεῖν τοῖς τοῦ Ἰορδάνου μέρεσιν. Μιᾷ γοῦν τῶν ἡμερῶν μετὰ τοῦ φοιτητοῦ διερχομένου τοῦ γέροντος καὶ τὰς εὐχὰς περὶ τρίτην ὥραν ὡς σύνηθες ποιουμένου, λέων ποθὲν ἐκ τῆς βαθυτάτης ἐρήμου αἴφνης ἀναφανείς, φοβερὸς τῷ εἴδει, φοβερώτερος τῇ ἐκπλήξει, ὑπερανδρειωθεὶς οἷον καὶ τῇ ἀλγηδόνι ἀναπηδήσας, εἴσεισι πλησίον τοῦ γέροντος καὶ τῇ φωνῇ τὸν ἔλεον ἐξεκαλεῖτο. Βρύχων ἦν καὶ τῷ βρυχήματι ἐδήλου τὴν ἔνδον τῆς καρδίας αὐτοῦ ὀδύνην, καὶ τῇ βοῇ τὸν πόδα ὑπέφαινε, κάμψειν πρὸς οἶκτον τὸν ἅγιον ἐν τούτῳ φιλονεικῶν· ὁ δέ γε φοιτητὴς τούτου Ἰγνάτιος (οὕτω γὰρ ἐκέκλητο ὁ ἀνήρ) τὸν θῆρα ἰδὼν καὶ φρίκῃ συσχεθεὶς τῇ παραδόξῳ θέᾳ, πίπτει πρὸ τῶν ποδῶν τοῦ ἁγίου ἡμιθανής·

1 ἐπιπόνων ἀσκήσεων] cod. ἐπίπονων ἄσκων. 5 διεδράξατο] cod. διεδέξατο. 8 τελεσιουρθεὶς, εἰταλιθὲς. 9 ἐπικοδομεῖ. 10 ἀφέσιον κακιῶν] cod. ἄφεσιν κακῶν. 12 ἄλλονθεν. 13 ἐκείσαι. 14 χωρείανἔμμασον. 16 τὰ inseruι. 19 φεῦγον. 20 περὶ πολῆν || μιᾶγουν. 22 ποιουμένω || ποθὸν. 24 ὑπερανδρειωθεὶς] cod. ὑπερανθεὶς || ἀλγιδῶνι. 25 εἴσησι. 27 κάμψην.

δν ὁ γέρων τῇ χειρὶ λαβὼν ἀνέστησέ τε καὶ τῆς δειλίας ἐμέμψατο, ῥᾳθυμίαν φήσας εἶναι τὸ αἴτιον καὶ ψυχῆς ἀσθένειαν μόνον, "ἐπεὶ οὐκ ἄν σοι συνέπεσεν οὕτω πτοιὰ καὶ φόβος ἄκαιρος, κατ' εἰκόνα θεοῦ τετιμημένῳ καὶ ἄρχειν τῶν θηρίων ἀξιωθέντι". Ταῦτα πρὸς τὸν φοιτητήν· πρὸς δὲ τὸν λέοντα τί; Τὸν τοῦ θηρὸς πόδα ὁρῶν ὁ γέρων περιαλγῆ ὄντα καὶ ὅλον ἐξηλκωμένον καὶ διοιδοῦντα τῇ τοῦ σκόλοπος τρώσει, λαβόμενος τοῦ ποδὸς τέμνει τε τὸ σεσηπὸς καὶ φλεγμαῖνον, καὶ τὸ προσὸν ἐκεῖσε ἐκ τῆς καλάμου κάρφος ἐξωθεῖ καὶ καθαίρει. Εἶτα ἐπίδεσμον ἐπιτίθησι καὶ ἀντὶ φαρμάκου ἐπιπάττει τὴν ἑαυτοῦ εὐχήν, καὶ τὴν θεραπείαν ἐν ἀκαρεῖ δέχεται καὶ γίνεται λογικὸν ὥσπερ τὸ πρώην ἀτίθασον, καὶ συνῆν τῷ ἁγίῳ διὰ παντός, καὶ συνείπετο παραδόξως, τρεφόμενος οἷς ὁ γέρων διέζη ἀσκῶν, ἄρτῳ καὶ μετρίοις ὀσπρίοις, καὶ οὕτω διῆγεν ἐν τῇ λαύρᾳ συχνὸν ἤδη χρόνον, ὡς ἀπαρνηθῆναι τοῦτον τὴν θηριωδίαν καὶ τῶν μοναχῶν γενέσθαι συνέστιον.

14. Ἐξ οὗ τί γίνεται; Ὄνος ἦν ὑπηρετῶν πρὸς μετακομιδὴν τοῦ ὕδατος τῇ μονῇ· πόρρωθεν τοῦτο μετεκομίζετο ἐκ τοῦ Ἰορδανίου ῥεύματος. Τί γοῦν ὁ τῆς μονῆς προεστώς, ἡ θεία ψυχή, ὁ θεῖος ὄντως Γεράσιμος; Προστάττει τῷ λέοντι ἐξάγειν τε καὶ εἰσάγειν τὸν ὄνον εἰς νομὴν καὶ φύλακα τούτου εἶναι ἀσφαλῆ· ὃ δὴ ἐποίει ἐπὶ πολλὰς ἡμέρας. Μιᾷ γοῦν τῶν ἡμερῶν τὸν ὄνον ἀπάξας πρὸς τὰς συνήθεις νομὰς καὶ πόρρω που ἑαυτὸν τῆς φυλακῆς τοῦ ὄνου διαστήσας, οὐκ ὀλίγου τοῦ διαστήματος ⟨ὄντος⟩, ἔμπορός τις ἐξ Ἀραβίας καμήλοις ἑπόμενος, ἀφύλακτον κατοπτεύσας τὸν ὄνον ἀπήγαγε μεθ' ἑαυτοῦ οἴκοι. Εἶθ' ὁ λέων ἐπαναστρέψας καὶ τὸν ⟨ὄνον⟩ μὴ κατιδὼν ταῖς οἰκείαις νομαῖς ἐστύγναζεν, ἐδυσφόρει, μονονουχὶ δάκρυον τῶν ὀφθαλμῶν ἠφίει. Τρέχει γοῦν πρὸς τὸν μέγαν Γεράσιμον, σχῆμα κατηφὲς δεικνύων· ὁ δὲ μέγας ὑποπτεύσας βεβρωκέναι τὸν ὄνον ὁ θήρ, ἐπονειδίζει αὐτῷ

1 ἀνέστησέ τε] cod. ἀνεσέτε. 4 κατεικόνα θυ τετιμημένα. 6 περιάλγῃων || ἐξείλκόμενον. 7 σκώλωπος. 10 ἐνακαρεῖ. 12 τρεφόμενος sc. ὁ λέων. 13 διέζει. 15 θυριωδία. 16 μετακομηδὴν. 17 πρόρρωθεν. 19 τῶ λέοντα. 20 εἰσάγην. 21 ἐπίει ἐπιπολλὰς. 22 νομὰς] cod. μονᾶς. 23 ὄντος addidi. 24 ἐξαραβίας. 26 ὄνον addidi || ἰκίαις. 27 δάκρυων. 28 κατειφὲς.

λέγων ἁπλοϊκοῖς οὑτωσὶ ῥήμασιν· "Ἔφαγες, ὦ λέον, τὸν ὄνον· σὺ χρησιμεύσεις πρὸς μετακομιδὴν τοῦ ὕδατος τοῖς ἀδελφοῖς". Ἔφη, καὶ ἔκτοτε ὁ λέων τοῖς νώτοις ἐπιφέρων τὸ σκεῦος, τὸ πρὸς μετακομιδὴν τοῦ ὕδατος, καὶ τὸ ὕδωρ ταλαιπώρως ἐκόμιζε τῇ λαύρᾳ. Διόπερ ποτὲ τῶν καιρῶν τις τυχαίως παραβαλὼν τῇ σεβασμίᾳ μονῇ καὶ ἰδὼν οὕτω διαβαστάζον τὸ θηρίον τοὺς ἀμφορεῖς—πρᾶγμα θαύματος ἄξιον—κατεπλάγη τε καὶ τὴν αἰτίαν ἀκριβῶς ἐπυνθάνετο. Εἶτα μαθὼν τὸ συμβεβηκὸς καὶ μετὰ θάμβους ἐλεήσας τὸν λέοντα, χρυσοῦς τρεῖς ἐκ τοῦ κόλπου ἐξαγαγὼν δίδωσι τοῖς πατράσι ἐξωνήσασθαι ὄνον καὶ "Οἰκτείρατε τῆς συμφορᾶς" φησι "τὸν ἄθλιον λέοντα". Τί δὲ ὁ τῶν θαυμασίων θεός; Χρόνος διῆλθεν οὐχὶ συχνός, καὶ ὁ τὸν ὄνον Ἄραψ ἀποκλεψάμενος τὴν αὐτὴν ὁδὸν διήει, δι' ἧς καὶ τὸ κλέμμα πεποίηκε· τυχαίως δὲ τῷ λέοντι κατὰ πάροδον ἐντυχόντι καὶ τὸν ὄνον ἀναγνωρίσαντι πηδᾷ κατ' αὐτοῦ, καὶ τοῦ ἐμπόρου διαφυγόντος δέει τοῦ θηρός, δραμὼν ὁ λέων καὶ τῆς φορβιᾶς τοῦ ὄνου δραξάμενος μετακομίζει τοῦτον ἐν τῇ μονῇ· ὃν ἰδὼν ὁ θαυμαστὸς Γεράσιμος καὶ συνείς, ὅτι συκοφαντία ἦν ἡ κατὰ τοῦ λέοντος ⟨ὑποψία⟩, χαριέντως τὸν λέοντα μετωνόμασεν Ἰορδάνην· μεθ' οὗ—⟨ὧ τοῦ⟩ θαύματος—πλείστους χρόνους διέτριψε τῇ μονῇ ὁ λέων.

15. Ὅτε δὲ πρὸς τὸν ποθούμενον ἐξεδήμησεν ὁ ἐν ἁγίοις Γεράσιμος, οὐκ ἦν τότε παρὼν ὁ θήρ· καὶ τοῦτο τῆς ἀρίστης οἰκονομίας ἔργον, τῆς ποικιλλούσης τὰ καθ' ἡμᾶς. Ἡνίκα γὰρ ἐπάνεισιν ὁ λέων ἐκ τῆς ἀποδημίας, περιέβλεπεν ἔνθεν κἀκεῖθεν περισκοπῶν κατιδεῖν τὸν ἅγιον κατὰ τὸ σύνηθες· ὡς δ' οὐχ ἑώρα. ἀπρὶξ εἶχετο λύπῃ καὶ τῷ βρυχήματι ἐδήλου τὴν ἔνδον τῶν σπλάγχνων ἀνίαν. Οὐ φέρων τὴν στέρησιν ἐδυσφόρει τὴν μόνωσιν. ἤλγει ἐπὶ τῷ χωρισμῷ. Ὡς δὲ ἑώρουν οἱ μοναχοὶ τὸν θῆρα συνεχῶς οὕτω κοπτόμενον καὶ ἀκάθεκτον ταῖς ὁρμαῖς, Σαββάτιός τις μοναχός, τῶν ἄλλων πάντων ἐπιθαρρήσας, κατέψα τούτου τὴν

1 cod. ἁπλαϊκοῖς || λέων. 2 χρησιμεύσης. 5 διόπερ] cod. ὅπερ || τῆστυχαίως παρ. τῆσεβασμίασμονῆς. 6 διαβαστάζοντατὸ. 8 ἐπυνθάννετο || θαύμβους. 11 ὁ] cod. ἡ. 13 τυχέω. 14 ἐντυχῶντι. 15 διάφηγόντος. 16 λέον 18 συκοφαντεία || ὑποψία addidi || χαριέντως. 19 ὧ τοῦ inserui. 22 ἀρίστοις. 24 πεοιέβλέπετο. 28 μοναχὴ.

κεφαλὴν ἐπιλέγων· " Ἀπῆλθεν ὁ γέρων· κεκοίμηται, ὦ λέον, καταλείψας ἡμᾶς ὀρφανίᾳ συνειλημμένους ". Ἐπῆδον μὲν ταῦτα οἱ μοναχοὶ τῷ λέοντι, οὐδὲν δέ οἱ ἐκ τῶν λόγων τούτων ἀνακωχή τις ἦν καὶ τῶν βρυχημάτων παῦλα, ἀλλ' ἔτι προσετραχύνετο καὶ ἅλμασιν ὑπεσήμαινε τὸ ὑπερβάλλον τῆς συμφορᾶς, ἕως ὁ προλεχθεὶς Σαββάτιος " Δεῦρο μετ' ἐμοῦ " φησι " καὶ δείκνυμί σοι τὴν τοῦ ἁγίου σορόν ". Συνείπετο γοῦν ὁ λέων, ἕως ἔστη φέρων αὐτὸν ὁ μοναχὸς ἐπάνω τοῦ ἁγίου. Εἶτα δείξας αὐτῷ τὴν ὁσίαν τοῦ γέροντος, φησὶν πρὸς αὐτόν· " Ἰδοὺ ἐνταῦθα τέθαπται ἡ τιμία κεφαλὴ τοῦ σεβασμίου ἡμῶν πατρός ". Καὶ ἅμα τῷ λόγῳ, γόνυ κλίνας ὁ μοναχός, προσεκύνησε τῷ τάφῳ. Τί δὲ ὁ λέων; οὔπω κατεῖδε τὸν τάφον καὶ εὐθὺς τὴν κεφαλὴν τῷ προσερεισθέντι λίθῳ τῷ τάφῳ οὐκ ἀνῆκε παίων, ἕως αὐτὴν συνέτριψέ τε καὶ τελείως ἠφάνισεν, καὶ θνήσκει (οἴμοι) τῷ προσαρραγμῷ.

16. Οὕτω πόθος ἄρρητος ἐδέσμει ψυχὴν θηρὸς πρὸς ἀνομοιογενῆ, καὶ ἦν πάντως ξένον τὸ τελεσιουργηθὲν καὶ θεοῦ ποικίλη τις σύνθεσις· εἰ δὲ ταληθὲς ἐθελήσειας, τίς ἐξειπεῖν δύναται σαφὲς ⟨περὶ⟩ τῆς ἐν τῷ παραδείσῳ ἀφθόρου ζωῆς καὶ ἀθανάτου ἐξουσιαστικῆς πρὸς τὰ τῶν ἀλόγων ζῴων παμπήδην δουλείας; Ἓν δὴ θαῦμα καὶ μέγιστον τὸ τελεσιουργηθὲν παρὰ τοῦ ἁγίου, τόδε· ἆρα δὲ ὁ τοῦτο ποιήσας καὶ τηλικοῦτον οὐκ ἠδύνατο καὶ πλεῖστα κατορθῶσαι; τῆς γὰρ χάριτος ἀφθόνως ἐνοικησάσης τῇ τοῦ ἀνδρὸς ψυχῇ, δημιουργὸν οὐχ ἑνὸς ἢ δύο παραδόξων ἂν εἰργάσατο, ἀλλὰ μυρίων, εἰ μὴ ἀντιπαλαίουσαν ἔσχε τὴν ἄκραν ταπείνωσιν. Οὕτω βιοὺς καὶ διανύσας βίον πολλοῖς μὲν ζηλωτόν, ὀλίγοις δὲ ληπτὸν ὁ θεῖος Γεράσιμος, ἐν λιπαρῷ γήρᾳ καὶ τελειότητι ἡμερῶν διαβαίνει πρὸς τὸν ποθούμενον. Ἀλλ', ὦ θεῖε Γεράσιμε, μὴ λείποις ἡμᾶς ⟨τοὺς⟩ σοὺς ὑμνητὰς καὶ φοιτητὰς τῷ ὁμοτρόπῳ τῆς πολιτείας, σῴζοις δὲ ταῖς εὐπροσδέκτοις σου εὐχαῖς καὶ τὸν

1 κεφαλὴν] cod. κεφαλικὴν || ὀλέων. 3 ἀνακογή. 7 σωρὸν. συνήπετο 8 τὴν ὁσίου. 9 τεθάπται. 11 προσυκύνησε. 12 εὐθὺς || πρὸσέρισθέντι. 13 οὐκανῆκε. 14 ἠφάνησεν || οἴμμοι. 15 πόθω || ψυχὴν] cod. χυχὴν || ἀνομοιόμογενῆ. 17 δύναται] cod. δεῖνμα. 18 περὶ inserui. 19 πανπήδην. 21 οὐκηδύνατον. 23 ἠργάσατο. 24 μυρίων] cod. μύρων || ἀντιπαλαίουσαν] cod. ἀντιπλέουσαν. 26 λειπαρῷ. 27 πρὸς τὸν] cod. προτὸν. 28 τοὺς inserui.

σὸν ὁμώνυμον καὶ πόθῳ ἐπιτάξαντα δοῦναι γραφῇ τὰ κατὰ σὲ δοίης ἐν ἡμέρᾳ ἀπολυτρώσεως ἵλεω καὶ προσηνὲς κατιδέσθαι τὸ φῶς τὸ ἀίδιον τῇ Τριάδι ἐναυλιζόμενος, ᾗ πρέπει πᾶσα τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

1 cod. τῶ cῶ ὁμωνόμω, καὶ πόθο ἐπιτάξαντι. 2 δοίης ἐν] cod. δοίησεν || λεω καὶ προσινῆ κατειδεσθαι. 3 ἐναυλιζόμενος] cod. ἐνάυθαζόμενος.

IX.

Ὀκτωβρίῳ κα.

ΜΑΡΤΥΡΙΟΝ

ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ ΜΑΡΤΥΡΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ

ΕΞΗΚΟΝΤΑ ΚΑΙ ΤΡΙΩΝ,

τῶν ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλὴμ συλληφθέντων ὑπὸ τῶν Ἀγαρηνῶν καὶ μαρτυρησάντων ἐν τοῖς χρόνοις τοῦ βασιλέως Λέοντος τοῦ Ἰσαύρου· συγγραφὲν παρὰ Συμεὼν μοναχοῦ πρεσβυτέρου καὶ ἡσυχαστοῦ τοῦ ἁγίου σπηλαίου τοῦ Τεσσαρακονθημέρου.

1. Ἡ τῶν μακαρίων ἀνδρῶν πολιτεία καὶ οἱ ἀσκητικοὶ ἀγῶνες καὶ τὰ μαρτυρικὰ σκάμματα εἰς ἀκρόασιν ταῖς φιλοθέοις προτιθέμενα ἀκοαῖς διαθερμαίνουσι τῷ ζήλῳ ἐν τοῖς ὁμοίοις καιροῖς πρὸς τὰ ὅμοια, καὶ ὥσπερ χεὶρ ὁδηγὸς γίνονται τοῖς γενναίαν καὶ νεανικὴν ἔχουσι ψυχὴν καὶ πρὸς τὸ τραχὺ τῆς ὁδοῦ ἀκατάπληκτον· οὐδὲν γὰρ οὕτω πτερῶσαι δύναται ψυχὴν καὶ πεῖσαι διὰ μέσων τῶν θλιβερῶν χωρῆσαι καὶ ἀνένδοτον ἐν τοῖς δεινοῖς καρτερίαν ἐπιδείξασθαι, ὡς τὸ ἔχειν πολλοὺς τοὺς προοδεύσαντας καὶ πρὸς τὰ παραδείγματα ἀγωνίζεσθαι μὴ ἐλλειφθῆναί τι τῆς ἐκείνων καρτερίας καὶ σταθηρότητος. Ὃ καὶ ζωγράφοι γενναῖοι πάθοιεν ἂν πρὸς τοὺς ἀρχετύπους πίνακας· φιλοτιμεῖσθαι γὰρ ἐν τοῖς καλλίστοις φύσεως δεξιᾶς γνώρισμα καὶ φρενὸς εὐγενοῦς, καὶ γνώμης ἐλευθέρας καὶ μεγαλόφρονος· ἀφ' ὧν ὅ τε ἅπας τῶν ἁγίων ἄλλος ἐδοξάσθη χορὸς καὶ οἱ νῦν ἡμῖν εἰς εὐφημίαν προκείμενοι ἄνδρες,

Codex Vaticanus 2042. s. XII, fol. 202—211ᵃ (=A). Codex Messinensis, Nº μβ', fol. 96ᵇ — 105ᵇ (=B).

3 ἐνδόξων om. B. 6 ἀγαρινῶν B. 7 λέωντος AB. 11 εἰσακρόασιν B. 15 μέσων AB. 16 θλυβερῶν B. 18 ἐλ. τις τοῖς B.

εὐσεβεῖ βίῳ καὶ ἀκραιφνεῖ πολιτείᾳ κατὰ θεὸν μορφωθέντες καὶ ἀτρύτοις πόνοις καὶ σκάμμασιν εἰς τὴν ἀκρόπολιν τῶν καλῶν ἀναδραμεῖν εὐτονήσαντες, καλῷ (τε) τέλει, καὶ τούτῳ μαρτυρικῷ, τὸν οἰκεῖον δρόμον ἐπισφραγισάμενοι· ὃ τοῦ τραχέος βίου τὸ ἐπιπονώτατον καὶ δυσπορευτότατόν ἐστι καὶ τοῖς μαλακιζομένοις μηδοποσονοῦν βάσιμον. Ἀλλὰ τίνες τε ὄντες καὶ τίνος τῆς πατρίδος ὁρμώμενοι, τίνα τε σκοπὸν τοῦ βίου ἑαυτοῖς προστησάμενοι, καὶ ὅπως αὐτὸν διανύοντες, ἐν ποίοις τε τοῖς καιροῖς ἀναλάμψαντες τὸν μαρτυρικὸν ἀγῶνα διήθλησαν, ἀφηγητέον εἰς δύναμιν, οὐκ ἐν καλλιεπημέναις καὶ κομψαῖς φράσεσιν ἐπικοσμοῦντας τὴν διήγησιν (ἀρκεῖ γὰρ τοῖς μάρτυσιν ἀντὶ παντὸς χρώματος καὶ καλλωπίσματος τὰ οἰκεῖα στίγματα καὶ παλαίσματα), ἀλλ' ἁπλῆν καὶ σχέδιον ποιουμένους τὴν ἱστορίαν.

2. Καὶ γὰρ ἐν τοῖς χρόνοις Λέοντος τοῦ Ἰσαύρου, τοῦ ἀσεβῶς βασιλεύσαντός καὶ κατὰ τῶν θείων εἰκόνων δι' ὑπερβολὴν ἀσεβείας λυττῶντος, τοῦ τὸν Κοπρώνυμον Κωνσταντῖνον γεννήσαντος, στρατιῶται τῶν ἐπιφανῶν, ὧν ὁ ἀριθμὸς ἐς ἑπτὰ μὲν δεκάδας τὸ πᾶν συναγόμενος, ἐν ἑκάστῃ δὲ δεκάδι ἕνα τὸν ἀπόβλητον ἔχων καὶ τῆς Ἰούδα γνώμης καὶ προαιρέσεως γενόμενον, ὡς ἑπτὰ μὲν ἀπελεγχθῆναι τοὺς ἀποσκιρτήσαντας καὶ πρὸ τῶν βασάνων τρωθῆναι τὰς ψυχὰς καὶ ἀλγῆσαι τὰ σώματα πρὸς μόνους τοὺς τῶν ἀπειλῶν ψόφους, ὡς ἐξῆς ἐν τοῖς προσφόροις τόποις δηλωθήσεται· οἱ δὲ λοιποὶ τρεῖς πρὸς τοῖς ἑξήκοντα τὸ ἀκλινὲς τῆς ὁμολογίας μέχρι σταυροῦ καὶ θανάτου ἀπαράτρωτον ἑαυτοῖς διεσώσαντο καὶ ἀκίβδηλον. Οὗτοι μὲν τὸ γένος ἐκ τῆς ἑῴας ἔλκοντες πόλεως Ἰκονίου, τῶν περιδόξων δὲ τυγχάνοντες καὶ ἐν ὄγκῳ ἀξιωμάτων ὄντες, καὶ πλούτου περιουσίᾳ παντελῶς βρίθοντες, καὶ νηπίαν ἄγοντες ἡλικίαν, τῶν τοῦ Χριστοῦ ἀρετῶν ὡς δυνατὸν ἐπιμελόμενοι ἦσαν. Καὶ τὸ κατὰ θεὸν ζῆν ἑλόμενοι, ἅτε γεννητόρων ὄντες τὸ θεραπεύειν Χριστὸν εἰδότων, πολλῶν καὶ μεγίστων ἀξιωμάτων τῶν τοῦ κράτους εὐμοιρήσαντες, ἐπὶ λογισμὸν ἀεὶ λαμβάνοντες τὸν εἰς Χριστὸν διάπυρον ἔρωτα, ἀνέφλεγε

2 σκαύμμασιν B. 3 τε inserui. 5 ἐστι om. B. 6 μηδ' ὁποσοῦν B. 14/15 ἀσεβῶς A, ἀβῶς B. 17 στρατιώτας B. 22 τοῖς A, τοὺς B. 24 ἀπαράτον B. 25 ἀκήβδηλον AB. 29 ἐπιμενόμενοι B. 32 διάπειρον B.

τὴν τούτων καρδίαν ὡσεὶ πυρὸς ἡ τούτου μετάρσιος φλόξ, καὶ τὸν λογισμὸν ἐπτέρου καὶ τὸ κέντρον ἀμβλύτερον τῆς πρὸς αὐτοὺς φιλίας ἐποίει, καὶ τὴν χαμερπῆ καὶ ἐφύβριστον δόξαν καὶ ⟨τὴν⟩ τῶν ῥεόντων ἀπόλαυσιν μισητὴν καὶ θνησιμαίαν αὐτοῖς ἀπεδείκνυε καὶ ὡσπερεὶ σκυβαλώδη ἄχνην ταύτην ἡγεῖσθαι ἠρέθιζε. Ἦν δὲ αὐτοῖς ἔφεσις τοῦ αὐτοψεὶ θεάσασθαι καὶ περιπτύξασθαι τοὺς ἁγίους καὶ σεβασμίους τόπους τῶν Ἱεροσολύμων, ἐν οἷς τὰ σεπτὰ καὶ σωτήρια πάθη ἐκοντὶ τρόπῳ ὑπέστη ὁ δι' ἡμᾶς πτωχεύσας θεός, ἵν' ἡμεῖς πλουτίσωμεν τὴν αὐτοῦ θεότητα, ὃς τὴν ἁμαρτωλῶν ἐπιστροφὴν ὁσημέραι ἐπιζητεῖ. Ἡ βουλὴ δὲ τούτων οὐκ εἰς ἔργον ἐφέρετο διά τε τὸ τῶν γονέων μέγιστον φίλτρον καὶ τὸ δεδίττεσθαι μὴ κώλυμα τούτοις γενέσθαι παρ' αὐτῶν, ἔτι δὲ καὶ τὴν τῶν τὸ ἄρχειν λαχόντων καὶ τοῦ δήμου τῷ φθόνῳ διαβολὴν οἰόμενοι, μὴ σκῆψιν αὐτοῖς ἐμφῦναι, ὥστε μὴ ἐπ' ἀσπασμῷ τοῦ θείου ἐδάφους τῆς δεσποτικῆς ταφῆς τούτους ἡκέναι ἐκεῖσε, ἀλλ' ὡς κατὰ Ῥωμαίων γενέσθαι τῷ τῶν Ἰσμαηλιτῶν τὰς χώρας διέρχεσθαι, εἶτα καὶ τὸ τοῦ βασιλέως ὀργίλον περὶ τῆς τοιαύτης καινῆς φήμης καὶ τὴν ἀποστροφὴν καὶ πρὸς αὐτοὺς ἀγανάκτησιν.

3. Οὗτος τοίνυν ὁ προρρηθεὶς ἀσεβέστατος βασιλεὺς τῶν τῆς Ἑῴας μερῶν οὐ μικρὸν ἐγείρας στρατόν, καὶ πάντας τοὺς ὑπ' αὐτὸν ἀθροίσας, πολεμικῶς ἐπανίσταται Θεοδοσίῳ τῷ φιλοχρίστῳ βασιλεῖ· ὃς μὴ θελήσας συνάπτειν πολέμους, μᾶλλον δὲ καὶ ὁμοφύλοις μάχεσθαι, ἡσύχως ἐάσας τὸν τῆς ἀρχῆς ὄγκον, ἐγκρατῆ τὸν ἀσεβῆ τῆς ἐπιθυμίας πεποίηκε καὶ τὴν βασίλειον ἀρχὴν τούτῳ ἐπέδωκε. Καὶ τί φήσω πλέον; αὐτίκα ὁ τύραννος εἰς τὰ βασίλεια καὶ ὁ θηριώνυμος κύων εἰς τὰ ἅγια, καὶ ὁ χοῖρος ἐπὶ τοῖς μαργαρίταις. Ἀλώπεκος δὲ χρῶμα ἀναλαβὼν καὶ προσωπεῖον τῶν ὑποκρινομένων ἐν ἑαυτῷ περιθείς, διὰ τὸ τοῦ σεβασμίου πατρὸς ἡμῶν Γερμανοῦ αἰδέσιμον εὐσεβεῖν ὑπεκρίνατο· ἀλλὰ τὸ θηρίον οὐ μετεσφαίρισε. Δέκα δὲ ἐνιαυτῶν παρῳχηκότων τῆς

1 μετάσιος B. 3 ἐποίει A, ἐπόσει B || τὴν inserui. 7 οἷς] ὧ AB. 8 ὁ δι' ἡμᾶς—θεότητα] cf. Cor. 2, VIII, 9. 10 ὅσαι ἡμέραι B 16 ἰσμαὴλτῶν B. 19 προρηθεὶς AB. 21 φιλωχρίστω B. 22 συνάπτην B. 26 θηριόνυμος B || ἅγια—μαργαρίταις] cf. Matth. VII, 6. 27 μαγαρίταις B. 30 μετεσφέρισε A, μετεσφέρες B.

αὐτοῦ κατάρξεως, ὁ νέος οὗτος Βαλτάσαρ, ἵν' εἴπω καὶ Μωάμεθ, αἱρεσιαρχεῖν ἐπεχείρησε, καὶ μανικῶς ἐπεισφρήσας τὴν Ἐκκλησίαν ἐξεπολέμωσε, καὶ τὸν τὰ αὐτοῦ φρονοῦντα λαὸν ἐκκλησιάσας, μέσον πάντων ἀναιδῶς εἰσπηδήσας καὶ θηριωδῶς βρύξας ἀνέπεμψε τὴν ἐλεεινὴν ἐκείνην φωνὴν καὶ εἶπεν· "Εἰδωλικῆς τεχνουργίας ὑπαρχούσης τῆς τῶν εἰκόνων ἀνατυπώσεως, οὐ χρὴ τὸ παράπαν προσκυνεῖσθαι ταύτας καὶ σέβεσθαι". Πλεῖστα δὲ ὁ θηριώνυμος Λέων ταῖς τοῦ ἀοιδίμου πατρὸς ἡμῶν Γερμανοῦ παραινέσεσι νουθετούμενος, τὸ στρεβλὸν τῆς γνώμης οὐ μετέβαλεν, οὐδὲ τὴν ἀμείλικτον καὶ σκληρὰν καρδίαν πρὸς θεογνωσίαν ἐπέκλινεν· ἀλλὰ πλείονι τῷ θυμῷ χρησάμενος καὶ ὕφαιμον τὸ ὄμμα δείξας, καὶ βρύξας ὡς λέων, ξιφήρεις σατράπας ἀποστείλας, τὸν ἔκλαμπρον ἀστέρα τῆς πίστεως τοῦ πατριαρχικοῦ θρόνου κατήγαγε καὶ τὸν ἀθῶον (ὢ τῆς παρανόμου πράξεως) ὑπερορίᾳ κατεδίκασε, τὸν δὲ ἀσεβῆ καὶ ἰσόφρονα Ἀναστάσιον ἐπὶ τὸ ἄρχειν τούτου κατέστησεν οὐκ εἰκότως οὐδ' ἀξίως τοῦ ἱερατικοῦ βαθμοῦ.

4. Εὐθέτου δὲ καιροῦ δραξάμενοι οἱ γενναῖοι καὶ εὐγενεῖς τὰς ψυχάς, τὴν ἐπὶ τὰ Ἱεροσόλυμα ὁδὸν ἀπῆεσαν, χειρὶ πορευόμενοι πλουσίᾳ καὶ ἀκολούθων οὐκ ὀλίγῃ δορυφορίᾳ· ἵππους τε ἐποχούμενοι καὶ ὑποζύγια ἦγον χρήμασι πεφορτισμένα ἔν τε χρυσίῳ καὶ ἀργυρίῳ καὶ διαφόροις εἴδεσι πραγμάτων, τοῖς μὲν εἰς ἐπικόσμησιν τῶν θείων ναῶν, τοῖς δὲ καὶ εἰς ἀναγκαίαν χρῆσιν τῶν ἐν Χριστῷ ἡμῶν ἀδελφῶν καὶ τῶν ἐκεῖσε ἀσκουμένων μοναχῶν. Οἱ δὲ δὴ μακάριοι καὶ ἀοίδιμοι ἄνδρες γεγονότες ἐπὶ τῶν ἐπιθυμητῶν καὶ πολυεράστων ἐκείνων τόπων, καὶ τὸν ζωοποιὸν καὶ πάνσεπτον τοῦ Κυρίου τάφον θεασάμενοι, ῥίπτουσιν ἑαυτοὺς ἐπὶ τὸ ἔδαφος καὶ δάκρυσιν ἐκεῖνον κατέπλυνον· πολλῆς δὲ ἡδονῆς αἱ ψυχαὶ αὐτῶν ὑπερεπλήσθησαν, καὶ χαρᾶς πληροῦνται πνευματικῆς, καὶ ὡς αὐτὸν ἐδόκουν τὸν Χριστὸν ὑπὸ τοῦ πόθου ἐγκείμενον ὁρᾶν, καὶ πρὸς αὐτὸν ἀνθωμολογοῦντο τὴν δι' ἡμᾶς αὐτοῦ ἑκούσιον πτωχείαν, καὶ τὸν σταυρὸν καὶ τὸν θάνατον καὶ τὴν

1 βαλτάρσαρ B || μάμεθ' B. 2 ἐπισφρήσας A, ἐπισφραγίσας B. 3 τῶν - - φρονοῦντων B. 4 θηριωδὼ B. 5 ἐλεηνὴν A, ἐεινὴν B. 8 ἀοιδήμου B. 9 νουθετούμενος] νομοθετούμενος AB || μετέβαλλεν A. 16 ἄξιος B. 19 Ἰωροφορία B

ταφὴν ἀποθαυμάζοντες. Μόλις δὲ κόρον λαβόντες τῆς ἀκορέστου ἐκείνης θέας καὶ τῆς πνευματικῆς, ὡς εἴρηται, χάριτος, προσκυνοῦσι καὶ τὸν τοῦ Κρανίου πανυπέρλαμπρον τόπον, ἐν ᾧ ὁ Κύριος ἡμῶν ἐπὶ σταυροῦ τὰς ἀχράντους αὐτοῦ χεῖρας ἐξέτεινε καὶ ἡ τούτου ζωήρρυτος καὶ θεία πλευρὰ αἷμα καὶ ὕδωρ ἀπέσταξεν. Αὐτίκα δὲ καὶ εἰς τὴν Σιὼν ἔρχονται, τὴν μητέρα πασῶν τῶν Ἐκκλησιῶν, τὸ τοῦ θεοῦ κατοικητήριον, καὶ τὸν ἱερὸν καὶ σεβάσμιον ὁρῶσι τόπον, ὅπου ἡ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὑπεραγία μήτηρ καὶ παρθένος τοῦ παρόντος ἐξεδήμησε βίου καὶ τὴν μακαρίαν καὶ παναγίαν αὐτῆς ψυχὴν ἐνηγκαλίσατο ὁ ταύτης υἱὸς καὶ ποιητὴς τῶν ἁπάντων. Ἀνέρχονται καὶ πρὸς τὸ ἐστρωμένον ἀνώγαιον, ἔνθα τοὺς πόδας τῶν μαθητῶν ὁ κύριος ἀπένιψε καὶ τοῦ μυστικοῦ δείπνου συνεστιάθη μετ' αὐτῶν.

5. Εἶτα καὶ πρὸς τὴν Βηθλεὲμ ἀπέρχονται, καὶ τὸ ἱερὸν καὶ οὐρανόμηκες σπήλαιον ὑπανοίξαντες προσκυνοῦσι τὸν τόπον, ἐν ᾧ ὁ τῶν βασιλευόντων βασιλεὺς καὶ τῶν κυριευόντων κύριος, ἐλευθερῶσαι βουλόμενος τὴν τῶν ἀνθρώπων φύσιν ἐκ τῆς τοῦ ἐχθροῦ τυραννίδος, ὡς βρέφος ἀνεκλίθη ἐν τῇ φάτνῃ καὶ ἐσπαργανώθη, καὶ μαζὸν κατεῖχεν ἐν χείλεσιν ὁ τῇ δρακὶ κατέχων πᾶσαν πνοὴν καὶ πᾶσαν κτίσιν, καὶ σκιρτῶντες τῇ ὄψει καὶ τῇ θέᾳ τρυφῶντες οὐκ εἶχον κόρον τῆς εὐφροσύνης. Τοίνυν καὶ πρὸς τὸν ἀξιέραστον καὶ ἀξιοθέατον καὶ πάσης βασιλικῆς παστάδος λαμπρότερον τῆς θεομήτορος κοσμοπρόθητον τάφον καταλαμβάνουσι, καὶ ὡς προείρηται ἐπὶ τῷ ζωοποιῷ καὶ θεαρχικῷ τάφῳ τοῦ ταύτης υἱοῦ τὸ σέβας καὶ τὴν προσκύνησιν καὶ τὴν προσήκουσαν εὐχαριστίαν σὺν δάκρυσι τὰς εὐχὰς ἀπένειμον, οὕτω καὶ ἐπὶ τῷ τῆς μητρός, ὅτι οὐδέν ἐστι μέσον μητρὸς καὶ υἱοῦ. Ὁμοίως ἀπέρχονται καὶ εἰς τὴν τοῦ Σιλωὰμ κολυμβήθραν σὺν τῇ Προβατικῇ, ἔνθα ἐστὶ καὶ ὁ ἱερὸς καὶ σεβάσμιος τόπος, εἰς ὃν ἐτέχθη ἡ τοῦ κυρίου ἡμῶν μήτηρ. Ἔπειτα ἀνέρχονται καὶ πρὸς τὸ τῶν Ἐλαιῶν ἅγιον ὄρος, καὶ ὁρῶσι τὴν Βηθανίαν σὺν τῷ τοῦ Λαζάρου τάφῳ. Εἶθ' οὕτως κατέρχονται καὶ εἰς τὰς λοιπὰς τῶν Ἱεροσολύμων μονάς, μέχρι

5 ἀπέσταζεν B. 9 παρθένος καὶ μήτηρ B. 11 ἐστρωμμένον A. 12 ἀνώγεον B. 14 βϊθλεὲμ' B. 16 ὁ τῶν βασιλευόντων—κύριος] Tim. 1, VI, 15. 18 τὴραννίδας B. 21 ἄῤῥαστον B. 25 καὶ τὴν προσκύνησιν om. A.

καὶ τοῦ Ἰορδάνου ποταμοῦ, καὶ τοῖς ἱεροῖς ἐπιστάντες αὐτοῦ ῥεύμασι, ταῖς χερσί τε αὐτῶν ἀρυσάμενοι ἐξ αὐτοῦ, πᾶν μέλος καὶ μέρος ἐκ πίστεως περιαγνίσαντες ἁγιάζουσι. Μεταβαίνουσι καὶ πρὸς τὰ λογικὰ ἄνθη τοῦ θεοφυτεύτου παραδείσου περιπτάμενοι, τοὺς ἐν τῇ ἐρήμῳ ἀσκουμένους μοναχοὺς καὶ τὸ καλὸν μέλι τῆς ἀρετῆς ἐργαζομένους, καὶ τῆς εὐωδίας τούτων μετελάμβανον, καὶ οἷς ἀκτήμων ἦν βίος καὶ τῆς ἐφημέρου τροφῆς ἐπιδεής, τὴν ἀρκοῦσαν ἐποιοῦντο παραμυθίαν, ἐπιδαψιλευόμενοι τῆς ἑαυτῶν χειρὸς καὶ τῷ φιλοτίμῳ τῶν χορηγιῶν ἀπερίσπαστον αὐτοῖς ποιοῦντες τὴν περὶ τὰ θεῖα καὶ πνευματικὰ διατριβήν.

6. Καὶ οὕτως σκορπίσαντες θεοφιλῶς οἱ φιλόθεοι τὸν πλοῦτον αὐτῶν, καὶ ἀσπασάμενοι πάντας καὶ τὰς οὐρανοδρόμους εὐχὰς αὐτῶν ἐφοδιασθέντες, πρὸς τὰ τῶν Γραικῶν μέρη, ἤτοι τῆς Νέας Ῥώμης, τοὺς ὀφθαλμοὺς ὁμοῦ καὶ τοὺς πόδας μετέφερον, καὶ συνδιασκεπτόμενοι πρὸς ἀλλήλους, ἵν', εἰ μὲν ἡ τοῦ θεοστυγοῦς καὶ παρανόμου βασιλέως κατέπαυσε μιαρὰ πρόσταξις καὶ ἡ τῶν ὀρθοδόξων Ἐκκλησία ἔλαβε παρρησίαν τοῦ προσκυνεῖν τε καὶ σέβεσθαι τὰς τῶν ἁγίων εἰκόνων μορφάς, ἐπανέλθωσι καὶ οὗτοι πρὸς τὴν ἐνεγκαμένην· εἰ δ' οὖν, πρὸς τὴν πρεσβυτέραν Ῥώμην ἀπέλθωσιν. Ἀλλ' ἔλαθον ἄλλον δρόμον τρέχοντες, πολὺ τῆς ἐνεγκούσης ἐπικερδέστερον καὶ εἰς ποικίλα καὶ ἀθλοφορικὰ κατάγοντα παλαίσματα· καὶ γὰρ μάρτυρας τούτους καὶ στεφανίτας οἱ καλοὶ ἀγῶνες τοὺς στερροὺς ὁπλίτας ἀπετέλεσαν καὶ μεγαλοπρεπέσι στεφάνοις καὶ διαδήμασιν ἐστεφανώσαντο.

7. Ὡς δὲ πρὸς τὰ τῶν Γραικῶν μέρη ὁρμήσαντες, ὡς εἴρηται, φθάσαντες τόπῳ τινὶ ἐπανεπαύοντο, οἱ ὄντες Ἄραβες ἐν τῇ Ἁγίᾳ Πόλει καὶ φυλάσσοντες τὰς ὁδούς, οἱ ἀνήμεροι καὶ θηριώδεις, οἱ ἀλογώτατοι τὰς ψυχὰς καὶ μανικώτατοι τὰς ὁρμάς. κατασκοπευσάμενοι αὐτοὺς ἐκ τῆς τοῦ ἀντικειμένου βουλῆς, κατεδίωξαν πανδημεὶ ὄπισθεν τῶν ἁγίων, καὶ φθάσαντες αὐτοὺς ἐν τῷ προρρηθέντι καταλύματι ἐκράτησαν ἐρωτῶντες αὐτούς, πόθεν τε εἶεν καὶ ἐκ ποίας χώρας καὶ δι' ἣν αἰτίαν κατέλαβον ἐν Ἱεροσο-

8 παραμύθιαν B ‖ ἐπιδαψηλευόμενοι AB. 9 χορηγῶν B. 14 καὶ post. om. B. 18 οὗτος B ‖ πρὸς om. B 21 ἀθληφορικὰ B. 27 φυλάσσοντες A, ἄγοντες B. 30 πάνδημοι B. 31 ἀνερωτῶντες B.

λύμοις. Οἱ δὲ θεοειδεῖς τὰς ψυχὰς καὶ τὰς γλώττας εὐγενεῖς καὶ τὰ φρονήματα καὶ τῆς ἀψευδοῦς ἀρετῆς τρόφιμοι, ψεύδεσθαι οὐκ ἤδεισαν, ἀλλὰ μετὰ πάσης ἀληθείας καὶ τὴν ἐνεγκαμένην ἀνωμολόγουν καὶ ἐπὶ ποίαις αἰτίαις ξενιτεύοιεν οὐκ ἀπεκρύπτοντο. Οἱ μέντοι Ἄραβες, ταῦτα ἀκηκοότες, δεσμίους αὐτοὺς ἀπήγαγον πρὸς τὸν Καισαρείας τῆς Παλαιστίνης ἡγήτορα, φήσαντες αὐτῷ πάντα ὅσα ἀκηκόασι παρ' αὐτῶν· ὁ δὲ εἰς ἐξέτασιν παρίστησι τοὺς μάρτυρας, καὶ μαθὼν παρ' αὐτῶν ὅτι θρέμματα Ῥωμαίων εἰσὶ καὶ χάριν προσκυνήσεως ἦλθον ἐν τοῖς ἁγίοις καὶ σεβασμίοις τόποις, ἔχοντες δὲ καὶ μεθ' ἑαυτῶν ὕπαρξιν οὐκ ὀλίγην, τὸ μὲν χρυσίον καὶ τὰ χρήματα τοὺς ἵππους τε καὶ ἡμιόνους σὺν τοῖς ὑπηρέταις αὐτῶν ἀνελάβετο, τοὺς δὲ ἁγίους καταικίσας σφοδρῶς καθεῖρξεν ἐν τῇ τῆς Καισαρείας δημοσίᾳ φυλακῇ, καὶ γράψας ἐπιστολὴν τοιάνδε τῷ τῶν Αἰγυπτίων ἀρχηγῷ ἔστειλεν. " Ἄνδρας χριστιανοὺς καὶ θρέμματα τῆς Ῥωμαίων γῆς ὑπάρχοντας, τὸν ἀριθμὸν ἑβδομήκοντα, τὸ τῶν Ἀράβων στράτευμα ἐν Καισαρείᾳ τῆς Παλαιστίνης ἔλοιτο καὶ πρός με τούτους ἤγαγε, καὶ μετὰ πάσης ἀκριβείας ἐρευνήσας τὰ κατ' αὐτοὺς ἀνέμαθον, ὡς οὗτοι λέγουσιν, ὅτι χάριν προσκυνήσεως ἐν Ἱεροσολύμοις παρεγένοντο καὶ ὡς πρὸς τὴν ἐνεγκαμένην ἀναστρέφοιντο, καίπερ, ὡς οἶμαι. ἀλλαχοῦ μὲν ἀπερχόμενοι καὶ ἄλλα προσποιούμενοι, ὡς ἐφωράθησαν ἡμῖν περιπεσόντες, καίτοι τῶν παρὰ Ῥωμαίοις ὄντες οἱ φρονιμώτατοι· κατάσκοποι γὰρ τῆς ἡμετέρας ἦκοντες γῆς, προσεποιήσαντο εὐλαβούμενοι, ὡς προείρηται, τὸ μέχρι τῶν Ἱεροσολύμων γενέσθαι. Εἶχον δὲ σὺν αὐτοῖς ἵππους καὶ ἡμιόνους καὶ ἀπόδεσμον χρυσίου οὐκ ὀλίγον, καὶ πολλὴν ἑτέραν ὕπαρξιν, καὶ τὸ μὲν χρυσίον μετὰ τῶν λοιπῶν πάντων ἀναλαβόμενος παραφυλάττω, τοὺς δὲ ἄνδρας διὰ δαρμοῦ σωφρονίσας ἐν τῇ τῆς Καισαρείας δημοσίᾳ φυλακῇ ἐναποκλείστους πεποίηκα, μέχρις οὗ καταπεμφθείη πρόσταξις τῆς σῆς μεγαλοδυνάμου καὶ αὐτοκρατορικῆς δυναστείας, τί ἄρα καὶ ὀφείλει γενέσθαι περὶ τὰ ἑαλωκότα πάντα ἀνατατταμένη μοι ".

8. Ταῦτα τὰ γράμματα, ἐλθόντα πρὸς τὸν τῶν Αἰγυπτίων

4 ἐπιποίας B. 6 τῆς A, καὶ B. 22 ῥωμαίων AB. 23 φρονημωτατοι AB. 25 ἵπποις B || ημιόνοις B. 31 ἑλωκότα B.

ἀρχηγόν, ἐκμαίνουσι τοῦτον τὰ χρήματα μᾶλλον ἥπερ τὰ γράμματα (ἐπεὶ καὶ φιλοχρήματος ἅπας βάρβαρος ὀφθαλμὸς καὶ τῆς οἰκείας ψυχῆς ἐξιστάμενος ἢ πλοῦτον φανέντα προϊέμενος), καὶ παραυτίκα πέμπει διὰ ταχέων μηνύων τῷ τῶν Ἀράβων ἡγήτορι· "Πιστότατε ἀνδρῶν καὶ εὐνοϊκώτατε, ἄσμενοί σου τὴν θήραν καὶ εἰσηκούσαμεν, καὶ ἀπεδεξάμεθα τὸ ἀγχίνουν καὶ ὀξυδερκὲς τῆς σῆς φρενὸς καὶ τὸ ἐνεργὸν καὶ δραστήριον τῆς χειρός, ὅτι οὐ διέλαθον ὑμῖν οἱ ἀλιτήριοι οὗτοι, ἵνα ἀπελθόντες πρὸς τὸν αὐτοὺς ἀποστείλαντα κατασκοπεῦσαι ἡμῶν τὰς χώρας ἐκγελάσωσιν ἡμᾶς καὶ γένωνται ἐξουθένημα Ῥωμαίων οἱ Αἰγύπτιοι. Ἀλλ' ὅμως τοῦτο ἄλλος ἔπαινος σὸς καὶ λαμπρὸν ἐγκώμιον, ὅτι καὶ ὅλον αὐτῶν τὸν πλοῦτον ἀναλαβόμενος, ὡς ἐδήλωσας, παραφυλάττεις, ἕως οὗ καταπεμφθείη πρόσταγμα τοῦ κράτους ἡμῶν, τὸ τί ἂν καὶ οἰκονομήσωμεν περὶ τούτου. Εἶτα ὅτι καὶ τῆς ἐνεγκαμένης ξένους καὶ τοῦ μὴ θέασασθαι αὐτὴν πώποτε ἀπεκατέστησας, ἀντὶ τούτων κείσεταί σοι χάρις ἀθάνατος, οὐδέποτε τῆς μνήμης ἡμῶν ἀπορρέουσα· εἰ δέ γε καὶ τοῦτο παρὰ σοῦ γένηται, ἵνα διὰ πιθανολογίας καὶ πείρας ἔργων τε καὶ λόγων πείσῃς τοὺς εἰρημένους ἄνδρας ἀποστῆναι τῆς πατροπαραδότου καὶ φρενοβλαβοῦς λατρείας καὶ τῆς ἐπιμόχθου καὶ ἀπαισίου γενομένους ἐξάρνους θρησκείας τῷ ἡμετέρῳ ἠδεῖ καὶ φιλανθρώπῳ συνθέσθαι βίῳ καὶ τὰ αὐτὰ θρησκεύειν καὶ πρεσβεύειν καὶ σέβεσθαι, νίκην ἀποίσῃ τῶν ἀπ' αἰῶνος λαμπροτάτων καὶ κοινὴν εὔκλειαν τῆς ἡμετέρας εὐαγοῦς θρησκείας. Εἰ δὲ καὶ μέχρι τῶν βαρυτάτων πληγῶν ἀπομάχοιντο καὶ τὴν τοῦ Ναζωραίου πίστιν οὐκ ἀρνοῦνται, κολάσεσιν αὐστηραῖς καὶ θάνατον πικρότατον ἐπ' αὐταῖς καταπράττου".

9. Οὐ πολὺς χρόνος διῆλθε καὶ τὰ γράμματα τῷ ἐπὶ Καισαρείας διεκομίσθη τυράννῳ, Σολομῶντι τὸ ἄνομα, Μιλχὴν δὲ τὴν ἐπωνυμίαν· φύσει δὲ οὗτος αὐθάδης καὶ ἀλαζὼν καὶ τὴν φρέναν σκολιὸς καὶ τὴν χεῖρα ὠμός· ὃς καὶ τοῦ Αἰγυπτίου τὰς καταπεμφθείσας ἐντολὰς οἷόν τι κέντρον εἰς κακουργίαν ἐρεθίζον καὶ ὡς πῦρ εἰς χόρτον καὶ κύων εἰς αἵματα καὶ λύκος εἰς

5 θῆραν A. 8 ἀλητήριοι A. 14 ὠκονομήσωμεν AB. 15 αὐτὴν A, αὐτῶν B. 18 πείσῃς] πεῖσαι AB. 22 νίκη B. 29 τὴν ἐπωνυμίαν A, τὴνυμῖαν B. 30 ὃς τοῦ A.

βορὰν εἰσεδέξατο. Ἐπαινεθεὶς γὰρ καὶ παρὰ τοῦ Αἰγυπτίου ὁ δοξομανὴς καὶ ἐμβρόντητος, καὶ εἰς ἄγαν ὑπερφρονήσας, τῇ ἐπαύριον τὸ βῆμα μὲν αὐτοῦ ὑψηλὸν ηὐτρεπίζετο καὶ κύκλῳ αὐτοῦ ἄνδρες ξιφήρεις ἐστήκεσαν· καὶ ὁ μὲν Ἄραψ ἐκάθητο ἐν ἐπηρμένῳ τῷ βήματι, τῆς δὲ φρουρᾶς ἦγοντο ὑπὸ τῶν δημίων οἱ ἀθληταὶ δέσμιοι, ὑπὸ πολλῇ ταλαιπωρίᾳ καὶ χρονίῳ λιμῷ· καὶ οἱ πόδες αὐτῶν ὑπὸ γόνασι τρομεροῖς, ἀργὸν καὶ ὀλισθηρὸν καὶ ἐπισφαλὲς βαίνοντες· τούτους γὰρ ὁ σοφὸς ἀθλοθέτης καὶ φιλάνθρωπος ἀφῆκε τοῖς μικροτέροις τῶν λυπηρῶν πυρωθῆναι, γυμνάζων αὐτῶν τὸ καρτερικὸν καὶ εὔτονον πρὸς τὰ μέλλοντα τῶν σκαμμάτων καὶ μείζονα. Ὡς δὲ παρίσταντο, ὡς εἴρηται, οἱ μάρτυρες, ὁ τύραννος ἐν ἑτέραις φροντίσιν ἐνασχολούμενος καθυπεκρίνετο, καὶ τὰ εἰς κατάπληξιν τοῖς ἁγίοις προτεχναζόμενος ὁ πολύμορφος ἐκεῖνος ὄφις καὶ τοῦ χαμαιλέοντος ποικιλότερος καὶ τοῦ Αἰγυπτίου πολυτροπώτερος πολύς τε ἦν καὶ τὴν ὀργὴν καὶ τὴν φωνὴν πικρὸς καὶ τὸ βλέμμα φοβερός.

10. Ὡς δὲ ἐπὶ πολλὴν ὥραν οἱ μάρτυρες ἵσταντο, ὁ τύραννος τὸν μειδιῶντα προσποιησάμενος καὶ στραφεὶς ἔφη πρὸς αὐτοὺς ἐν εἰρωνείᾳ· Οἵους ἄνδρας ἡ τῶν Γραικῶν τρέφει γῆ, γενναίους καὶ φρονίμους λίαν, καὶ ἐπὶ τούτῳ καὶ ἐπὶ τῆς ἡμετέρας ἐπιβάντες γῆς ὡς εὔστοχοι κατάσκοποι εὐτυχῶς κατεπράξασθε καὶ ὑπὸ μυρίῳ κέρδει ταῖς ἐνεγκούσαις ἐπανήλθετε. Ἀτυχέστατοι, τίνι καὶ τεθαρσηκότες τοιαύτης ὑπηρεσίας κατετολμήσατε; ἢ τί καὶ λαθόντες ἐμέλλετε κερδαίνειν; τὸ μὲν γὰρ κέρδος ἀγνοῶ, τὴν δὲ ζημίαν οἶδα θάνατον ὑμῖν προξενήσασαν. Καὶ γάρ, εἰ μή τι βέλτιον περὶ ἑαυτῶν φρονήσετε καὶ τῷ κρατοῦντι πάντα ὑπείξετε καὶ θρησκεύσετε καὶ βιώσεσθε καὶ τιμήσετε ἃ καὶ ἡμεῖς σὺν αὐτῷ θρησκεύομεν καὶ τιμῶμεν καὶ σεβόμεθα, πικρῷ θανάτῳ ἀπολεῖσθε· μὴ γὰρ ἐλπίσοιτε, ὡς ὁ τῶν Γραικῶν ἄρχων ὠφελήσει τι ὑμᾶς, ἢ τῶν ἡμετέρων ἀπαλλάξει χειρῶν ὁ καταπείσας ὑμᾶς κομψοτέραις ἐπαγγελίαις ταύτην ὑποστῆναι τὴν οὐ καλὴν ὑμῖν οὐδ' εὐτυχῆ τῶν ἀλλοτρίων κατασκοπήν. Ἀλλ' ὑμῶν τὰ βουλεύματα

1 εἰσεδέξατο om. B. 4 εἰσεστήκεισαν B. 13 εἰκατάπληξιν B. 21 καὶ κατάσκοποι B. 26 περὶαυτῶν B. 29 ὠφελείτίυμᾶς B.

καὶ ⟨αἱ⟩ ἐπαγγελίαι διέπεσον, καὶ αἱ προσδοκώμεναι ὑμῖν παρ' αὐτοῦ πολύχρυσοι καὶ ἁδραὶ ἀμοιβαὶ τὸν περὶ τῆς ζωῆς κίνδυνον ὑμῖν ἐμνηστεύσαντο· οὐ γὰρ οὕτως ἡμεῖς δειλοὶ καὶ ἄνανδρες, ὥσπερ τὸ τῶν Γραικῶν γένος, ἵνα φύλλων κινήματα καὶ σκιὰς εἰδώλων πτοούμεθα· ἀλλὰ τὸ ἰταμὸν καὶ ἀναίσχυντον ὑμῶν ἀναστέλλοντες, ἐπεὶ καὶ τῷ μεγάλῳ τῆς Αἰγύπτου βασιλεῖ τὰ ὑμέτερα τολμήματα γνωρίσαντες, ὡς φαῦλά τινα γράφειν καὶ ἀνάξια τῆς ἐκείνου ἀκοῆς κατεγνώσθημεν. Καὶ πότε, φησί, δεδοίκασιν Αἰγύπτιοι ἄνδρας τῆς τῶν Γραικῶν χώρας, ἢ κατασκόπους, ἢ πολεμίους, ἢ ἄλλως πως, ἢ τὰ τούτων στρατεύματα, οἷα καὶ ὅσα εἰσίν; μᾶλλον καὶ τῶν ὁρίων αὐτῶν ἐπιβαίνομεν, ὅτε καὶ βουλόμεθα, καὶ κατασφάττομεν αὐτούς, εἴτε καὶ σὺν γυναιξὶ καὶ τέκνοις αἰχμαλώτους ἐν Αἰγύπτῳ ἀγάγομεν, καὶ εἴ τι παρ' αὐτοῖς περιμάχητον ἀγαθὸν ἢ ἄλλο τι φέροντές τε καὶ ἄγοντες ἐν πολλῇ ἀδείᾳ, μηδενὸς τὸ σύνολον κωλύοντος· ποῦ γὰρ καὶ νῦν ὁπλίτην Αἰγύπτιον Ῥωμαῖος ἐνέγκῃ ὀφθαλμός; πολλάκις δέ, εἰ θεάσηται, τὰ ἀγενῆ μιμεῖται τῶν δειλῶν ἐλάφων καὶ λαγῳῶν ἅλματα. Ἀλλ', ὡς εἴρηται, φλυαρεῖν ἐδόξαμεν γράψαντες πρὸς τὸν μέγιστον ἡμῶν βασιλέα περὶ κατασκοπῆς ὑμῶν· φαύλου πράγματος καὶ ἐπιβουλῆς ἐμνήσθημεν· ἐκείνῳ γὰρ οὐ μόνον ἐστὶ δύναμις πολλὴ καὶ ἀπρόσμαχος καὶ χεὶρ γῆς καὶ θαλάσσης κράτος ἁψαμένη, ἀλλὰ καὶ τρόπος φιλάγαθός τε καὶ φιλάνθρωπος καὶ τοῖς ὑπηκόοις μέλιτος ἀποστάζων γλυκύτητα. Ἀγαπῶν μὲν τοὺς ὁμογνωμονοῦντας περὶ τὸ σέβας καὶ συμπνέοντας καὶ τούτοις πατρικῶς νουθετῶν, εἶτα καὶ δώροις καὶ τιμαῖς μεγίσταις ἀξιοῖ. Καὶ εἰ μὲν βούλησθε ἀρνήσασθαι τὴν πατροπαράδοτον ὑμῶν πλάνην καὶ τὴν τοῦ Ναζωραίου πίστιν, οὐ μετάμελοι τὰς ψυχὰς γενήσεσθε· πάντως γὰρ οὕτω νουθετῶ ὑμᾶς, ὡς οὐδὲ πατέρες οἶμαι παισί. Τοῦ γὰρ συνεῖναι τοιούτῳ μεγάλῳ βασιλεῖ καὶ ἀπολαύειν τῶν τοῦ βίου ἡδέων ἐν ἀσαλεύτῳ εὐτυχίᾳ καὶ τρυφᾶν ἐν πάσαις ἡδοναῖς καὶ βίον βιοῦν εὐτυχῆ καὶ εὐδαίμονα καὶ

1 αἱ addidi. 6 βασιλέιας B. 15 ὁπλήτην AB ‖ ἐνέγκει B. 16 ἀγεννὴ AB. 21 θαλάττης B ‖ ἁψαμένη] ἀναψαμένη AB. 24 τούτω π. νουθετοῦντας AB. 27 νουθετῶ] νομοθετῶ A, νομοθετὸν B. 28 οἶμαι παισί A, οἰπεσί B ‖ Τοῦ] τῶ A. 29 ἀπολαβεῖν B. 30 βιοῦν] βιοῦντες AB.

ἀκώλυτον τὴν ἀπόλαυσιν ἔχειν, τί τούτου κρεῖττον; ἡ γὰρ ὑμετέρα τῶν χριστιανῶν ζωὴ θάνατός ἐστι καὶ οὐ ζωή. Πῶς οὐ θάνατος; λιμῷ μὲν ἄγχεσθε στενὴν φέροντες γαστέρα καὶ ἰσχνὴν καὶ βραχυτάτῳ σαρκίῳ περικρατουμένην, παρόντων δὲ τῶν ἡδίστων ἀπέχεσθε ὥσπερ τῶν θανασίμων, μηδὲν ἡγούμενοι τῶν ἡδέων ἡδύ, μηδὲ τῶν τερπόντων τερπνόν, μηδὲ δρέπεσθαι καὶ κατατρυφᾶν ὧν ἡ φύσις μὲν κοινὴν ἥπλωσε τὴν ἀπόλαυσιν καὶ ἄφθονον τοῖς ἐχέφροσιν· ὑμεῖς δὲ ἀναξίους ἑαυτοὺς τῆς ἐπιβαλλούσης μεταλήψεως κατεστήσατε, οἰόμενοι τὸν λιμὸν τρυφήν, τὴν ὀδύνην ἡδονήν, τὴν ταλαιπωρίαν εὐδαιμονίαν, τὴν ἀθλιότητα μακαριότητα καὶ τὴν ζωὴν θάνατον. Ἀλλ' ἡ τοῦ Ναζωραίου διδασκαλία πᾶσι τοῖς ἐλεεινοῖς καὶ ληρόφροσι χριστιανοῖς οὕτως ἡπάτηται, διαβάλλουσα τὰ καλὰ καὶ κόσμον ἄλλον κηρύττουσα πολὺ τοῦ θαυμαστοῦ τούτου καὶ ὁρωμένου καλλίω, ὃν οὐδεὶς μὴ ἰδὼν πῶς ἔχοι θαυμάσαι; τὰ γὰρ θαύματα τῶν ὁρωμένων εἰσίν, οἳ καὶ πολλάκις ἐξηγήσεσι πιστῶν ταῖς ἀκοαῖς τὸ βέβαιον ἐχαρίσαντο. Καὶ γὰρ φθονοῦντος ταῦτα καὶ ἀτεχνῶς σφετεριζομένου τὴν θεότητα καὶ τὰ ἑαυτοῦ διδάσκοντος πολὺ τῶν θαυμασίων τούτων κρείττω, οὐρανοῦ τε καὶ γῆς καὶ τῶν ἐν μέσῳ τυγχάνειν, ὧν οὐδὲν ἡμεῖς δεδιδάγμεθα παρὰ τοῦ μεγάλου προφήτου προτιμητέον ἡγεῖσθαι. Ἀλλ' ἀφέντες τὰς τερατοποιοὺς ἐπινοίας καὶ τὰς μωρὰς ἐκείνας καὶ ἀπαιδεύτους ἐλπίδας, ἐφ' αἷς εἰς μάτην κακοπαθεῖτε, ἀφρονέστατοι, τὸν ἱλαρὸν καὶ ἡδὺν καὶ ἀπολαυστικώτατον ἀσπάσασθε βίον· εἰ δ' οὐ θέλετέ μου εἰσακοῦσαι, μετὰ πολλὰς τὰς βασάνους βιαίῳ καὶ πικρῷ καὶ πολυωδύνῳ θανάτῳ ὑμᾶς ἀπολῶ".

11. Οἱ δὲ ἅγιοι προετρέψαντο τοὺς λόγῳ καὶ πράξει τῶν ἄλλων προύχοντας, ἦγουν Θεόδουλον, Εὐσέβιον καὶ Δαυίδ, τὰς ἀποκρίσεις πρὸς τὸν Ἄραβα ποιεῖν· οἳ καὶ τῷ τοῦ Χριστοῦ φραξάμενοι σημείῳ κἀκεῖνον ἐπικαλεσάμενοι βοηθὸν καὶ παρρησίας καιρὸν λαβόμενοι ἀντεῖπον τῷ Ἀραβικῷ λύκῳ· " Ἡμεῖς, ὦ σφοδρότατε τῶν ἡμετέρων κατήγορε, οὐχ ὡς ὑπὲρ τῆς πίστεως

1 τὴν A, τῶν B ‖ ἔχειν] ἔχοντα AB. 5 ἐπέχεσθαι A. 6 τερπνῶν B. 12 ἡπάτητε AB. 14 πῶς om. B. 15 οἱ A, ἢ B. 17 ἀντιχνῶς A. 19 τυγχάνειν pro τυγχανόντων AB. 26 προετρέψαντο e προτρεψάμενοι corr. a pr. m. in A, προτρεψάμενοι B. 28 τὸν om. B.

ἡμῶν λόγον ποιησόμενοι ἄγεσθαι προσεδοκῶμεν, ἣν μόνην καθαρὰν καὶ εἰλικρινῆ ὁ τῆς ἀληθείας δείκνυσι λόγος· τὰ δὲ ὑμέτερα πολλὴ πλάνη καὶ σκότος βαθὺ καὶ αἰσχύνη ἀπερικάλυπτος τοῖς ταῦτα σεβομένοις καὶ μοχθηρῶς ἔχουσι καὶ οὐδ' ἄξια ἐνηχηθῆναι σοφρόνων ἀκοαῖς. Ὁ γὰρ ὑμῶν μέγιστος προφήτης, ὁ θεομισὴς καὶ βέβηλος, ἀντινομοθετῶν καὶ ἀντικαθιστάμενος θεῷ τῷ τὰ πάντα ποιήσαντι καὶ τὰς ἀλλοκότους εἰσάγων κενοφωνίας καὶ τὰ παράληρα τῆς παραπληξίας μυθεύματα καὶ τὰς μεγίστας τῶν ὕβρεων, καὶ θεὸν καὶ τὴν φύσιν ὑβρίσας ἐκ τοῦ πάσας εἰσόδους ταῖς ἡδοναῖς ἀνοῖξαι· οὗ τὰ τολμήματα καὶ νεανιεύματα βίβλοι πολλαὶ φέρουσιν εἰς αἰσχύνην καὶ ὄνειδος αὐτοῦ, ὡς προσεποιεῖτο καὶ ὠνόμαζε πολλὰς προφητείας λέγειν καὶ ἀποκαλύψεις ὁρᾶν. Καὶ γὰρ καὶ τὴν ἐπιληψίαν ὁ θεοβλαβὴς καὶ ἐπίληπτος κρείττονα καὶ μείζονα ὀπτασίαν ἀπεκάλεσε· καὶ ἐν τῷ περὶ γυναικῶν συντάγματι νομοθετήσας, ἵνα παντὶ τῷ βουλομένῳ τέσσαρας μὲν νομίμῳ γάμῳ συνοικίζειν ἑαυτῷ γυναῖκας, παλλακὰς δέ, εἰ δύναιτο, καὶ τῶν χιλίων καὶ δισχιλίων ἐπέκεινα, πῶς οὐκ ἠδέσθη τοσοῦτον ῥύπασμα καὶ μόλυσμα τῇ τῶν ἀνθρώπων ἐπεισάγων ζωῇ καὶ πόλεμον ἄσπονδον καὶ ἀκατάλλακτον οὐ μόνον πρὸς ἀλλοφύλους καὶ ἀλλοεθνεῖς, ἀλλ' ἤδη καὶ πρὸς ὁμοφύλους καὶ ὁμοεθνεῖς; Τοῦτο δὲ πάντων τῆς καλλίστης αὐτοῦ διδασκαλίας κεφάλαιον, τὸ ἐν οὐδενὶ ἄλλῳ θεὸς θεραπεύεται, εἰ μὴ ἐν φιλοπόρνοις καὶ ἀρρενοφθόροις. Καὶ γὰρ τὰ τοιαῦτα νομοθετήματα ὡς εἰπεῖν οὔτε ἐν ἵπποις καὶ ἐν τράγοις καὶ κριοῖς καὶ τοῖς λαγνιστάτοις τῶν ζῴων εἰσὶ πρέποντα· ἀνθρώποις δὲ νοῦν ἔχουσι καὶ λόγῳ κυβερνωμένοις καὶ εἰδόσιν αἰδῶ καὶ αἰσχύνην πῶς οὐκ αἰσχύνη καὶ ὄνειδος τοιαύτην ἀκοὴν καταδέξασθαι καὶ εἰς ἀσέλγειαν ἀναρρήγνυσθαι καὶ τοῖς φαυλοτάτοις τῶν ἀλόγων παρεικάζεσθαι; Ἀλλὰ τί χρὴ τὰ πολλὰ λέγειν καὶ ἐπὶ πλέον μολύνειν τὴν γλῶτταν αἰσχροῖς καὶ ἀσελγέσι διηγήμασιν; Ἀλλ' οὖν εὖ ἴσθι, ὡς ἡμεῖς τὸν θεόν, τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς καὶ πάντων τῶν ὁρωμένων καὶ ἀοράτων κτισμάτων, ὁμολογοῦμεν καὶ οὐκ ἀρνούμεθα, ἐπεὶ δι' ἡμᾶς ἄνθρωπος

1 προσδοκῶμεν B. 3 σκοτοβαθὺ B. 7 εἰσάγων A, εἰσάγαν B. 15 βουλομένῳ A, βουμένῳ B ‖ νομίμῳ A, νόμῳ B. 16 δύνετο AB.

*

γέγονε καὶ ἐσαρκώθη διὰ τὴν ἡμῶν σωτηρίαν, καὶ ἐγεννήθη ἐκ τῆς ἁγνῆς καὶ καθαρᾶς ἀειπαρθένου θεοτόκου Μαρίας, καὶ ἐσταυρώθη καὶ ἐτάφη καὶ ἀνέστη ὡς ἠβουλήθη, καὶ εὐδόκησε καὶ κατῆλθε μέχρις Ἅδου ταμείων, καὶ πατάξας ἐδέσμησε δεσμοῖς ἀλύτοις τὸν τύραννον διάβολον καὶ ἀνέστησε τοὺς ἀπ' αἰῶνος ἐκεῖ καθεύδοντας, καὶ διέρρηξε τὸ τοῦ Ἀδὰμ χειρόγραφον καὶ κύριον καὶ βασιλέα τοῦ Παραδείσου πάλιν αὐτὸν τὸν ἄνθρωπον ἀπεκατέστησεν· εἶτα ἀνελθὼν ἐν δόξῃ πρὸς τὸν ἄναρχον αὐτοῦ πατέρα κατέπεμψε τὸ πανάγιον πνεῦμα ἐπὶ τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ ἀποστόλους, τοῦ κηρύξαι ἐν ὅλῳ τῷ κόσμῳ τὴν τούτου θείαν ἐνανθρώπησιν καὶ τὴν ταφὴν καὶ τὴν ἀνάστασιν καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον καὶ τὴν ἐπιφοίτησιν τοῦ ἁγίου πνεύματος καὶ τὴν μέλλουσαν φρικτὴν καὶ φοβερὰν δευτέραν αὐτοῦ ἔλευσιν, ὅταν μέλλωμεν πάντες γυμνοὶ καὶ ἔντρομοι παραστῆναι ἐμπροσθεν τοῦ βήματος αὐτοῦ, καὶ βαπτίζειν πάντας εἰς τὸ ὄνομα τῆς ζωαρχικῆς τριάδος, καὶ πιστεύειν ἕνα θεὸν ἐν τρισὶν ὑποστάσεσιν, ὥσπερ δὴ καὶ ἡμεῖς πιστεύσαντες καὶ βαπτισθέντες εἰς τριάδα ὁμοούσιον διαπτύομεν τὴν σαθρὰν σου ταύτην μυθολογίαν. Χριστιανοί ἐσμεν καὶ οὐδὲν ἡμᾶς χωρίσει τῆς ἀγάπης τοῦ Χριστοῦ, οὐ δημίων ὠμότης, οὐ ξίφους ὀξύτης, οὐ μαστίγων αἰκίσεις, οὐκ ἄλλο τι τῶν κολαστηρίων ὀργάνων, ὅτι οὐδὲν ἡμῖν τῶν παρόντων πρὸς τὴν μέλλουσαν ζωὴν ἀντάξιον".

12. Τούτων ῥηθέντων ὑπὸ τῶν ἁγίων, ἐννεὸς καὶ ἄφωνος ἐπὶ πολὺ ἐγεγόνει ὁ τύραννος, μυρίοις κλονούμενος τοῖς πάθεσιν· ἠσχύνετο γὰρ ἐπὶ τοῖς ἐλέγχοις καὶ ἐθυμοῦτο ὑλακτῶν ἔνδον καὶ μαινόμενος, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ πικρὸν καὶ ὕφαιμον ἔβλεπον καὶ ἡ ὀφρὺς ἐσκοτωμένη ἐδείκνυτο, καὶ οἱ μυκτῆρες συχνὸν τὸ πνεῦμα ἀπέπεμπον καὶ πολὺ τὸ ὀργίλον τῷ προσώπῳ ἐπέτρεχεν· ὀψὲ δὲ καὶ τὴν φωνὴν ἀγριώτερον ἐκτραχύνας τὰ τοῦ θυμοῦ ῥήματα ἐφθέγγετο, καί φησι πρὸς τοὺς μάρτυρας· "Ἀπαταιῶνες καὶ ληρόφρονες, τίνι καὶ θαρροῦντες τοιαῦτα παρρησιάζεσθε"; Οἱ μάρτυρες εἶπον· "Τῇ ἀληθείᾳ καὶ τῷ ἡμετέρῳ Χριστῷ, ὃν οἴδαμεν

7 τὸν ἄνθρωπον om. A ‖ ἀπεκατέστησεν pro ἀποκατέστησεν AB. 12 ἄνωδον A. 19 χωρήσει AB ‖ χωρίσει—Χριστοῦ] cf. Rom. VIII, 35, 36. 28 ἀπέπεμπον A, ἀπέμπον B. 29 ἀγριώτερον A, ἀμώτερον B. 31 ληρόφρονες A, ληφρονες B.

παριστάμενον ἀεὶ καὶ διδόντα λόγον τοῖς οἰκείοις δούλοις, καὶ τρέφοντα ἡμῖν τὸ ἀκατάπληκτον καὶ τὸ πρόθυμον ἀνεγείροντα". Καὶ ὁ τύραννος· " Ἀλλ' εἰ μὴ σωφρονήσαντες καὶ ταῖς ἡμετέραις εὐπειθήσετε προσταγαῖς καὶ τοῖς τοῦ βασιλέως θελήμασιν ἀκολουθήσετε, γνώσεσθε τῇ πείρᾳ, τίνα τὴν βοήθειαν ὁ Ναζωραῖος δύναται παρέχειν τοῖς μάτην εἰς αὐτὸν ἐλπίζουσι· πρόσταγμα γὰρ τοῦ κρατοῦντος καταπεφοίτηκε θεσπίζον μὴ πειθομένους ὑμᾶς μυρίαις ὑποβαλόντα πρότερον κολάσεσιν οὕτω πικρὸν καὶ πολυώδυνον τὸν θάνατον ἐπενεγκεῖν· ἃ πάντα παρασκεύασμαι καθ' ὑμῶν ἐνδείξασθαι, μέχρι καὶ τῶν ἐγκάτων διαψηλαφήσων ὑμῶν τὰς σάρκας καὶ τὰ ὀστᾶ περιθραύσων, εἰ ἀπισχυρίσεσθε τῆς αὐτῆς ἀνοίας ἐχόμενοι".

13. Πρὸς ταύτας τὰς ἀπειλάς, τὰς παρὰ τοῦ τυράννου ῥηθείσας τοῖς μάρτυσιν, ἑπτὰ ἐξ αὐτῶν ἄνδρες κατασεισθέντες τὰς ψυχὰς καὶ θραυσθέντες τὰ φρονήματα ἐκ τῆς τοῦ ἐχθροῦ ἐπηρείας, τῆς μαρτυρικῆς φάλαγγος ἀπορρήγνυνται, καὶ τὴν Ἰούδα κληρονομήσαντες ἀπώλειαν προδόται τῆς πίστεως ἐγένοντο καὶ τῇ τῶν Ἀγαρηνῶν μυσαρᾷ καὶ ἀθέσμῳ συνετάξαντο θρησκείᾳ. Ἐν λύπῃ δὲ ἀφορήτῳ γεγόνασιν οἱ μάρτυρες διὰ τὴν τῶν ἀθλίων ἐκείνων δειλίαν καὶ ἄρνησιν, καὶ τοσοῦτον ἦλθον εἰς ἀθυμίαν καὶ κατήφειαν καὶ προφανῆ δάκρυα, ὅσην τοῦ διώκτου ἡ καρδία χαρὰν ἐδέξατο καὶ τὸ πρόσωπον γέλωτα ὑπενεπλήσθη. Καὶ οὐδὲ τῶν ἄλλων ἀπεγίνωσκεν, ἀλλ' ἐδόκει ἑτοίμως ἔχειν καὶ τούτους πρὸς τὴν τῶν Ἀγαρηνῶν θρησκείαν· ἔλεγε γάρ, ὅτι, " Εἰ τοὺς ἀγρευθέντας προσώπου μόνον προσποιητὴ ἀγριότης καὶ ἀπειλαὶ ῥημάτων κατεπτόησαν καὶ τῷ ἡμετέρῳ θελήματι ὑπηγάγοντο, πῶς τοὺς λοιποὺς ἔτι σκληρυνομένους καὶ ἀπομαχομένους ἡ τῶν βασάνων οὐ μεταπείσει πεῖρα καὶ μαλακωτέρους ἡμῖν ἀπεργάσεται; μετὰ μικρὸν καὶ ὀψόμεθα τούτους".

14. Ἀλλ' ἔψευσεν αὐτὸν ἡ ἐλπὶς καὶ ἄνθρακας, ὡς ὁ λόγος φησίν, εὗρε τὸν θησαυρόν. Γνόντες οὖν αὐτοῦ τοὺς διαλογισμοὺς

9 παρασκεύασμαι pro παρεσκεύασμαι AB. 17 ἐγένοντο A, ἐνοντο B. 22 ὑπερεπλήσθη ? 23 ἑτοίμους AB. 24 ἀγαρινῶν AB. 25 πρὸσποιήτω ἀγριότητι B. 27 καὶ ἀπομαχομένους om. B. 28 μεταπείση A. 30 ὡς ὁ λόγος] cf. Corp. paroem graec. II, p. 9. 31 οὖν A, δὲ B.

οἱ μάρτυρες, τὰς αὐτοῦ προσδοκίας ἐνέκρωσαν εἰπόντες πρὸς αὐτόν· "Μηδέν τι τοιοῦτον ἐλπίσῃς, ὦ τύραννε, ὡς ἡμᾶς ἢ ἀπειλῶν φοβήσεις, ἢ πλήσσων μαλάξεις, ἢ κολακεύων ὑφαρπάσεις, ἢ διδοὺς ὑποκλέψεις· πάλαι γὰρ πρὸς ταῦτά σου τὰ ποικίλα ἑνὶ φρονήματι καὶ μιᾷ γνώμῃ ἀντιπαρατετάγμεθα. Τί τοσοῦτόν σου αἱ ἀπειλαὶ δύνανται, ὡς παραγαγεῖν τὰς ἡμετέρας ψυχὰς καὶ διασαλεῦσαι ἀπὸ τῆς τοῦ θεοῦ ἡμῶν ἀγάπης, τοῦ εἰπόντος· Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεννόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον ἐκεῖνον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἐν Γεέννῃ ἀπολέσαι. Ἡ σὰρξ ἡμῶν πασχέτω ὅσα δοκεῖ τῷ τυραννικῷ σου θυμῷ· οὐ γὰρ ἄφθαρτον ταύτην περικείμεθα, ἵνα φειδώμεθα. Καὶ γάρ, εἰ καὶ ταῖς μάστιξι καὶ τοῖς κολάζουσι μὴ παρασυρῇ, μηδὲ τοῖς ἄθλοις τοῖς μεγάλοις τούτοις κενωθῇ καὶ ἀναλωθῇ, ἀλλὰ τῇ φύσει πάντως λειτουργήσει τὰ συνήθη καὶ πρὸς τὸν οἰκεῖον ἐπιστρέψει χοῦν. Καὶ πάντως τότε μὲν ἄτιμος καὶ ἄδοξος εὑρεθήσεται· εἰ δὲ τοῖς τοῦ Χριστοῦ ὡραϊσθῇ νυνὶ παθήμασιν, ὡς πορφυρὶς ἔσται βασιλέως ὑπέρτιμος, ὅλη καλή, ὅλη λαμπρά, ὅλη εὐθέατος, ποικιλλομένη μὲν τοῖς τραύμασιν ὡς ἄστρασι, προβαλλομένη δὲ ὡς μαργαρίτας τοὺς μώλωπας, μένουσα δὲ δι' αἰῶνος εὐανθὴς καὶ χρόνου ῥοῇ μὴ δουλεύουσα. Τὰς γὰρ δωρεάς, ἃς ἡμῖν ὑπισχνεῖσαι, τοῖς ταύτας καὶ ἐφιεμένοις καὶ ἀγαπῶσι πάρασχε· ἡμεῖς δὲ μόνον ἡγούμεθα πλοῦτον, ὃν ἀσάλευτον καὶ ἀσύλητον αἱ ἄνω συντηροῦσι σκηναί, καὶ μόνων ἀντεχόμεθα δωρεῶν, ἃς ἡ ἀθάνατος προτείνει δεξιά. αἵτινες λαμπρότεραι ἡμῖν καὶ δαψιλέστεραι χεθήσονται ἐνώπιον τοῦ πατρὸς τῶν φώτων. Καὶ γὰρ μιᾷ ψυχῇ κεχρημένοι ἐπὶ πολλοῖς σώμασι καὶ μιᾷ κατησφαλισμένοι γνώμῃ, ὃ βούλει εἰς ἡμᾶς πράττε κατὰ τὸν σὸν σκοπὸν καὶ τοῖς τοῦ δεσπότου σου προστάγμασιν".

15. Ταῦτα παρρησιασαμένων τῶν ἁγίων, ὁ τύραννος ἀποδυσάμενος τὴν θηριώδη ὠμότητα καὶ θρασύτητα, ἀλώπεκος ἀμφιέννυται τρόπους καὶ λόγοις ἀπαλωτέροις τῶν ἀνικήτων κατεπείραζε λέγων· "Τίς ἡ σκληρὰ ὑμῶν ἔνστασις, τιμιώτατοι ἄνδρες καὶ νουνεχέ-

7 εἰπόντος] cf. Matth. x, 28. 8 ἀποκταινόντων A 19 στραύμασιν A. 21 ὑπισχνῆσαι A, ὑπ'ίσχνῆσαι B. 23 καὶ ἀσύλητον om. B. 24 μόνων A 26 πατρὸς τῶν φώτων] cf. Iac. i, 17. 32 σκληρὰ A, σκηρὰ B.

στατοι, (καὶ) πρὸς ἀτιμότατον θάνατον κατεπείγεσθε; τί δὲ καὶ τὸ τῆς νεότητος καλὸν ἄνθος βούλεσθε διαθέσθαι κακῶς καὶ μαρᾶναι; Ἀκούσατέ μου καὶ φείσεσθε τῆς ἡδίστης ζωῆς· ἐγὼ γὰρ ὁ πολέμιος, ὁ ἀλλότριος, ὁ ἀλλόφυλος ἐπικλῶμαι τὴν ψυχὴν πρὸς τὴν ὑμετέραν ἀφορῶν νεότητα, ὑμεῖς δὲ (ὦ Γῆ καὶ Ἥλιε) παρούσης σωτηρίας ἐκκαλεῖσθε τὸν θάνατον". Καὶ οἱ μάρτυρες εἶπον· " Ἦν σὺ καλεῖς σωτηρίαν, θάνατός ἐστι ψυχοφθόρος· ὃν δὲ καλεῖς θάνατον, ζωή ἐστιν ἀτελεύτητος καὶ μετὰ ἁγίων ἀγγέλων ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ διαγωγή. Ἐκτέλει τὰ τοῦ κρατοῦντος προστάγματα καὶ πρὸς ταῦτα τεχνάζου ὅ τι σοι δοκεῖ καὶ ἐφεύρισκε· τὸ πῦρ ἀνάκαιε, τοὺς θῆρας ἐρέθιζε, τὸ ξίφος ἑτοίμαζε· πάντα ποίει καὶ σοφίζου, ὡς οὐ συλήσεις ἡμῶν τὴν ἀρίστην τροφήν, τὴν εὐσέβειαν, οὐδὲ πείσεις συνθέσθαι σου τῇ ἀσεβείᾳ καὶ ἀνταλλάξασθαι τοῦ φωτὸς σκότος καὶ τῆς ἀληθείας ψεῦδος καὶ τῆς ζωῆς θάνατον".

16. Ἔτι τούτων λεγομένων, οἱ ἑπτὰ τῆς πίστεως προδόται, οἱ τὸν Χριστὸν ἀρνησάμενοι καὶ τῇ τῶν Ἀράβων μυσαρᾷ θρησκείᾳ συνταξάμενοι καὶ ἔξω τῆς πάλης καὶ τοῦ ἀγῶνος γενόμενοι, ἐλεεινὸν ὤφθησαν θέαμα καὶ τῶν τοῦ προφήτου θρήνων ἐπάξιον· τὰ γὰρ ἔγκατα θείᾳ πληγῇ σπαραχθέντες (ὦ τῆς δικαίας σου, Χριστέ, κρίσεως) νεκροί, φεῦ τῆς ἐκείνων ἀθλιότητος, νεκροὶ διὰ τὸ φιλόζωον οἱ τὴν ζωὴν ἀρνησάμενοι ἐν ὄψεσι ταῖς ἁπάντων προέκειντο, τῆς θεηλάτου μάστιγος ὄντες κἀκείνοις παραδείγματα ἐναργέστατα, καὶ ψυχὴν τὴν ἄγαν ἠλίθιον ἰσχυρῶς κατασείονται. Οὐ διέλαθε τὸ τεράστιον τοῦτο οὐδὲ τοὺς ἁγίους, ἅτε τοσοῦτον ὂν καὶ πάσης λήθης ἀνώτερον, τοσούτους ἔχον μάρτυρας ὀφθαλμούς, εἰ καὶ βαρβάρους, καὶ ἐπὶ τοσούτοις κείμενον στόμασι, καίτοι τοῦ τυράννου πάντα μηχανωμένου ὥστε ἐπικαλύψασθαι τὴν ὑπερφυᾶ τοῦ πράγματος παραδοξοποΐαν καὶ μὴ ταῖς τῶν ἁγίων ἐνηχηθῇ ἀκοαῖς. Ἀλλ' ἡ ἄνωθεν θεία πρόνοια οὐκ εἴασε τοῦτο διαλαθεῖν τοὺς τῆς ἀληθείας θείους μάρτυρας, μᾶλλον δὲ καὶ παγιωτέρους αὐτοὺς ἀπεργασαμένη πρὸς τὴν τῶν χριστιανῶν ὀρθόδοξον πίστιν ἀπέρριψε πᾶσαν ἐξ αὐτῶν δειλίαν.

1 καὶ inserui. 19 θρήνον A. 24 κατασείοντα B. 28 μηχανουμένου B.

17. Ὁ δὲ ἀσεβὴς τύραννος ἐκ τῆς κακούργου αὐτοῦ σκέψεως ἔμεινεν ἀνουθέτητος, αἰθίοψ ὢν τὴν κακίαν μᾶλλον ἢ τὴν μελανίαν, αἰθίοψ τὸ σῶμα, αἰθίοψ τὴν ψυχήν, αἰθίοψ τὴν διάνοιαν, μηδενὶ λευκαινόμενος, μὴ λόγῳ, μὴ φρονήματι, μὴ διανοήματι, μὴ οἷς οἶδεν, οἷς ἐπιστώθη, οἷς κατεπλάγη τὴν τοῦ σωτῆρος καὶ θεοῦ ἡμῶν δύναμιν· ἀλλὰ πάλιν τοὺς μάρτυρας μεταπείθειν ἐπειρᾶτο, ἀποκρύπτων, ὡς εἴρηται, τὸ τερατουργηθὲν περὶ τοὺς ἀποστατήσαντας καὶ τὴν ταχύνασαν ἐπ' ἐκείνους θεήλατον τιμωρίαν. Τὰ αὐτὰ δὲ πάλιν τοῖς αὐτοῖς προτεινόμενος ἐμέμνητο δωρεῶν μὲν πειθομένοις, κολάσεων δὲ ἀπειθοῦσιν· ὡς δὲ οὐδὲ ἀποκρίσεως ἠξίωτο παρὰ τῶν ἁγίων, παρευθὺ προστάττει τὴν τοῦ Αἰγυπτίου ἐπιστολὴν εἰς ἐπήκοον πάντων ἀναγνωσθῆναι. Τῆς δὲ μιαρᾶς ἐκείνης ἐπιστολῆς ἀναγνωσθείσης καὶ τῶν ἁγίων ὡς λῆρον ἡγησαμένων τὰ ἐν αὐτῇ γεγραμμένα ῥήματα, τῷ συνήθει καὶ βαρβαρικῷ ὑπερζέσας ὁ βάρβαρος θυμῷ καὶ λυττήσας ἐφ' ᾧ καταπεφρονῆσθαι ἔδοξεν, ἀποτίθεται τὸ τῆς προσποιήσεως κώδιον καὶ τῆς ἡμερότητος καὶ τὸν ἔνδον ἀνακαλύπτει λύκον, καὶ κελεύει τοῖς παρεστῶσι δημίοις λίθους βαλεῖν κατὰ τῶν ἁγίων· καὶ παρευθὺ ἐλίθαζον τούτους κατὰ τὸ προσταττόμενον, ἕως ὅτου καὶ τὰς ἁρμογὰς τῶν μυελῶν διέλυσαν καὶ τὰ ὀστᾶ συνέθλασαν.

18. Οἱ δὲ τὴν δεινὴν ταύτην τιμωρίαν ὑπομένοντες ἔψαλλον καθ' ἑαυτοὺς τὸν ψαλμὸν τοῦτον· "Ὑπομένων ὑπέμεινα τὸν κύριον καὶ προσέσχες μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου· καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος, καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου". Καὶ πληρώσαντες τὸν ψαλμόν, εὐχὴν ἐποιοῦντο λέγοντες· "Κύριε, κύριε παντοκράτορ, δημιουργὲ πάσης κτίσεως, ὁ καταξιώσας ἡμᾶς τοὺς ἀναξίους θεάσασθαι καὶ προσκυνῆσαι τοὺς τιμίους καὶ σεπτοὺς τόπους, ἐν οἷς τὰ ἄχραντα καὶ θεῖα διὰ τὴν ἡμῶν σωτηρίαν ἑκουσίως ὑπέστης πάθη, εἶτα μετασχεῖν εὐδοκήσας τοιούτων καὶ τηλικούτων δωρημάτων, δυνάμωσον ἡμᾶς τοὺς δούλους

9 αὐτοῖς om B. 14 τῶν - - γεγραμμένων B. 15 καπεφρονησθαι B.
22 τὸψαλμὸν B. 22/26 Ὑπομένων — διαβήματά μου] Psalm. xxxix, 1—2.
29 οἷς] ᾧ A, ὧ B. 30 εὐδόκησας AB

σου ἀγωνίσασθαι τὸν καλὸν ἀγῶνα· καὶ μὴ ἀποστῇς ἀφ' ἡμῶν, ὅτι θλῖψις ἐγγὺς καὶ οὐκ ἔστιν ὁ βοηθῶν ἄνευ τῆς σῆς δυναστείας καὶ χρηστότητος. Σύντριψον τὰ κέντρα τοῦ πονηροῦ, ἵνα μὴ ἐγκαυχᾶται καθ' ἡμῶν, καὶ ματαίωσον αὐτοῦ τὰς ἐλπίδας· διὰ γὰρ τὸ σὸν ὄνομα πάντα κατελίπομεν καὶ ἠκολουθήσαμέν σοι, καὶ τὴν φθαρτὴν καὶ ῥέουσαν μισήσαντες δόξαν, τὴν αἰωνίαν ζωὴν καὶ τὴν ἐν οὐρανοῖς ἀπόλαυσιν ἠρετισάμεθα. Καὶ νῦν, δέσποτα, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, θαυμάστωσον καὶ ἐφ' ἡμᾶς τὰ ἐλέη σου, ἵνα γνῶσιν οἱ τῆς ἀληθείας ἐχθροί, ὅτι σὺ εἶ θεὸς καὶ οὐκ ἔστιν ἕτερος πλὴν σοῦ· καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν".

19. Τῆς οὖν εὐχῆς τελεσθείσης, ἰδοὺ ἄγγελος ἐξ οὐρανοῦ κατελθὼν ἐνίσχυσεν αὐτοὺς καὶ ἐποίησεν ὑγιεῖς ὡς τὸ πρότερον· ὁ δὲ Ἄραψ θεασάμενος τὸ παράδοξον τοῦ θαύματος, πλάνους καὶ γόητας τοὺς μάρτυρας ἀπεκάλει καὶ πρὸς τὸ δεσμωτήριον ἀχθῆναι τούτους προσέταττε καὶ ὑπ' ἀσφαλεστάτῃ τηρεῖσθαι φρουρᾷ, ἕως πάλιν πρὸς ἑτέρας ἐτάσεις παραστήσῃ τῷ τούτου βήματι. Οἱ δὲ ἅγιοι εἰσελθόντες ἐν τῇ φυλακῇ οὐκ ἐπαύοντο τοῦ θεοῦ δεόμενοι, τοῦ μὴ λαβεῖν χώραν τινὰ κατ' αὐτῶν τὸν ἀντίπαλον, ἀλλὰ τῇ θεϊκῇ πατάξωσιν αὐτὸν ἰσχύι καὶ πάσας αὐτοῦ τὰς μηχανὰς καὶ δυνάμεις νεκρώσωσι. Μετὰ δὲ πέμπτην ἡμέραν ἐκέλευσεν ὁ δυσμενέστατος Ἄραψ ἐκβληθῆναι τούτους τῆς φρουρᾶς καὶ δεσμίους ἀχθῆναι τῷ τούτου βήματι· οἳ καὶ ἀχθέντες παρίσταντο τῷ ἀσεβεῖ ἀκατάπληκτοι, φέροντες ἄρτια καὶ τὰ σώματα καὶ τὸ πνεύματα· οὓς θεασάμενος ὁ ἀνούστατος καὶ γοητείαν ἡγησάμενος τὴν τοῦ θεοῦ ἄμαχον δύναμιν, οὐκ ἐπαύετο θωπείαις παντοίαις καὶ ποικίλοις μαγγανεύμασι χρώμενος, ἔτι πλείοσι τῶν προτέρων.

20. Ὡς οὖν ἐν ἅπασι τοῦ σκοποῦ διημάρτανε καὶ ἀνωφελῆ

1 καλὸν ἀγῶνα] cf. Tim. 1, vi, 12. Tim. 2, iv, 7. 1/2 μὴ ἀποστῇς — βοηθῶν] cf. Psalm. xxi, 12. 8 θέλων—ἐλθεῖν] cf. Tim. 1, ii, 4. 9 θαυμάστωσον—ἐλέη σου] cf. Psalm. xvi, 7. 9/11 ἵνα γνῶσιν—πλὴν σοῦ] cf. Sirach, xxxiii, 5. 14 ἄγγελος κυρίου B. 29 πλείωνα B.

τεχναζόμενος διηλέγχετο, αὖθις ὁ λυμεὼν τὴν ἀλωπεκίαν ἀποσεισάμενος καὶ ἐπὶ τὸ ὠμότερον ἀγριωθείς, φησὶ πρὸς τοὺς μάρτυρας· "Οἱ τοῦ ἐσταυρωμένου ὑπασπισταὶ τὰς μωρὰς ἐκείνας καὶ ἀπαιδεύτους ἐλπίδας ἀφέντες, ταῖς τοῦ κρατοῦντος διατάξεσι καὶ τοῖς ἐμοῖς λόγοις καὶ παραινέσεσι πεισθέντες, τῷ ἡμετέρῳ φιλανθρώπῳ σύνθεσθε βίῳ· εἰ δ' οὖν, αἰφνίδιον καὶ πικρόν, ταλαιπωρότατοι, ὑμῖν ἐπάγω τὸν θάνατον". Οἱ δὲ ἅγιοι τῷ δικαστῇ ἀντεφθέγξαντο· "Ὦ τύραννε, ὃ βούλει καθ' ἡμῶν πράττε· ἡμεῖς γὰρ πάσας σου τὰς αἰκίας καὶ τὰς τῶν βασάνων εἰδέας, τὰς παρὰ τῶν ἐπινοιῶν τοῦ πατρός σου, τοῦ Σατανᾶ, ὑποβληθείσας σοι οὐ πτοούμεθα. Τοῦτο μᾶλλον ἐφιέμεθα, ἵνα τάχιον παραστήσῃς ἡμᾶς τῷ ἡμετέρῳ δεσπότῃ Χριστῷ, ᾧ μόνῳ λατρεύομεν ὡς θεῷ ζῶντι καὶ ποιητῇ τῶν ἀγγέλων καὶ τοῦδε τοῦ παντός· τὰ δὲ ἀσεβῆ σου ταῦτα ληρήματα καὶ ἀπηνῆ ἀπειλήματα καὶ τὰς τιμωρίας ὡς βέλη νηπίων ἡγούμεθα". Πρὸς ταῦτα ὀργῆς καὶ θυμοῦ πλησθεὶς ὁ ἀσεβέστατος τύραννος, κελεύει τοῖς παρεστῶσι δημίοις τούτους γυμνοὺς ἐπὶ ξύλοις ὀρθίους τανύσαι, χεῖράς τε ἅμα καὶ πόδας δεσμῆσαι καὶ τοῖς τοξικοῖς καταδαιτρεῦσαι βέλεσιν.

21. Οἱ δὲ δορυφόροι συλλαβόμενοι τοὺς ἁγίους ἐποίησαν ὡς προσετάχθησαν· οἱ δὲ ἅγιοι μιᾷ φωνῇ ἔψαλλον οὕτως· "Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι; κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω; Ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας τοῦ φαγεῖν τὰς σάρκας μου, οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου αὐτοὶ ἠσθένησαν καὶ ἔπεσον". Καὶ τελέσαντες τὰ τοῦ ψαλμοῦ ῥήματα, τὴν ἐξ ὕψους ἐπικαλούμενοι βοήθειαν, ἐν τύπῳ εὐχῆς ἔλεγον· "Τὸ φῶς τὸ ἀληθινόν, Χριστὲ ὁ θεὸς ἡμῶν, ἡ πηγὴ τῶν ἰαμάτων, ὁ θησαυρὸς πάντων τῶν ἀγαθῶν, ὁ χορηγὸς τοῦ ἐλέους, ὁ πατὴρ τῶν ἁπάντων, ἐπίβλεψον ἐπὶ τῇ ταπεινώσει ἡμῶν τῶν ἀναξίων καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ θεὸς ἡμῶν καὶ ἡμεῖς ἔργα χειρῶν σου. Ἰδοὺ γὰρ οἱ τῆς ἀληθείας ἐχθροὶ ἐνέτειναν τὰ τόξα αὐτῶν καὶ

1 διηλέγχετο om. B ‖ ἀλωπεκείαν AB. 4 ταῖς A, τοῖς B. 10 σου om. B. 13 ποιτῇ B. 15 βέλη νηπίων] cf. Psalm. LXIII, 8. 17 ξύλου B. 18 καταδετρεῦσαι AB. 20 ἔψ. μιᾷ φωνῇ οὕτως B. 20/24 Κύριος — ἔπεσον] Psalm. XXVI, 1—2. 26 τὸ φῶς τὸ ἀληθινόν] cf. Iohan. I, 9 ‖ ἐντύποι B. 31 ἰδοὺ A, οἱ δὲ B ‖ ἐνέτειναν—καθεῖλον] cf. Psalm. X, 2 — 3.

τὰ βέλη ἐν ταῖς φαρέτραις ἡτοίμασαν, κατατοξεύοντες ἡμᾶς ἐν σκοτομήνῃ, τοὺς πιστεύοντας εἰς σέ· καὶ ἃ σὺ κατηρτίσω, αὐτοὶ καθεῖλον. Μὴ δὴ τοιγαροῦν καταισχυνθείημεν οἱ ἱκέται σου ὑπ' ἐχθρῶν ἀδίκων· σύντριψον αὐτῶν τὰς μηχανὰς καὶ τὰ σκάνδαλα, καὶ καταβήτω ἐπὶ κορυφὴν αὐτῶν ἡ ἀδικία αὐτῶν, καὶ εἰς βόθρον ὃν ὤρυξαν ἐμπεσέτωσαν, καὶ ὃν ἡτοίμασαν καθ' ἡμῶν, αὐτοὶ ἀπωνάσθησαν".

22. Οὕπω δὲ τῶν τοιούτων ῥημάτων τελεσθέντων, οἱ δήμιοι ἀλλήλους κατετόξευον, ἀγγέλων δὲ ἐπιστασία φοβερὰ προσωμίλει τοῖς μάρτυσι, καὶ κύκλῳ αὐτῶν νεφέλη πυρός, καὶ αὐτίκα τῶν δεσμῶν λυθέντες ἐγένοντο ὑγιεῖς, μηδένα μώλωπα ἔχοντες. Οὓς θεασάμενος ὁ τύραννος καὶ ἀλλοιωθεὶς τὰς ὄψεις ἐγένετο ὡσεὶ νεκρός· οἱ δὲ παρεστῶτες ἔκθαμβοι γεγονότες πρὸς ἱκετηρίαν τοὺς θεοῦ θεράποντας ἐλιπάρουν, οἳ καὶ εὐχὴν ποιήσαντες ὑγιῆ τοῦτον ἀπεκατέστησαν· καὶ εἰς ἑαυτὸν ἐλθὼν οὐκ ἐπαύετο ὁ ἀλάστωρ καὶ ἔτι βλασφημῶν κατά τε τοῦ θεοῦ καὶ κυρίου ἡμῶν καὶ κατὰ τῶν τούτου θεραπόντων καὶ ἀοιδίμων μαρτύρων. Καὶ αὐτίκα προστάξας τοῖς δημίοις, παραστάντων τῶν ἁγίων γυμνῶν ἔμπροσθεν τοῦ βήματος αὐτοῦ, τὰς χεῖρας καὶ τοὺς πόδας αὐτῶν δεσμῆσαι καὶ ξίφεσι τὰς σάρκας ἀντὶ μαστίγων τέμνεσθαι καὶ σπαθίζεσθαι· καὶ ἡ κέλευσις εὐθὺς ἔργον γέγονε, καὶ ἦν ἰδεῖν θέαμα, σάρκας ἀνθρωπείας ἐμψύχου σώματος ὥσπερ ἐν κρεοπωλίοις φεῦ μελιζομένας καὶ εἰς γῆν διασπειρομένας ταῖς εἰς λεπτὸν τομαῖς καὶ διασπάσεσιν· οἱ δὲ πικραῖς οὕτως ὁμιλοῦντες ταῖς βασάνοις τὰ σώματα μὲν εἶχον κρεουργούμενα ἐν χερσὶ τῶν δημίων, τὰς ψυχὰς δὲ ἀνατεταμένας πρὸς τὸν ἀγωνοθέτην Χριστὸν καὶ τῷ ἐκείνου φίλτρῳ κατευμεγεθούσας τῶν παθημάτων. Ὑπέψαλλον δὲ καὶ ταῦτα, ὁ μὲν "Ἐξελοῦ με, κύριε, ἐξ ἀνθρώπου πονηροῦ· ἀπὸ ἀνδρὸς ἀδίκου καὶ δολίου ῥῦσαί με"· ὁ δὲ, "Ἀπὸ ἀνθρώπων

1 κατατοξεύοντας B. 3 οἰκέται A, οἰκέταις B. 5/7 καταβήτω—ἀπωνάσθωσαν] cf. Psalm. VII, 16-17. 6 ἐμπεσείτωσαν B. 9 προσομίλει A, προσόμιλοῦσα B. 10 τοὺς μάρτυρας B || καὶ αὐτίκα A, αὐτίκα γὰρ B. 15 ἀπεκατέστησαν pro ἀποκατέστησαν AB; cf. p. 148,7 || ἐμαυτὸν ἐλ. οὐχ B. 16 τοῦ κυρίου καὶ θεοῦ B. 22 κρεωπωλίοις AB. 26 ἀνατεταμμένας AB. 28 Ἐξελοῦ—πονήτων] Psalm. CXXXIX, 1—13.

ἀδίκων ἐξελοῦ με, οἵτινες ἐδολιεύσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου". Ἄλλος, "Διελογίσαντο κατ' ἐμοῦ κακά· μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν". Ἕτερος, "Ἐνώτισαι, κύριε, τὴν φωνὴν τῆς δεήσεώς μου. Κύριε, κύριε, δύναμις τῆς σωτηρίας μου". Ἐκεῖνος, "Ἔγνων ὅτι ποιήσει κύριος τὴν κρίσιν τῶν πτωχῶν καὶ τὴν δίκην τῶν πενήτων". Καὶ οὕτως καθ' ἑαυτοὺς τὸν ψαλμὸν ὅλον διεμερίζοντο, καὶ μετὰ τὸν ψαλμὸν τῆς εὐχῆς ἀπαρξάμενοι· "Ὁ διὰ τὴν ἡμετέραν πτωχείαν, πολυεύσπλαγχνε κύριε, καταβὰς ἐξ οὐρανοῦ καὶ σάρκα λαβὼν ἐκ τῆς ἀειπαρθένου Θεοτόκου ἐτέχθης ὡς ἄνθρωπος, ἵνα τὴν τῶν ἀνθρώπων φύσιν ἐλευθερώσῃς τῆς τοῦ ἐχθροῦ τυραννίδος· εἶτα ἐλευθερώσας ζωὴν καὶ ἀφθαρσίαν ταύτῃ ἐδωρήσω καὶ πρὸς τὸ ἀρχαῖον ἀξίωμα ἐπανήγαγες. Καὶ νῦν, δέσποτα, στήριξον ἡμᾶς ἐν τῷ ἁγίῳ ὀνόματί σου, καὶ ἐνίσχυσον τοὺς ταπεινοὺς δούλους σου γενναίως φέρειν τὰς τοῦ τυράννου βασάνους, ἵνα δι' αὐτῶν καθαροὶ ὀφθῶμεν τῷ ἀδεκάστῳ σου βήματι, αἰνοῦντες καὶ εὐλογοῦντες τὸ φοβερὸν καὶ πολυύμνητον καὶ ἅγιον ὄνομά σου νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶντας τῶν αἰώνων. Ἀμήν".

23. Τῆς δὲ εὐχῆς τελεσθείσης, ὁ τρισάθλιος τύραννος τῆς αἱμοβόρου μανίας ὥσπερ ἐμφορηθεὶς κελεύει ἀνεθῆναι τοὺς μάρτυρας καὶ πρὸς τὸ δεσμωτήριον ἀχθέντας ὑπ' ἀσφαλεστάτῃ τηρεῖσθαι φρουρᾷ, ἕως πάλιν πρὸς ἑτέρας ἐτάσεις θελήσειε τούτους παραστῆναι· μέγα δὲ γελάσας καὶ πρὸς τοὺς παρεστῶτας ὁμόφρονας αὐτοῦ εἶπεν· "Εὗρον τὰς τούτων γοητείας· ἄρτι γνώσομαι, εἰ ὁ Ναζωραῖος παρέχει τὴν βοήθειαν καὶ ἰάσεται αὐτοὺς ἐκ τῶν παρόντων ἀνιάτων βασάνων". Καὶ ταῦτα εἰπὼν ἀνέστη τοῦ βήματος· οἱ δὲ τοῦ Χριστοῦ στρατιῶται ἤγοντο ἐπὶ τὴν φρουρὰν ταῖς τῶν δημίων χερσὶν ὑποστηριζόμενοι καὶ διαβασταζόμενοι, τὰ μέλη λελωβημένοι, τὰς σάρκας διακεκομμένοι, αἵματι τὴν δορὰν καλυπτόμενοι, καὶ παρεδόθησαν κατὰ τὸ κελευσθὲν τῇ εἱρκτῇ, τοῦ καὶ πάλιν κατὰ τὸ διατεταγμένον αὐτοὺς κολά-

1 ὑποσκελλῖσαι AB. 9 ἁγίαςπαρθένου B. 12 ταύτην B. 13 ἁγίωνοματί B. 15 ὠφθῶμεν AB. 16 λογοῦντες τῶ φοβερῶ καὶ πολυύμνήτω σου ὀνόματι τῶ ἁγίω B. 23 δὲ om. B. 26 τῶν om. B. 27 ἤγον B.

ζεσθαι. Κείμενοι δὲ ἐπὶ τῆς γῆς οἱ μάρτυρες, νεκρὰ σχεδὸν σώματα, ἔψαλλον καθ' ἑαυτοὺς οὕτως· "Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ κυρίου· μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν· οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν". Καὶ πληρώσαντες τὸν ψαλμὸν ὕπνωσαν πρὸς βραχύ, καὶ θεοῦ ἐπινεύσει ἐγένοντο τῷ εἴδει φαιδροί, μηδένα μώλωπα τοῖς σώμασι φέροντες· καὶ διυπνισθέντες ἠγάλλοντο καὶ παρρησίας καιρὸν ἐλάμβανον καὶ πρὸς ἀλλήλους ἔλεγον· "Πάρεστιν ὁ ταχὺς εἰς ἀντίληψιν δεσπότης χεῖρα διδοὺς καὶ καταπεσεῖν οὐκ ἐῶν τοὺς δι' αὐτὸν πάσχοντας, ὃς ἡμῖν καὶ τὰ ἐκκοπέντα καὶ διαμερισθέντα μέλη τοῖς ξίφεσιν ὁρᾶτε ὅπως παραδόξως ἀπαθῆ δέδωκε, μηδὲ βραχέος τινὸς ἐπιφαινομένου θραύσματος ἢ σπαράγματος". Καὶ ἀρξάμενοι πάλιν ἔψαλλον· "Πρὸς κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα καὶ εἰσήκουσέ μου· κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας" καὶ τὰ ἑξῆς. Εἷς δὲ τῶν φυλασσόντων ἀκροασάμενος, ὅτι μετὰ παρρησίας καὶ πολλῆς ἀγαλλιάσεως τῷ παμβασιλεῖ θεῷ τὴν ᾠδὴν ἀναπέμπουσι, ταχέως ἀπελθὼν ἅπαντα τῷ τυράννῳ διεσάφησε.

24. Καὶ αὖθις εἰς ἑτέρας ἐτάσεις τῇ τούτου προστάξει οἱ μάρτυρες παρελαμβάνοντο, οὐ χερσὶν ἑτέρων ἀνεχόμενοι καὶ ὑπερειδόμενοι, ὡς ὁ βάρβαρος ἤλπιζεν, ἀλλὰ βήμασιν οἰκείοις εὐδρομοῦντες καὶ κατ' ὄψιν τοῦ θεοστυγοῦς Ἄραβος ἱλαροῖς σώμασι πορευόμενοι· οὓς θεασάμενος ὁ δυσμενέστατος καὶ θυμοῦ πλησθεὶς εἶπεν· "Ἔγνων, πλάνοι, ὅτι πάλιν αἱ γοητεῖαι ὑμῶν ἐνήργησαν· ἀλλ' οὐ παύσομαι, ἕως ὅτου τὸ θεομισὲς καὶ κατηραμένον ὑμῶν μνημόσυνον ἀπὸ τῆς γῆς ἐκτρίψω". Καὶ παρευθὺ κελεύει τριβόλοις σιδηροῖς πυκνῶς κατεστρῶσθαι τὸ ἔδαφος καὶ τοὺς ἁγίους τῶν ποδῶν ἐκδεθέντας ἐπ' αὐτῶν ἀνηλεῶς σύρεσθαι, μηδὲ τὰς χεῖρας ἐλευθέρας ἔχειν ἐωμένους, ἅμα δὲ καὶ ῥοπάλοις ἄνωθεν τὰ μέλη συνθλάττεσθαι, ὡς ἂν τῇ τῶν ξύλων φορᾷ ἐμπαγέστεροι τοῖς ὀξέσιν ἐκείνοις ἥλοις γένωνται. Ἔτι δὲ καὶ τρίτην ἐν ταὐτῷ τοῖς ἁγίοις ἐπινοῶν κάκωσιν, ὁ καὶ θῆρας τῇ ἀπηνείᾳ ὑπερελάσας,

2/5 Μακάριοι—ἐπορεύθησαν] Psalm. cxviii, 1-3. 7 τῷ εἴδει A, τὸ εἶ B. 12 ὅπω B. 14/16 Πρὸς—δολίας] Psalm. cxix, 1-2. 27 ἐκτρέψω B.

ὄξος ἐπιχέειν τοῖς ἀνοιγεῖσι τραύμασιν ἐγκελεύεται, ἵνα διὰ τούτων μειζόνως τῆς τιμωρίας ἀντιλαμβάνωνται· οἳ δὲ καὶ ταύτην τὴν τιμωρίαν ὑπομείναντες ἔψαλλον· "Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός; ἀνομίαν ὅλην τὴν ἡμέραν, ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου· ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον· ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην" καὶ τὰ ἑξῆς τοῦ ψαλμοῦ.

25. Εἶτα τῷ θεῷ δεόμενοι ἔλεγον· "Φιλάνθρωπε κύριε, ὁ βασιλεὺς τῶν αἰώνων, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ πρὸς τὴν ἡμετέραν ἀφορῶν ταπεινότητα, ὁ δι' ἡμᾶς καθ' ἡμᾶς γεγονὼς καὶ τὴν ἡμετέραν εὐτελῆ ἐνδυσάμενος φύσιν, ἵν' ἐν ἡμῖν δείξῃς τὴν μεγαλωσύνην τῆς ἰσχύος σου, ὅτι σὺ εἶ θεὸς καὶ πλήν σου οὐκ ἔστιν ἕτερος· ταπείνωσον ὑπὸ τοῖς ποσὶν ἡμῶν τὸν μεγάλαυχον καὶ ἀλαζόνα διάβολον, καὶ κατάσπασον αὐτοῦ τὴν ὀφρύν, ὡς ἔχων τὸ κράτος ἀήττητον καὶ τὴν δύναμιν ἀπειροδύναμον καὶ ποιῶν τὰ σαθρὰ δυνατά, τὰ ἀσθενῆ ἰσχυρά, τὰ ἄπορα εὔπορα καὶ τὰ ἀμήχανα εὐμήχανα· καὶ ἐνδυνάμωσον ἡμᾶς τοὺς δούλους σου, τοὺς εἰλικρινῶς σοι λατρεύοντας, ἀδαμαντίνην ἐνδείξασθαι καρτερίαν καὶ ὑπεραθλῆσαι τῆς δόξης σου, καὶ μέχρις αἵματος καὶ σφαγῆς ἀντικαταστῆναι πρὸς τὴν ἁμαρτίαν καὶ τοῖς ἁμαράντοις τῆς σῆς ἀφθαρσίας ἀναδεθῆναι στεφάνοις, νικηφόρους πρὸς τὸν σὸν ἀπαντῆσαι θρόνον. Κράτυνον ἡμᾶς ἐν τῇ σῇ δυνάμει, κραταιέ· στόμωσον τὰ φρονήματα, στήριξον τὰ βουλεύματα, παγίωσον τὰ ἐνθυμήματα, ὅλους ἡμῶν τοὺς λογισμοὺς εἰς τὴν σὴν ἀγάπην ἑδραίωσον, ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου καθ' ἡμῶν ἠνοίχθη καὶ ὁ ἀρχέκακος τὸν χαιρέκακον τύραννον βαρὺν κολαστὴν ἡμῖν ἐπέστησεν. Εἶπον οἱ μισοῦντές σε, κύριε κύριε· Δεῦτε καὶ καταπίωμεν αὐτοὺς καὶ ἐξάρωμεν ἀπὸ γῆς τὸ μνημόσυνον αὐτῶν, καὶ οὐ μὴ ὦσιν ἔτι· ποῦ γάρ ἐστιν ὁ θεὸς αὐτῶν; ῥυσάσθω αὐτούς, εἰ θέλει αὐτούς, ἐκαυχήσατο τῇ κακίᾳ ὁ δυνατός. Ἀλλὰ σύ, ὕψιστε, μακρόθυμε καὶ πολυέλεε, μὴ ἀποστῇς ἀφ' ἡμῶν· ἐπὶ σὲ ἐπερρίφημεν ἐκ κοιλίας μητρός, καὶ πλὴν σοῦ ἕτερον θεὸν οὐ

2 ἀντιλαμβάνων B. 4/7 Τί ἐγκαυχᾷ — ἀγαθωσύνην] Psalm. LI. 3—5. 8 ὁ ἐν ὑψηλοῖς κατοικῶν] Psalm. CXII, 5. 10 ἐνδυσάμενος A, ἐνεδύσω B. 15 ἰσχυρὰ A, ἰσρὰ B. 16 δούλουσου B. 24 ὅτι στόμα — ἠνοίχθη] cf. Psalm. CVIII, 2 27 ἐξάρωμεν—αὐτῶν] cf. Mac. 1, XII. 53.

γινώσκομεν, ὅτι καὶ μόνον τὸ σὸν εὐλογητόν ἐστιν ὄνομα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν".

26. Ἤδη δὲ τέλος ἐχούσης τοῖς ἁγίοις τῆς εὐχῆς, βροντὴ γέγονε, καὶ σὺν αὐτῇ σεισμὸς ἐπακολουθήσας φοβερὸς ὅλον μὲν τὸν τόπον ἐκεῖνον διεκλόνησε καὶ τὸν θεοβλαβῆ τύραννον τοῦ θρόνου ἀναπηδῆσαι παρεσκεύασε καὶ καταδεῆ τῷ κτύπῳ γενέσθαι· καὶ φωνὴ οὐρανόθεν ἠνέχθη τὸ ἀδεὲς κατεγγυῶσα τοῖς μάρτυσι, "Μὴ φοβεῖσθε" λέγουσα· "μεθ' ὑμῶν γάρ εἰμι". Τῆς δὲ φωνῆς τελεσθείσης, αὐτίκα τῶν δεσμῶν οἱ ἅγιοι λυθέντες καὶ τῶν δριμυτάτων βασάνων ἄτρωτοι διαφυλαχθέντες ἵσταντο κατὰ πρόσωπον τοῦ τυράννου ὑγιεῖς καὶ ἀβλαβεῖς ὡς τὸ πρότερον· οὓς θεασάμενος ὁ βδελυρὸς καὶ ἐναγὴς τύραννος, οὐκ εἰς δειλίαν ἐποιεῖτο τὸ δέος, ἀλλ' εἰς μανίαν ὁ ἐσκοτισμένος καὶ μὴ ὀρθῶς ἀτενίζειν δυνάμενος, καὶ γόητας καὶ τερατοποιοὺς τοὺς μάρτυρας ἀπεκάλει ὁ πάσης γοητείας καὶ κακουργίας ἀνάπλεως. Μαθὼν δὲ ὅτι καὶ πολλοὶ τῶν παρατυχόντων τοῖς τότε τελουμένοις τὰ παράδοξα τῶν θαυμάτων ἐξεθαμβοῦντο καὶ τῷ παμβασιλεῖ καὶ φιλανθρώπῳ ἡμῶν θεῷ καὶ τοῖς αὐτοῦ πολυάθλοις καὶ ἀηττήτοις μάρτυσι τὴν εὐχαριστίαν ἀπένειμον, ὀργῆς πρὸς ταῦτα ὑπερπλησθεὶς καὶ διαρρήξας τὴν τούτου ἐσθῆτα, τῇ κορυφαίᾳ καὶ βαρυτάτῃ βασάνῳ, τῇ διὰ σταυροῦ, τοὺς ἀηττήτους μάρτυρας ἀναρτᾶσθαι προσέταττε. Καὶ δραμόντες οἱ Ἀραβικοὶ λύκοι τὰ τοῦ Χριστοῦ θεόλεκτα πρόβατα κατεσπάραττον, καὶ παρευθὺ τοῖς ξύλοις ἐτείνοντο οἱ μακάριοι. Εἰκόνιζον τὸ πάθος τοῦ κτίσαντος, ἠγάλλοντο τοῖς τούτου παθήμασιν, ἐπηύχοντο τὸν τοῦ Χριστοῦ θανεῖν θάνατον· τοὺς ἥλους ὡς ἡδεῖς ἐλογίζοντο, καίτοι τὴν ὀδύνην ὄντες δριμύτατοι· τὴν ἀδοξίαν δόξαν ἐδόκουν, τὴν ἀτιμίαν τιμήν, τοὺς πόνους τρυφήν. Ἐμακάριζον ἑαυτοὺς τοῦ πάθους, ὅτι προσκαίροις καμάτοις αἰωνίαν ὠνοῦνται ἀπόλαυσιν, καὶ ὡς ἐν ἀλλοτρίοις σώμασι πάσχοντες ὑπέψαλλον· "Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. Μακάριος ἀνήρ, ᾧ οὐ μὴ λογίσηται κύριος ἁμαρτίαν, οὐδὲ ἔστιν ἐν τῷ στόματι αὐτοῦ δόλος".

7 οὐ(ρα)νόθεν B || κατεγγυοῦσα AB. 8 φοβεῖσθαι B. 9 τελεσθήσης B. 10 δριμητάτων B. 13 ποιεῖτο B. 20 τούτου pro αὐτοῦ AB || βαρυτάτω B. 27 δρημύτατοι B. 30/32 Μακάριοι—δόλος] Psalm. xxxi, 1—2. 30 ὧ ἀφείθησαν B

27. Εἶτα πληρώσαντες τὸν ψαλμόν, εὐχὴν καθαρὰν καὶ τελευταίαν ἀνέφερον τῷ θεῷ λέγοντες· "Εὐχαριστοῦμέν σοι, κύριε ὁ θεὸς ἡμῶν· εὐχαριστοῦμέν σοι, ὅτι ἠξίωσας ἡμᾶς τοὺς ἀναξίους τηλικούτων ἀγαθῶν, τοσαύτης δόξης, τοσαύτης λαμπρότητος· τῇ κοινωνίᾳ γὰρ τῶν ἁγίων σου παθῶν καὶ τῷ ὁμοίῳ τῆς κατακρίτου σταυρώσεως ἐπέκεινα πάσης τιμῆς τιμὴν τετιμήμεθα, οἱ δοῦλοι συμπάσχοντες τῷ δεσπότῃ καὶ συνυβριζόμενοι οἱ γήινοι τῷ οὐρανίῳ, οἱ πρόσκαιροι τῷ αἰωνίῳ, οἱ θνητοὶ τῷ ἀθανάτῳ, τῷ ποιητῇ τὰ ποιήματα, τῷ δημιουργῷ τὰ δημιουργήματα. Οὐ βλέπομεν ὅτι ἀτίμως σταυρούμεθα, ἀλλ' ὅτι συνδοξαζόμεθα σοὶ τῷ ἡμετέρῳ πλάστῃ καὶ ποιητῇ. Διὸ νεύρωσον ἡμῶν, δέσποτα, τοὺς λογισμούς, κράτυνον τὰ φρονήματα, ἐνίσχυσον ἡμᾶς μέχρις ἐσχάτης ἀναπνοῆς· ἴασαι τὰ τραύματα τῶν ἐν γνώσει καὶ ἀγνοίᾳ ἐπισυμβάντων ἡμῖν πλημμελημάτων· τὰ ἕλκη κάθαρον, τὰς οὐλὰς ἐξάλειψον, ἀγαθὲ κύριε. Μὴ καυχήσηται καθ' ἡμῶν ὁ δράκων ὁ σκολιός, ὁ τηρῶν ἀεὶ τὰ τέλη τοῦ βίου, ὁ τοῖς πίπτουσιν ἐπιχαίνων καὶ τοῖς πταίσμασιν ἐπιχαίρων καὶ προφέρων ταῦτα εἰς αἰσχύνην καὶ ὄνειδος τῶν ποτὲ πεπραχότων. Αἰσχυνθήτω ἡ θρασεῖα ἐκείνη καὶ ἀναιδὴς καὶ ἀναίσχυντος γλῶσσα· μὴ λάβοι καθ' ἡμῶν ἰσχὺν ῥημάτων, ἰσχὺν ὀνειδισμάτων. Ἵλεως γενοῦ τοῖς σοῖς ἱκέταις, καὶ χάρισαι ἡμῖν τὸν πικρὸν τοῦτον καὶ φοβερὸν τοῖς ἁμαρτωλοῖς διαπερᾶσαι αἰθέρα ἀλύπῳ πορείᾳ, καὶ ἀποφυγεῖν τοὺς πικροὺς λογοθέτας καὶ τοὺς βαρεῖς ἐξεταστὰς τῶν ἀνθρωπίνων πλημμελημάτων καὶ τὰ μικρὰ διερευνῶντας καὶ παρεκλεγομένους, τοῦ ἐμποδίζειν καὶ κατασπᾶν ἡμῶν τὴν ἄνοδον. Μὴ ὀφθείη ταῖς ἡμετέραις, δέσποτα, πρὸς σὲ ἀναβάσεσιν ὁ τῆς ἀντικειμένης φάλαγγος πρωτοστάτης, ὁ σφοδρὸς κατήγορος τῶν ἄρτι λυομένων ἐκ τοῦ σώματος ψυχῶν καὶ τῷ σῷ προστάγματι πρὸς τὰ ἀρχαῖα σκηνώματα μετακαλουμένων· ἀλλὰ πάταξον αὐτὸν τῇ θεϊκῇ σου δυναστείᾳ καὶ τῆς καθ' ἡμᾶς ὁρμῆς ἀναχαίτισον, τῷ σῷ τε ἐλέει καὶ τοῖς ὑπὲρ σοῦ χυθεῖσι τούτοις αἵμασι καθάρας ἡμῶν πάντα ψυχῆς τε καὶ σώματος μολυσμόν, ἵνα μηδὲν ὁ ἐχθρὸς ζοφῶδες

9/10 βλέπωμεν B. 16 τέλη A, μέλει B. 19 ἀναιδεὶς B. 20/21 οἰκέταις AB. 26 ἀντικειμένοις B. 27 προστάτης B. 30 ἀναχεαίτισον A. 31 ὑπεσοῦ B.

καὶ μέλαν καὶ τῆς αὐτοῦ σκοτίας καὶ κακίας γνώρισμα εὑρὼν ἐν ἡμῖν κατασχυνθῇ· χάρισαι δὲ καὶ πάσῃ ψυχῇ ἐξερχομένῃ τοῦ σώματος καὶ ἡμᾶς ἐπικαλουμένῃ καὶ πρεσβευτὰς καὶ μεσίτας πρὸς σὲ προβαλλομένῃ τὴν ἄνοδον ἀκωλύτως διέρχεσθαι καὶ ἀγαθοὺς ἀγγέλους ἔχειν εἰς βοήθειαν, τοῦ πατάσσειν καὶ ἀποδιώκειν τοὺς ὀδυνηροὺς καὶ ψυχοφθόρους φορολόγους, τοὺς αὐτῇ παρεμποδίζειν καὶ ἐλέγχειν ὁρμῶντας. Ὁμοίως χάρισαι καὶ πᾶσι τοῖς τε ἐπικαλουμένοις καὶ ἐκτελοῦσι τὴν μνήμην ἡμῶν, τοῦ μηδὲν κοινὸν ἢ ἀκάθαρτον εἰσελθεῖν ἐν τῷ οἴκῳ αὐτῶν· ἀλλ' εὐλόγησον καὶ πλήθυνον ἐπ' αὐτοῖς τὰ ἐλέη σου καὶ τὸν ἄφατον πλοῦτον τῆς δόξης σου· καὶ μὴ καταλίπῃς αὐτοὺς ἀπροστατεύτους, κύριε κύριε, ἀλλὰ προφθασάτω τούτους ἡ χείρ σου καὶ κουφισάτω τῶν περιεχουσῶν ὀδυνῶν, ἵνα τὸν καλὸν ἀγωνίζωνται ἀγῶνα καὶ ἀξίως τῶν σῶν ἐντολῶν πολιτεύωνται καὶ τοῦ νοητοῦ δράκοντος τὴν κεφαλὴν πατήσαντες καὶ συνθλάσαντες τῷ σῷ παρασταθεῖεν βήματι ἐν ἀκαταγνώστῳ συνειδότι καὶ τῷ χορῷ ἐγκαταταγεῖεν τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, σὺν αὐτοῖς ᾄδοντες τὸν τρισάγιον ἐκεῖνον ὕμνον, ὃν ἀγγελικαὶ χορεῖαι καὶ πᾶσα ἡ τῶν δικαίων ᾄδει ὁμήγυρις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν".

28. Ἤδη δὲ συμπεραινόντων τὴν εὐχὴν τῶν μαρτύρων, ὁ κύριος μετὰ τῶν ἁγίων αὐτοῦ ἀγγέλων διὰ τῶν νεφελῶν ἐφάνη αὐτοῖς λέγων· "Χαίρετε οἱ γνήσιοι θεράποντες καὶ φίλοι μου· ἰδοὺ ἡ τῶν οὐρανῶν βασιλεία ὑμῖν ἠὐτρέπισται· τὰ πλήθη τῶν ἀγγέλων μου δι' ὑμᾶς ἀγάλλονται, ὁ χορὸς τῶν τε ἀποστόλων καὶ προφητῶν ὑμᾶς ἀπεκδέχεται· οἱ μάρτυρες μετὰ τῶν ἱεραρχῶν καὶ ὁσίων καὶ τῶν ἀπ' αἰῶνός μοι εὐαρεστησάντων δικαίων ἁπάντων χαρᾷ ἀνεκλαλήτῳ χαίρουσι, προσμένοντες καὶ αὐτοὶ τὴν ὑμῶν ἄνοδον. Καὶ πάντα ὅσα ἂν ᾐτήσασθέ μοι δώσω ὑμῖν· οὐ μὴν ταῦτα, ἀλλὰ καὶ πλείονα τούτων, ὅτι τοὺς δοξάζοντάς με δοξάσω καὶ οἱ ἐξουθενοῦντές με ἀτιμασθήσονται". Καὶ ταῦτα εἰπὼν ὁ κύριος ἀνῆλθε μετὰ τῶν ἁγίων αὐτοῦ ἀγγέλων ἐν τοῖς οὐρανοῖς·

1 σκοτείας B. 13 καλὸν—ἀγῶνα] cf. Tim. 1, vi, 12. 30 τοὺς δοξάζοντας — ἀτιμασθήσονται] cf. Reg. 1, ii, 30.

τῶν δὲ ἁγίων κλινάντων τὰς κεφαλὰς πρὸς τὸν κύριον, ὁ ἐσκοτισμένος τύραννος τοὺς παρεστῶτας ἠρώτα· "Τί ὅτι τὰς κεφαλὰς τούτων οἱ κακοδαιμονέστατοι καὶ τρισάθλιοι πάντες ὑπέκλιναν; μὴ πάλιν μείζονας γοητείας τῶν προτέρων καθ' ἡμῶν ἐργάζονται"; Καὶ ὑπερζέσας τῷ θυμῷ βαρβαρικαῖς λόγχαις διορύσσειν αὐτῶν τὰς πλευρὰς διεκελεύσατο, καὶ εὐθὺς πολυχειρία τις ἀγρίων ὑπηρετῶν Ἀράβων τοὺς ἁγίους κατέτεμνε, καὶ αὐτίκα πᾶσα ἡ τοῦ σώματος φυσικὴ καὶ συνεκτικὴ διάθεσις ἀπέρρει καὶ ἀπεκενοῦτο καὶ διεξέπιπτε. Εἶτα τῶν ἁγίων φησάντων, "Κύριε κύριε, δέξαι τὰ πνεύματα ἡμῶν ἐν εἰρήνῃ", καὶ τοῦ "Ἀμὴν" εἰρημένου παρ' αὐτῶν, τὰς ἡγιασμένας καὶ μακαρίας ψυχὰς τῷ παμβασιλεῖ θεῷ ἡμῶν παρέδωκαν, δείξαντες κἀν τούτῳ τὴν κατὰ τοῦ θανάτου ἰσχὺν καὶ ὡς ἑκόντες μᾶλλον τῶν τῇδε μετέστησαν.

29. Ἐπὶ τοιούτοις παλαίσμασιν, ἐπὶ τοιούτοις ἀγωνίσμασι καταλύουσι τὸν βίον οἱ τρισμέγιστοι μάρτυρες, τοῦ Ὀκτωβρίου τότε μηνὸς εἰκοστὴν πρώτην ἄγοντος. Ὧν καὶ τὰ ὀνόματά εἰσι ταῦτα· Εὐσέβιος, Θεόδουλος, Δαβίδ, Πηγάσιος, Νεόφυτος, Ἀκάκιος, Δωρόθεος, Στέφανος, Δομέτιος, Γερμανός, Διονύσιος, Ἐπιφάνιος, Στρατόνικος, Λεόντιος, Μανουήλ, Θεόφιλος, Ἠλίας, Ἰωάννης, Σαμουήλ, Εὐλάμπιος, Ἀλέξιος, Φώτιος, Εὐτρέπιος, Μεθόδιος. Χαρίτων, Θεοφύλακτος, Ἀναστάσιος, Ἀνδρόνικος, Συμεών, Θεόκτιστος, Ῥωμανός, Παῦλος, Ἀγαθόνικος, Μηνᾶς, Ἀθανάσιος, Ἰάκωβος, Νικηφόρος, Πορφύριος, Τιμόθεος, Εἰρήναρχος, Αὐξέντιος, Ἰωσήφ, Γρηγόριος, Καλλίνικος, Ἀαρών, Κυριακός, Θεοδόσιος, Εὐστάθιος, Ἰσαάκιος, Ἀλέξανδρος, Ἐλευθέριος, Ἀδριανός, Χριστοφόρος, Ἀντίοχος, Ἰσίδωρος, Παρθένιος, Σέργιος, Εὔπλος, Ἰγνάτιος, Θεοφάνης, Κύριλλος, Ζαχαρίας καὶ Ἄνθιμος.

30. Τὰ δὲ ἡλιοειδῆ ἀθλοφορικὰ καὶ θεόστεπτα τῶν ἀηττήτων θείων μαρτύρων σώματα μηδὲ μετὰ θάνατον οἱ ἀπηνεῖς Ἄραβες κατελεήσαντες, ἀλλ' ἔτι τῷ θυμῷ νικώμενοι μανικῶς ἐκ τῶν ξύλων πρὸς ἄτιμον γῆν καὶ βορβόρου γέμουσαν ὥσπερ τινὰ ἐναγῆ

8/9 ἀπεκνοῦτο B. 9 φεισάντων AB. 13 ἰχὺν B. 14 ἐπὶ τ. ἀγωνίσμασι om. B. 15 οἱ τρισμακάριοι καὶ μέγιστοι B || ὀκτωμβρίου A. 16 ὧν A, ὢ B. 22 ἀγαθώνικος AB. 27 ἄνθημος AB. 28 θεόσεπτα AB. 30 νικώμενοι AB.

τὰ εὐαγῆ καὶ τιμιώτατα ἔρριπτον· ἃ δὴ καὶ τῷ τόπῳ ἐφ' ἱκανὸν ἐτηρήθησαν χρόνον ἀπήμονα καὶ τῆς σωματικῆς ἀμέτοχα φύσεως. Ὡς δὲ ὁ πάντα ὁρῶν καὶ πάντα διατηρῶν ἀκοίμητος τοῦ θεοῦ περιέσῳζε καὶ διεφύλαττεν ὀφθαλμὸς ἀπὸ στομάτων τῶν σαρκοβόρων θηρίων καὶ τῶν πτηνῶν ἄψαυστα καὶ ἀνέπαφα, ἀλλὰ μηδὲ πρὸς σῆψίν τινα καὶ διάλυσιν, ἃ τῆς ἀνθρωπίνης ἀσθενείας καὶ εὐτελείας ἐστὶ τὰ γνωρίσματα, τῷ χρόνῳ ὑποσυρέντα καὶ ὑπολισθήσαντα, τὰ δὲ καὶ μυρίαν τινὰ καὶ ὑπερφυῆ διεδίδου τοῖς παραπορευομένοις τὴν εὐωδίαν ὁμοῦ καὶ τὴν χάριν· οἳ δὴ καὶ μετ' ὀλίγον καιρὸν ὀπτάνονται τῷ ἐν Καισαρείᾳ τῆς Παλαιστίνης ἁγίας τοῦ θεοῦ ἐκκλησίας προεστῶτι Ἰωάννῃ ἐκείνῳ, ἀνδρὶ θεοφιλεῖ τὴν εὐσέβειαν, τῷ καὶ τὰ τῆς ἀθλήσεως αὐτῶν ἀναλαβομένῳ διὰ ταχυγράφων ὑπομνήματα· ᾧ καὶ ἐπιτάττουσι τὰ θεῖα τούτων σώματα ἐκεῖθεν ἐλέσθαι καὶ ἐν τῷ ὑποσημανθέντι τούτῳ ἐναποθέσθαι τόπῳ, ἐν ᾧ ἵδρυται πλησίον τούτου καὶ ναὸς ἐπ' ὀνόματι τοῦ θείου καὶ πρωτομάρτυρος Στεφάνου, ἐκτὸς τῆς λαμπρᾶς τῶν Ἱεροσολύμων πόλεως.

31. Ὃς καὶ διυπνισθεὶς κατὰ τὸ φανὲν αὐτῷ καθ' ὕπνους ἐποίει, καὶ πρὸς ὃν οἱ ἅγιοι ἐπεπόθησαν τόπον, ἐν τούτῳ παρὰ τοῦ ἁγιωτάτου ἐκείνου ἀρχιεπισκόπου ἐνσοριάζονται. Οἳ δὲ κεῖνται νῦν ἐν ᾧ εὐδόκησαν σεβασμίῳ τόπῳ, ἱεροὶ ἱερῶς, λαμπροὶ λαμπρῶς, θεῖος θησαυρὸς χριστιανοῖς καὶ ἄσυλος πλοῦτος χρηματίζοντες, δαίμονας ἀπελαύνοντες, τυφλῶν τὰ ὄμματα φωτίζοντες, κωφῶν τὰς ἀκοὰς διανοίγοντες, χωλῶν τὰς τῶν ποδῶν βάσεις ὑποστηρίζοντες, νόσους πολυειδεῖς καὶ σφοδρῶς ἐπιπολαζούσας τοῖς σώμασι ταχείᾳ τινὶ ἐξαφανίζοντες ἐπισκέψει καὶ χάριτι, καὶ πᾶν ὅ τι παθῶν τε καὶ νοσημάτων γένος εὐχερῶς διαλύοντες εἰς δόξαν τοῦ κυρίου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ πρέπει πᾶσα δόξα, κράτος, τιμή, προσκύνησις καὶ μεγαλοπρέπεια, σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

10 ὑπὸ τῆς AB. 18 διαπνισθεὶς B. 21 ἱεροὶ A, ἱερῶς B. 28 πέπει B.

X.

Ὀκτωβρίου κη.

ΜΑΡΤΥΡΙΟΝ

ΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΑΚΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ.

1. Μετὰ τὸ τελειωθῆναι τὸν θεοφιλέστατον Κωνσταντῖνον τὸν βασιλέα καὶ Κώνσταντα τὸν υἱὸν αὐτοῦ διεδέξατο τὴν βασιλείαν αὐτοῦ Ἰουλιανός· ὃς ἀπερχόμενος ἐπὶ τὸν τῶν Περσῶν πόλεμον ἤκουσεν τὰ περὶ τοῦ ἐπισκόπου Κυριακοῦ. Διὸ ἦλθεν εἰς Ἱερουσαλήμ· καλέσας δὲ Ἰουλιανὸς τὸν ἐπίσκοπον Κυριακὸν λέγει αὐτῷ· "Τί τὸ ὄνομά σου"; Ὁ ἐπίσκοπος λέγει· "Τὸ ἀπὸ τῶν γονέων μου Ἰούδας ἐκαλούμην, ὅτε δὲ ἐσπλαγχνίσθη ὁ δεσπότης μου Ἰησοῦς Χριστὸς καὶ ἀναξίῳ μου ὄντι ἐχαρίσατο τὸ τῆς ἐπισκοπῆς ὄνομα, Κυριακόν με προσέταξεν καλεῖσθαι ἡ δικαία Ἑλένη διὰ τοῦ ὁσίου ἐπισκόπου Ῥώμης". Ἰουλιανὸς εἶπεν· "Οἱ γονεῖς σου περιόντες εἰσίν"; Κυριακὸς ἐπίσκοπος εἶπεν· "Ἡ μήτηρ μου μόνη". Ἰουλιανὸς εἶπεν· "Κληθήτω".

2. Τῆς δὲ ἐλθούσης, ἔφη Ἰουλιανός· "Τί τὸ ὄνομά σου"; Ἡ δὲ λέγει· "Ἄννα". Ἰουλιανὸς εἶπεν· "Ποίαν θρησκείαν σέβῃ"; Ἄννα εἶπεν· "Ἐν ᾧ θρησκεύω, τῷ ἐπουρανίῳ βασιλεῖ μου Χριστῷ, ὃς ἐφανερώθη μοι διὰ τοῦ τιμίου μου τέκνου". Ἰουλιανὸς εἶπεν· "Χρημάτων προκειμένων καὶ ζωῆς μεγίστης, θῦσον τῷ μεγάλῳ θεῷ Ζηνί". Κυριακὸς εἶπεν· "Ἐγὼ τῷ μεγάλῳ βασιλεῖ

Codex Messanensis μβ', fol. 105b — 107b.

3 cod. ἱερωσωλύμων. 6 τὸν] cod. τὴν. 7 Διὸ] cod. διὸν. 13 γονῆς. 15 κληθήτο. 17 θρισκίαν. 19 τιμῆου. 21 ζήνι.

θυσίαν ἀναπέμπω ἄχραντον καὶ ἀναίμακτον, ὅστις βασιλεύσει εἰς τοὺς αἰῶνας". Ἰουλιανὸς εἶπεν· "Κἀγὼ τὰς μωρίας ταύτας ἐφιλολόγησα καὶ οὐδέν μοι ὠφέλησαν". Κυριακὸς εἶπεν· "Καλῶς εἶπας, κύον ἀνόσιε, ὅτι Οὐδέν με ὠφέλησαν· ἐάσας γὰρ τὰς θεοπνεύστους Γραφὰς οὐκ ἐμνημόνευσας τῶν θείων μυστηρίων τοῦ Χριστοῦ· ἀναξίῳ γάρ σοι ὄντι ἐχαρίσατο βασιλείαν τὴν πρόσκαιρον, σὺ δὲ τὸν διάβολον ἠμφιάσω καὶ διώκεις τοὺς τῆς εὐσεβείας ἐραστάς· ὅθεν συντόμως περιαιρεθήσεται τὸ βασίλειόν σου καὶ ἡ ἀλαζονεία τῆς ἀπονενοημένης σου ψυχῆς". Ἰουλιανὸς εἶπεν· "Πολλοὶ ἐπὶ τὸν Χριστὸν πεποιθότες δειναῖς τιμωρίαις ἀνέλυσαν ἐκ τοῦ βίου τούτου. Ὅθεν, ἐὰν μὴ πιστεύσαντες θύσητε, διαφόρων αἰκισμῶν ὄψεσθε τιμωρίαν". Κυριακὸς ὁ ἐπίσκοπος εἶπεν· "Οὐ δύνασαι τοιαύτας τιμωρίας κατασκευάσαι, οἵας ἡτοίμασεν ὁ Χριστὸς ταῖς ψυχαῖς ταῖς ἀρνησαμέναις αὐτόν· σῶμα μὲν γὰρ αἰκιζόμενον πρὸς ὀλίγον ὥσπερ γῇ τεμνομένῃ, ⟨ἣ⟩ διπλοῦν τὸν καρπὸν ἀποδίδωσιν. Οὕτως καὶ τὸ σῶμα λυθὲν ἀπὸ τῶν αἰκισμῶν, προθύμως ἡ ψυχὴ βαδίζει εἰς τὰς οὐρανίους πύλας καὶ θαρροῦσα προσέρχεται τῷ δεσπότῃ, ὑπὲρ οὗ ἔδωκεν τὸ σῶμα αὐτῆς εἰς θάνατον".

3. Ἰουλιανὸς εἶπεν· "Τί λέγεις, Κυριακέ; ᾔρησαι οὖν καὶ σὺ ὑπὲρ τοῦ ἐσταυρωμένου ἀποθανεῖν καὶ μὴ θῦσαι"; Κυριακὸς ἐπίσκοπος εἶπεν· "Ἡ θεία Γραφὴ οὐκ ἔγνως τί λέγει; Θεοί, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν ἀπὸ τῆς γῆς. Καὶ πάλιν λέγει· Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων· ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. Ἴδε οὖν καὶ σὺ ὅμοιος αὐτῶν εἶ, εἰδώλοις ματαίοις προσκυνῶν, μεθ' ὧν μέλλεις κρίνεσθαι εἰς τὴν Γέενναν".

4. Ὁ δὲ Ἰουλιανὸς ταῦτα ἀκούσας ἐκέλευσεν αὐτοῦ κοπῆναι

1 cod. ἀνέμακτον || βασιλεύσι. 3 ωφέλεισαν. 4 κύων || ὠφέλειαν. 5 δυκαιμνημόνευσας. 6 ἐχαρήσατο. 7 διόκεις. 8 συντόμως περϊρεθείσεται. 9 ἡλαζωνία. 10 παιποιθότες, διναῖς. 11 θύσηται. 12 ὁ add. corrector codicis. 15 δηπλοῦν. 16 προθύμος. 17 ἡ ψυχὴ addit corrector in margine. 18 αὐτὸς, sed corr. add. in marg. η. 19 εἰρησαιοῦν καὶ σοὶ. 21 γραφεῖ || λέγει] Hierem. x, 11. 23 λέγει] Psalm. cxiii, 12, 16. cxxxiv, 15, 18. 24 cod. ὅμοι οἱ α. γέννοιντο. 25 ἴδε] cod. εἶδε hic et infra. 26 εἰδώλεις.

τὴν δεξιὰν χεῖρα εἰπών, "ὅτι ἐν αὐτῇ τῇ χειρί σου γράφων ἐπιστολὰς πολλὰς καὶ πολλοὺς ἀπέστρεψας ἀπὸ τῶν θεῶν". Κυριακὸς ἐπίσκοπος εἶπεν· "Καλῶς ἐποίησας, κύον ἀνόσιε· οὐκ οἶδας γάρ, ὅτι ζωὴν αἰώνιον περιεποιήσω μοι· πρὸ τοῦ γὰρ γνῶναι τὸν κύριόν μου Ἰησοῦν Χριστὸν ἤμην γράφων ταῖς συναγωγαῖς τῶν Ἰουδαίων, ἵνα μὴ πιστεύσωσιν τῷ ἐσταυρωμένῳ. Ἴδε οὖν τὸ σκάνδαλον τοῦ σώματός μου ἔκοψας· συμφέρει γάρ μοι, ἵνα ἓν τῶν μελῶν μου ἀπόληται καὶ μὴ ὅλον τὸ σῶμά μου βληθῇ εἰς τὴν Γέενναν". Ἰουλιανὸς εἶπεν· "Ἴδε οὖν ὅλον τὸ σῶμά σου ἀφανίσω καὶ ἴδω, τίς ἐστιν ὁ ῥυόμενός σε ἐκ τῶν χειρῶν μου". Κυριακὸς ἐπίσκοπος εἶπεν· "Ὁ δεσπότης μου Χριστός, ὃν σὺ παρυβρίζεις παραφρονῶν, παραινεῖ ἐν τῷ Εὐαγγελίῳ· Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεννόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. Διὰ τοῦτο κἀγὼ καταφρονῶ τῶν προσκαίρων βασάνων τούτων, ἵνα ἐκφύγω τὴν ἐπερχομένην ὀργὴν τοῦ πυρός". Ἰουλιανὸς εἶπεν· "Ἴδε οὖν ἡ ὀργὴ τοῦ πυρὸς ἔρχεται ἐπὶ σέ, καὶ ἴδω εἰ σώσει σε ἐκεῖνος ὁ πλάνος". Κυριακὸς ἐπίσκοπος εἶπεν· "Ἀμνήμων καὶ πάντων δυσσεβέστατε κύον, πῶς οὐκ ἐμνήσθης τοῦ καθαροῦ θυσιαστηρίου, ἐφ' οὗ ἐκρύβης τὸν πρόσκαιρον θάνατον, ὅταν τὴν ἀνταρτικὴν ἐπεχείρησας βίαν; πῶς ἐτόλμησας ἀνοῖξαι τὸ στόμα σου τὸ μιαρὸν καὶ εἰπεῖν βλασφημίαν κατὰ τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ"; Ἰουλιανὸς εἶπεν· "Εἰ ὄντως τοῦ πυρὸς καταφρονεῖς, κρινῶ σε ἀνηκεστάτῳ κολάσει, ἵνα μὴ μόνον τὸ σῶμα σου τιμωρηθῇ, ἀλλὰ καὶ ἡ ψυχή σου".

5. Τότε ἐκέλευσε μόλιβδον λυθῆναι καὶ σιδηρολάβῳ ἀνοῖξαι τὸ στόμα αὐτοῦ καὶ ἐγχυθῆναι αὐτῷ τὸν μόλιβδον διὰ τοῦ στόματος. Ὡς δὲ ἐποίησαν τὸ προσταχθὲν αὐτοῖς, καὶ κατεκένωσαν τὸν μόλιβδον ἐν τῷ στόματι αὐτοῦ· ὁ δὲ Κυριακὸς ὑπέμεινεν καὶ ταύτην τὴν τιμωρίαν, σιωπὴν δὲ ἔχων ἀνέβλεπεν εἰς τὸν οὐρανόν·

2 καὶ add. corr. cod. 3 cod. κύων. 5 γράφων] cod. γὰρ φὼν. 7 συμφέρο. 8 μελῶν corr. e μελλῶν || ὅλων. 11 Ἰησοῦς add. corr. 12 παραινεῖ] cod. παρανὶ || Εὐαγγελίῳ] Matth. x, 28 || cod. φοβηθῆται. 13 ἀποκταινόντων. 17 σωσεισαι. 18 κύων. 20 ἀνταρτηκὴν ἐπεχείρισας || βίαν] cod. μίαν (μ corr. ex υ) 21 τὸ μιαρὸν] cod. τὸαμιαρὸν. 22 ὄντος. 24 τιμωριθῆ. 25 σιδηρωλάβω. 27 κατεκαίμωσαν.

ὡρῶν δὲ δύο διελθουσῶν ὑπενόουν ὅτι τεθνήκει ὁ Ἰούδας. Ἐπάρας δὲ τὴν φωνὴν ἤρξατο λέγειν· "Ἀμπτὴρ ἄσβεστε Χριστέ, φῶς αἰώνιον, ζωὴ τῶν τεθανατωμένων, ἡ ἄφεσις τῶν ἁμαρτιῶν, ὁ λυτρωτὴς τῶν ἀπολλυμένων· εὐλογῶ σε, δέσποτα, ὅτι κατηξίωσάς με τῆς μερίδος τῶν ἁγίων σου τυχεῖν, ὁ τὴν εἰκόνα τὴν χρυσῆν συντρίψας καὶ τὸν κακόφρονα βασιλέα ἀπὸ τῶν ἀνθρώπων ἐκδιώξας καὶ μετὰ θηρίων ἀγρίων τὴν κατοικίαν αὐτοῦ θείς, ἕως ἑπτὰ καιροὶ ἠλλάγησαν ἐπ' αὐτόν, ἕως ἐπέγνωσε τὸν θεὸν τῆς ἀληθείας· ὁ διὰ τοῦ προφήτου Δανιὴλ τὰ σεβάσματα τῶν Βαβυλωνίων καθελών, ὁ τὸν τύπον τῆς τριάδος τῶν μαρτύρων ἐν φλογὶ καμίνου πυρὸς διασώσας, ὁ τὴν κυμαινομένην θάλασσαν Ἐρυθρὰν ἀναξηράνας καὶ τὸν λαόν σου διαγαγὼν δι' αὐτῆς, ὁ τοὺς ἀντιδίκους τοῦ λαοῦ σου καλύψας ἐν τῷ ταύτης βυθῷ, ὁ τὸν συριγμὸν τῶν δρακόντων ἐν τῇ ἐρήμῳ καταπαύσας διὰ τοῦ τύπου τοῦ σταυροῦ καὶ τοὺς ὀφεοδήκτους ἰασάμενος, ὁ τὸν Ἰσραὴλ ὄντα ἐν σκότει διὰ στύλου πυρὸς φωτίσας καὶ φλεγομένους ὑπὸ τῆς ἡλιακῆς ἀκτῖνος ⟨δι'⟩ ἀναψύξεως σκεπάσας αὐτούς, ὁ τοὺς ἐχθροὺς τῶν σῶν φίλων θανατώσας, ὁ τῶν χειμαζομένων εὔδιος λιμὴν Χριστέ, ὁ ἀνακαλύπτων πηγὰς ἐν φάραγξιν εἰς ἀπόλαυσιν τῶν θηρίων τῆς ἐρήμου· περὶ πάντων γὰρ σοὶ μέλει, δέσποτα κύριε, καὶ πάντες σὸν ποίημά ἐσμεν. Δέομαί σου, κύριε Ἰησοῦ Χριστέ, ἐξαπόστειλον τὸν ἄγγελόν σου Μιχαήλ, τὸν ἐπὶ τοῦ φωτός, καὶ ῥῦσαί με ἀπὸ τοῦ κακοτέχνου τούτου, ὅπως μὴ νικήσῃ με ἡ ἀλαζονεία αὐτοῦ, ἀλλὰ ⟨διὰ⟩ τῆς ὑπομονῆς στήριξόν με· σὺ γὰρ εἶ δεδοξασμένος εἰς τοὺς αἰῶνας. Ἀμήν".

6. Καὶ τελέσαντος αὐτοῦ τὴν εὐχήν, λέγει ὁ Ἰουλιανός· "Ἴδε, ἴδε, Κυριακέ, πόσα σοι συνεχώρησα λαλῆσαι. Πολλάκις ἤκουσα ταῦτα καὶ οὐδεὶς ἠδυνήθη ἐκ τῶν χειρῶν μου ζῶν ἀναχωρῆσαι, εἰ μὴ ἐπέθυσεν. Καὶ ἤμην καὶ ἐγώ ποτε προσκυνῶν

1 cod. ὡρῶν || ὑπενόουν] cod. εἰπεννόϋν. 5 τὴν pr. corr. ex ὅτι. 6 χρυσὶν. 7 κατοικείαν. 8 ἠλλάγισαν ἐπ' αὐτῶν. 10 φλογῆ. 13 σιριγμῶν. 15 ὀφιοδίκτους. 16 σκότι || φωτήσας καὶ φεγομένους. 17 δι' addidi. 18 χειμαζωμένων. 19 φάραξιν. 20 μέλλει. 21 δέομέ. 22 ἐξαπόστιλον || μηχαὴλ. 23 ῥῦσε || νικήσει || ἀλαζωνία. 24 διὰ addidi. 27 εἶδε εἶδε || πῶσσασοινεχώρῖσα. 28 ἠδυνήθην || ἀναχωρῖσαι. 29 ἤμιν.

τῷ ἐσταυρωμένῳ καὶ οὐδέν με ὠφέλησεν· ἔπειτα μετανοήσας ἐπέγνων τοὺς θεούς, οἵτινες τὴν σωτηρίαν παρέχονται". Κυριακὸς ἐπίσκοπος εἶπεν· "Οἶδα ἐγώ. ὅτι ἐγνώρισας τὸν πατέρα σου τὸν Σατανᾶν καὶ τοὺς ὑπηρέτας αὐτοῦ, οἵτινες τοὺς πιστεύοντας αὐτοῖς εἰς Γέενναν ἄγουσιν". Ἰουλιανὸς εἶπεν· "Θῦσον, Κυριακέ, πρὸ τοῦ σε τιμωρεῖσθαι". Κυριακὸς ἐπίσκοπος εἶπεν· "Ἐγὼ δαιμονίοις οὐ θύω. οὐδὲ λίθοις ματαίοις". Ἰουλιανὸς εἶπεν· "Διὰ τὴν ἀπόνοιαν ὑμῶν οὔτε ἀνδριάντα ἀνέστησαν· ἀλλὰ θῦσον ἀοράτοις καὶ εἰπὲ Μέγας ὁ θεὸς Ζεύς". Κυριακὸς ἐπίσκοπος εἶπεν· "Ἐγὼ μεγάλῳ καὶ ἀοράτῳ θεῷ πεπίστευκα, ὅστις σε καθελῇ ἀπὸ τῆς ἀλαζονείας σου ταύτης".

7. Τότε ὁ παμμιαρώτατος ἐκέλευσεν γενέσθαι κράββατον χαλκοῦν καὶ ἐν αὐτῷ αὐτὸν τανυσθῆναι καὶ ἀνθρακιὰν πυρὸς ὑποστρωθῆναι καὶ χέεσθαι ἅλμην καὶ στέαρ, καὶ ἄνωθεν προσέταξεν ῥαβδίζεσθαι αὐτόν· ἡ δὲ κοιλία καὶ τὰ ἐμπρόσθια μέλη τοῦ μακαρίου ἦν ὠπτημένα ὑπὸ τοῦ πυρὸς καὶ ὑπὸ τῶν ῥάβδων ἦν ῥαγιζόμενα· εἰσκαρτερεῖ δὲ διὰ τὸν Χριστὸν ὁ μάρτυς. Ἤρεν δὲ τὴν φωνὴν αὐτοῦ τῇ ἑβραΐδι διαλέκτῳ εὐχόμενος καὶ λέγων· "Καροχὰ ἰχαλαλεῖ μαμουθά. ἰαριχὼ σ'ηᾶρ, λαμεγδωνὰ, ἐλωέθ. ναοῦ, ἰαβὴλ κωρὰμ, βεβηλαδωναιὲ, ἐλωειμουθά". Ὅ ἐστιν μεθερμηνευόμενον· "Ὁ θεὸς ὁ ἀμέτρητος καὶ δι' ἡμᾶς ὁραθείς, ὁ διδοὺς ζωὴν παντὶ τῷ πιστεύοντι ἐπὶ σοί, ὁ διὰ τοῦ προφήτου Ἰωνᾶ τὸν τύπον τῆς ἀναστάσεώς σου ὑποδείξας ἡμῖν, ὁ τὸν ἐκλεκτόν σου Ἠλίαν εἰς οὐρανοὺς ἀναπτερώσας ἅρματι πυρίνῳ, ὁ τῷ βλέμματί σου σινιῶν τὰ σύμπαντα, ἔπιδε, Κύριε, ἐπὶ τὴν κρίσιν ταύτην καὶ κούφισόν με ἀπὸ τῶν πόνων τούτων. Ἰδοὺ γὰρ διὰ τὸ ὄνομά σου ταῦτα πάσχω". Καὶ ταῦτα αὐτοῦ εἰπόντος, ἐξεπλάγη ὁ τύραννος ἐπὶ τῇ ὑπομονῇ αὐτοῦ καὶ κελεύει λυθῆναι αὐτὸν καὶ ἔν τινι οἰκήματι φρουρεῖσθαι αὐτόν, ἕως ἂν σκέψηται ποίῳ θανάτῳ ἀναλώσει αὐτόν.

1 cod. ἔπιτα. 2 παρέχωνται. 3 ἐγνώρησας. 5 προτοῦσαι. 6 τιμωρίσθαι || Ἐγὼ] cod. ἐπω. 7/8 ἀπόνυαν. 11 ἀλαζωνίας. 12 γενέσθαι] cod. τένεσθαι. 13 ταννυσθῆναι. 14 ὑποστροθῆναι || χέεσθαι] cod. ρέσθαι || ἅλμιν. 15 κυλία. 16 ὀπτημένα. 17 ραχϊζόμενα. 21 ἀμέτριτος. 25 συνείων || ἐπιδὲ. 26 κούφησον. 28 κελεύει] cod. λεύει. 29 φρουρῖσθαι.

8. Ἡμερῶν δὲ δύο διελθουσῶν, ἡ μακαρία Ἄννα, ἡ μήτηρ τοῦ δικαίου, παραγίνεται πρὸς αὐτὸν καὶ λέγει· "Καλῶς ἠγωνίσω, τέκνον, ὑπὲρ τοῦ δεσπότου ἡμῶν Χριστοῦ· μνήσθητι τοῦ πατρός σου καὶ τῆς μητρός σου, καὶ ἐξαγόρασον, τέκνον, τὰς ἁμαρτίας τῶν πατέρων σου, γενόμενος μετὰ Στεφάνου τοῦ πρωτομάρτυρος. Μνήσθητί μου γνησίως, ὅτι ὠδίνησά σε καὶ ἐγαλακτοτρόφησά σε· αὔριον γὰρ τελειοῦσαι, τέκνον μου". Οἱ δὲ ὑπηρέται τοῦ διαβόλου ἀνήνεγκαν τῷ τυράννῳ περὶ αὐτῆς καὶ εὐθέως ἐκέλευσεν παραστῆναι αὐτήν. Ἐλθούσης δὲ αὐτῆς, ἔφη αὐτῇ ὁ τύραννος· "Τί λέγεις, Ἄννα; ἐπείσθης κἂν σὺ τοῦ θῦσαι καὶ ζῆν; ὁ γὰρ ἀπονενοημένος υἱός σου ἠρήσατο μᾶλλον ἀποθανεῖν ἢ ζῆν". Ἄννα εἶπεν· "Ζωῆς γὰρ μᾶλλον ὀρεγόμενος οὐ θύει· αὕτη γὰρ ἡ ζωὴ πρόσκαιρός ἐστιν". Ἰουλιανὸς εἶπεν· "Τί οὖν λέγεις; οὐ θύεις καὶ σύ"; Ἄννα εἶπεν· "Ἄθεε καὶ ἀνήμερε καὶ πάσης ἀνομίας ἀρχηγέ, οὐ πτοοῦσίν με οἱ λόγοι σου. Ὁ δεσπότης ἡμῶν Ἰησοῦς Χριστὸς ὑπὲρ ἡμῶν τὸ αἷμα ἐξέχεεν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας· πόσῳ μᾶλλον ἡμεῖς οἱ ἁμαρτωλοὶ ὑπὲρ αὐτοῦ θανεῖν σπουδάσωμεν";

9. Θυμομαχήσας δὲ ὁ τύραννος ἐκέλευσεν αὐτὴν ἀπὸ τῶν τριχῶν κρεμασθῆναι καὶ ξέεσθαι. Ξεομένης δὲ αὐτῆς ἐπὶ ὥρας τρεῖς καὶ ὅλως μὴ οἰμωξάσης, λέγει ὁ τύραννος· "Τί ἐστιν, Ἄννα; καλῶς σε ἔλαβον αἱ βάσανοι"; Ἄννα εἶπεν· "Ἀκατάστατε κύον καὶ πάσης ἀνομίας ἀρχηγέ, ὅλως οὐκ ἠσθόμην. Ἄλλας οὖν ἐὰν ἔχῃς βασάνους, πρόσφερέ μοι· ἑτοίμη γάρ εἰμι καταφρονῆσαι καὶ ἀνταγωνίσασθαι τῷ σωτῆρί σου τῷ διαβόλῳ, ἔχουσα ὑπερασπίζοντά μου τὸν Χριστόν". Τότε ἐκέλευσεν ὁ Ἰουλιανὸς προσάγεσθαι αὐτῇ κανδήλας· ἡ δὲ λέγει· "Ἄχραντε ἀμίαντε θεέ, ὁ τὴν Πεντάπολιν τῶν ἀσεβῶν πυρὶ ἀσβέστῳ παραδούς, τὸν δὲ δίκαιον Λὼτ διασώσας, ὁ φωνῇ ἀγγέλων τὰ τείχη Ἱεριχὼ καταστρέψας, ὁ τὸν Ἀμαλὴκ πολεμήσας χειρὶ κραταιᾷ, ὁ διὰ τῆς

2 cod. παραγίναιται || ἠγωνήσω. 3 μνίσθητι. 6 ωδήνησά. 7 τελιούσαι || οἰπηρέται. 9 ἐλθοῦσις. 10 ἐπίσθεις κἂν σοι. 14 σύ] cod. σοι hic et infra. 15 πτωούσιν. 16 λυτρώσειται. 17 πωσω. 19 θυμομαχείσας. 20 κρεμασθείναι. 21 τρὶς, καὶ ὅλω μὴμοξάσης. 22 κύον. 24 ἔχεις || εἰμὴ καταφρονοῦσα. 25 ἀνταγονίσασα 27 αὐτὴν. 29 λότ || τίχη.

μακαρίας Ἰουδὶθ θραύσας τὸν Ὀλοφέρνην, τὸν δὲ λαὸν Ἰσραὴλ διασώσας· ἐπάκουσον, κύριε, καὶ ἐμοῦ τῆς ταπεινῆς, καὶ ποίησον τέλειον τὸν δρόμον δραμεῖν, ἵνα κἀγὼ συνεισέλθω τῷ νυμφίῳ μου Χριστῷ ἀγαλλιωμένη μετὰ τοῦ τέκνου μου". Καὶ ταῦτα εἰποῦσα ἡ μακαρία Ἄννα ἀπέδωκεν τὸ πνεῦμα καὶ συνέστειλαν αὐτὴν καὶ ἔθαψαν.

10. Τότε ὁ παμμιαρώτατος Ἰουλιανὸς ἐκέλευσεν ἄγεσθαι τὸν δίκαιον· τοῦ δὲ ἀχθέντος, ἐθαύμασεν ὁ τύραννος, ὅτι τοσαύτας βασάνους ὑπομείνας φαιδρῷ τῷ προσώπῳ παρέστη. Καί φησιν Ἰουλιανός· "Κυριακέ, εἰπέ μοι ποίαις μαγείαις τοὺς πάντας ἠμαύρωσας"; Κυριακὸς εἶπεν· "Ἐπειδή περ σὺ ἐκπέπτωκας ἀπὸ τῆς ἀληθείας τοῦ Χριστοῦ, θέλεις καὶ τοὺς ἀστέρας, τοὺς διαπρέποντας αὐτῶν, ἀκολούθους σου γενέσθαι· ἀλλ' οὐκ ἔσται σοι τόπος· ἐγὼ γὰρ πέπεισμαι, ὅτι οὐ μετὰ πολλὰς ἡμέρας πληγήσῃ οὐρανίῳ ῥομφαίᾳ· ἀπελεύσῃ γὰρ ἐπὶ τὴν ὁδόν σου καὶ οὐκ ἐπιστρέψεις, ἐπειδὴ παρώργισας τὸν ζῶντα θεόν". Πάλιν κελεύει ὁ τύραννος ὄρυγμα γενέσθαι μέγα, καὶ προστάττει βληθῆναι ἐν τῷ ὀρύγματι καὶ ἐχίδνας καὶ κεράστας καὶ κεντρίτας καὶ βασιλίσκους καὶ βουβάλους καὶ ἄλλων πλειόνων ἰοβόλων θηρίων πλῆθος, καὶ ἐκεῖ τὸν δίκαιον βληθῆναι ἐκέλευσεν. Ὁ δὲ ὅσιος ἐπίσκοπος Κυριακὸς γόνυ κλίνας ἔλεγεν οὕτως· "Κύριε Ἰησοῦ Χριστέ, ἐλθὲ καὶ ἴδε τὸν ἀγῶνα τοῦ σταδίου καὶ τῆς ἀνάγκης ταύτης, ὁ διασώσας τὸν δίκαιον Ἰωσὴφ ἐκ τοῦ λάκκου, ὁ τῇ σῇ δυνάμει ποιῶν ἠρεμεῖν τοὺς μεγάλους δράκοντας ἐν τοῖς φωλεοῖς αὐτῶν, ὁ συντρίψας τὰς κεφαλὰς αὐτῶν, ὁ τῷ προστάγματι κελεύσας τῷ δράκοντι μετὰ τοῦ γίγαντος πολεμῆσαι καὶ δάκνοντες ἀλλήλους ὑπὸ ἀλλήλων ἀνηλώθησαν. Καὶ νῦν, κύριε, ῥῦσαί με ἀπὸ τῶν ἰοβόλων θηρίων τούτων, ἵνα μὴ εἴπῃ ὁ τύραννος "*Ἴσχυσα πρὸς αὐτόν*". Τὰ δὲ θηρία ἀγγελικῇ δυνάμει ὕπνῳ κατεσχέθησαν, ὥστε τὸν δίκαιον ἀγαλλιῶντα λέγειν· "Νῦν ἔγνων, κύριε, ὅτι οὐ μακρὰν εἶ τῶν ἐπὶ σοὶ πεποιθότων. Εὐχαριστῶ σοι, κύριε, ὅτι οὐ μόνον περὶ ἑαυτοῦ ἐποίησας τὴν προφητείαν τοῦ μακαρίου Δαυίδ, ἀλλὰ καὶ

10 cod. μαγίαις. 14 πέπισμαι || οὐρανίῳ] cod. ουνω. 16 τύραννος] cod. τύννος. 17 προστάττι. 24 δάκοντας || φολαιοῖς. 27 ρυσεμαι. 28 ἦπει || ἴσχυσα πρὸς αὐτόν] Psalm. xii, 5 32 προφιτίαν.

ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ· *Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ καὶ καταπατήσεις λέοντα καὶ δράκοντα*".

11. Καὶ ταῦτα εἰπόντος τοῦ μακαρίου Κυριακοῦ, Ἰουλιανὸς ἐκέλευσεν βληθῆναι πῦρ ἐν τῷ λάκκῳ καὶ καταφαγεῖν τὰ θηρία, τὸν δὲ δίκαιον ἀναβιβάσας πάλιν ἐπειρᾶτο ἐπερωτᾶν. Ὁ δὲ τῶν ἐπαοιδῶν ἔξαρχος ὀνόματι Ἐδαλὼμ εἶπεν· " Ὦ βασιλεῦ, μεγάλης ἀνοίας ἐπλήσθης θέλων ἀποκτεῖναι τὸν ἄνδρα τοῦτον. Ἔδει σε νοῆσαι ἄνθρωπον ὄντα, ὅτι οὔτε τις τῶν θεῶν ἠδύνατο τοιαῦτα θαυμάσια ποιῆσαι. Ἴδε, πόσας τιμωρίας ὑπέστη καὶ οὐκ ἠδυνήθης τὸ γενναῖον αὐτοῦ τῆς ὑπομονῆς μεταβαλεῖν. Ἐπ' ἀληθείας μέγας ὁ θεὸς τῶν χριστιανῶν". Τότε ὁ τύραννος γνοὺς ὅτι καὶ αὐτὸς ἐκ ψυχῆς ἐπίστευσεν, ἐκέλευσεν αὐτὸν ἀποκεφαλισθῆναι· ὁ δὲ Ἀδελὼμ προθύμως ἐπὶ τὸν τόπον ἀπῆλθεν, λέγων· " Ὁ θεὸς Κυριακοῦ, δέξαι ἐν εἰρήνῃ τὴν ψυχήν μου". Καὶ ταῦτα εἰπὼν ἔτεινεν τὸν τράχηλον καὶ οὕτως ἐτελειώθη ὑπὸ τοῦ ξίφους.

12. Καὶ πάλιν λέγει Ἰουλιανὸς Κυριακῷ τῷ ἐπισκόπῳ· " Ἄρνησαί σου τὸν Χριστὸν καὶ ἀπολύω σε". Κυριακὸς εἶπεν· " Ὦ καρδία στρεβλὴ καὶ νόημα ἐσβεσμένον, πῶς δύναμαι ἀρνήσασθαι τὸν τοιαύτας μοι εὐεργεσίας χαρισάμενον"; Καὶ ταῦτα εἰπόντος αὐτοῦ, ἐκέλευσεν ὁ τύραννος λέβητα ἐλαίου πυρωθῆναι· πυρωθέντος δὲ τοῦ λέβητος, ὥστε μὴ φέρειν τὸν βρασμὸν τοὺς περιεστῶτας, κελεύει αὐτὸν βληθῆναι. Εἰσελθὼν δὲ ὁ δίκαιος ἐν τῷ λέβητι τοῖς παρεστῶσιν λέγει· " Δότε τόπον ἐντεῦθεν, τεκνία μου, μή τις ὑμῶν χωνευθῇ". Τότε ὁ δίκαιος τανύσας τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἔλεγεν· " Κύριε Ἰησοῦ Χριστέ, ὁ τὸν Ἰορδάνην καθαρίσας καὶ τὸν πρόδρομόν σου Ἰωάννην πνεύματι δυνάμεως σοφίσας, ὁ χαρισάμενός μοι τὸ λουτρὸν τῆς ἀφθαρσίας ἐν ὕδατι ζῶντι· νῦν δέ, κύριέ μου Ἰησοῦ Χριστέ, ἐν ἐλαίῳ βεβάπτισμαι. Λοιπὸν ἔχω τὸ τρίτον, τὸ διὰ τοῦ αἵματος τοῦ ξίφους τῆς μαρτυρίας τελείωμα, ὅπερ ἐξεδεχόμην ἐκ πολλοῦ χρόνου".

1 cod. ἐπισπίδα || επιβίση. 1/2 Psalm. xc, 13. 2 καταπατήσει. 5 ἀναβιβάσας] cod. ἀνάβασε. 6 ἐδαλὼμ sic codex, sed infra ἀδελώμ. 7 ἀποκτίναι || ἔδη. 9 εἶδε πῶσας. 10 μετὰβάλει. 12 ἀπὸ κεφαλλισθῆναι. 14 δέξε || ἔτινεν. 15 τράχιλον καὶ οὕτος ἐτελειώθει. 17 ἄρνησέ. 20 πυροθῆναι. 22 δεῖκαιος. 27 δυνάμεος. 29 βεβαπτιμαι. λυπὸν. 30 τελίωμα.

Τότε θυμωθεὶς ὁ τύραννος ἐκέλευσεν μακρῷ κοντῷ κρουσθῆναι αὐτὸν κατὰ τοῦ στήθους· ὁ δὲ κρουσθεὶς φωνὴν ἀφῆκεν, ἐπικαλεσάμενος τὸν ἑαυτοῦ εὐεργέτην Χριστόν, τάχιον αἰτούμενος ἀπαλλαγῆναι τοῦ ἀδίκου βίου τούτου καὶ τῆς τοῦ τυράννου κακίας. Καὶ οὕτως ἀγωνισάμενος τὸν καλὸν ἀγῶνα ἀνελήφθη ἐν δόξῃ ἡμέρᾳ Σαββάτῳ, ὥρᾳ ὀγδόῃ, μηνὶ Ὀκτωβρίῳ, εἰκάδι δευτέρᾳ, βασιλεύοντος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὧν τὰ τίμια σώματα κατ' ἀξίαν τῆς μαρτυρίας ἐκήδευσαν οἱ ἀδελφοί, οἱ ἐπὶ τὸν κύριον πεπιστευκότες· ὧν τὴν μνήμην ἐπιτελοῦντες, τῆς αὐτῆς μερίδος καταξιωθείημεν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

2 cod. κρουσθῆς. 3 τάχειον ἐτοῦμενος. 5 ἀγωνησάμενος. 6 σαββάτου || ὥρα ὀγδόηνὴ ἐβδόμω, εἰκάδι etc.

XI.

ΝΙΚΟΛΑΟΥ ΚΑΒΑΣΙΛΑ

ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΟΣΙΟΜΑΡΤΥΡΑ ΑΝΔΡΕΑΝ ΤΟΝ ΝΕΟΝ

ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΤΟΝ ΤΟΥ ΜΑΡΤΥΡΙΟΥ ΔΡΟΜΟΝ ΔΙΗΝΥΚΟΤΑ.

1. Ἐγὼ δέ σου (πῶς ἂν εἴποις;) ἐρῶν, ὦ Χριστοῦ μάρτυς Ἀνδρέα, καὶ τὰ σὰ (πῶς οἴει;) μάλιστα πάντων καὶ φιλῶν ἀεὶ καὶ θαυμάζων, καὶ τοῖς σοῖς ἔγνων ἐπιβαλεῖν ἐγκωμίοις καὶ πρὸς τοὺς ὑπὲρ σοῦ λόγους καθεῖναι ἐμαυτόν, ὁμοῦ μὲν οἷς ἔχω τὸν περὶ σέ μου τουτονὶ πόθον ἀποδιδούς, ὁμοῦ δὲ καὶ χαρίζεσθαι ἔχων τοῖς εἰς τὴν σὴν τελοῦσι χορείαν καὶ πρὸς τοὺς σοὺς ἐπαίνους σκιρτῶσι καὶ τὰ σὰ θαύματα· ἔπειθ' ὅτι καὶ δεινῶς ἄτοπον, εἰ τοσοῦτον λόγον ἔχων τῶν ἡμετέρων καὶ ἐν ἅπαντι τῷ χρείας ἱσταμένῳ γινόμενος ἡμῖν ἐν καιρῷ καὶ χεῖρα σῴζουσαν ὑπερίσχων. ἔπειτ' οὐ κομίσῃ παρ' ἡμῶν ἀντὶ τουτωνὶ τῶν μεγίστων ὅσα γε δυναμένων ἐστίν. Οὕτω μὲν οὖν ἡμῖν ὁ λόγος καὶ διὰ ταῦτα· σὺ δέ, θεία καὶ ἱερὰ κεφαλή, τήν τε ἄλλην δίδου τύχην καὶ χάριν καὶ τοῦ παρόντος ἔφαψαι λόγου· οὐ γὰρ ἔστιν, οὐκ ἔστιν, "οὐδ' εἴ μοι" κατὰ τὸν ποιητὴν "δέκα μὲν γλῶσσαι δέκα δὲ στόματ' εἶεν", τοὺς ὑπὲρ σοῦ λόγους μετὰ ῥᾳστώνης διενεγκεῖν, σοῦ, μέγιστ' ἀνθρώπων, μὴ συνεφαψαμένου τοῖς λόγοις. Οὐ γὰρ τὸ μὲν τῶν σῶν πρὸς ἔπαινον φέρει, τὸ δ' οὔ, οὐδὲ τὸ μὲν μᾶλλον, τὸ δ' ἧττον, ὡς ἐντεῦθεν ἧττον ἐργώδη τὴν εὐφημίαν εἶναι· ἀλλ' ὥσπερ εἰς ἀνάγκην δή τινα καταστὰς διὰ πάντων τὴν εὐδαι-

Cod. graec. Biblioth. Nation. Paris. 1213 (ancien fonds), s. XV, fol. 83b — 89b. Exscripsit vir cl. Henricus Lebègue.

μονίαν ἔχειν ἰοῦσαν, ὥσπερ δήπου συγκεκληρωμένης πᾶσι τοῖς σοῖς, οὕτω πάντα τὰ σὰ κατὰ πᾶν ἀπήντησε τὸ εἰκὸς καὶ σοὶ καθάπαξ προσήκει καὶ πᾶσαν ἐπαίνων ὑπερβολὴν ὑπερβαίνει.

2. Οὕτω διὰ πάντων νικᾷ· οὐ γὰρ τοιοῦτος μὲν οὗτος, οἷον ἅπαντες ἴσμεν, καὶ τῷ καλῶς ἑαυτὸν παρὰ πάντας... μεθ' ὑπερβολῆς ἐξεφάνη; τό γε μὴν εἰς πατέρας ἦκον ἑτέρων ἠττᾶτο; ἢ τούτων μὲν εὖ ἔχειν ἔσχε καὶ ὡς οὐκ οἶδ' εἴ τις τῶν πάντων, ἡ δέ γε πατρὶς ἐκείνῳ φαύλη τις ἦν καὶ μὴ τοιοῖσδε ἀνδράσι συμβαίνουσα; ἢ ταῦτα μὲν καλῶς καὶ ὡς προσῆκεν ἐκείνῳ, τἄλλα δ' εἰς ἔλαττον φέρει καὶ οὐ τῆς αὐτῆς ἐστιν εὐφημίας αὐτῷ; Ἀλλὰ πάντα καθάπαξ τὰ ἐκείνου ἐκείνῳ τε καὶ ἀλλήλοις προσῆκεν, ὡς εἶναι πάντα τῶν ἴσων καὶ τοῦ αὐτοῦ φασι γυμνασίου· καὶ ἵνα τἄλλα πάντα παρῶ, ὅσα τε εἰς πατρίδα φέρει καὶ προγόνους καὶ ἔθνη (εἰ γὰρ καὶ τῶν ἐν ὀφθαλμοῖς τρόπον τινὰ ὄντων μνησθῆναι βραχέα γένοιτο, καὶ τούτων ὅσα γε πρὸς τὸν παρόντα τείνει λόγον, ἀγαπήσειν ἂν τοὺς αἰτίους ἐκείνῳ τῆς εἰς τὸν βίον προόδου), τίς οὐκ ἂν ἀγασθείη ἐκείνοις τοίνυν, πλούτῳ καὶ δόξῃ καὶ τῷ γένους εὖ ἔχειν φιλοτιμεῖσθαι περιττῶς ἔχουσιν οὐχ ἧττον, εἰ μὴ καὶ μᾶλλον τῆς ἐν τούτοις φιλοτιμίας; καὶ ἡ ἐπ' ἀρετῇ καὶ τρόποις χρηστοῖς περὶ κυρίου* καὶ δόξα γὰρ ἐκείνοις καὶ πλοῦτος καὶ τὸ συγκεχωρηκέναι τῆς τύχης λόγου τινὸς ἄξια κατεφαίνετο οὐκ ἐφ' ᾧ κατεπαίρεσθαι τῶν ἡττόνων καὶ τῆς ἐλασσουμένης μερίδος, ἀλλ' ἐφ' ᾧ μὲν τοῖς ἀτυχοῦσι χεῖρα ὀρέγειν καὶ ὅσα γε ἦν ξυναμένοις ἐπικουφίζειν καὶ παραμυθεῖσθαι σφίσι τὰ δυσχερῆ, διαθρύπτειν δὲ πεινῶσιν ἄρτον καὶ πτωχὸν κατὰ τὸν ψαλμῳδὸν ἐλεεῖν, κἀντεῦθεν ὑπόχρεων ἑαυτοῖς καθιστάναι τὸν τῶν ὅλων θεόν. Οὕτω τοίνυν ἀρετῆς καὶ τρόπων χρηστῶν ἐσχηκότι καὶ τοῦτ' ἐξ ἀνάγκης ἀπήντα, τυγχάνειν μὲν εἰσάπαν εὐμενοῦς τοῦ θεοῦ, πάντων δ' εἰς πεῖραν ἥκειν εὖ μάλα τῶν κατὰ τὸν βίον βελτίστων καὶ διὰ πάντων εἰς εὐδαιμονοῦντας τελεῖν. Ταῦτ' ἄρα κἀν ταῖς γοναῖς εὐδοκιμηκέναι τοσοῦτον καὶ καταλλήλων πᾶσιν οἷς εἶχον ἀγαθοῖς καὶ τούτων τυχεῖν ὑπῆρξε σφίσιν· ὑπὲρ οὗς ἄν τις

β α
1 cod. τοῖς σοῖς πᾶσι. 5 in cod. nulla est lacuna. 13 ἔθνει. 20 περικυρίου. καὶ δόξα. 22 ἐφῶ hic et infra. 25 ψαλμῳδὸν] cf. Prov. xxii, 9. 28 cod. ἐξανάγκης.

καὶ φαίη καὶ πατέρας γενέσθαι παιδός, οἷον ἐγὼ οὐδένα οὐ πώποτε εἶδον, ὡς θαυμασθῆναι μὲν ὑφ' ἁπάντων διὰ τὴν ἐν πᾶσιν ἀγαθοῖς εὐκληρίαν, θαυμασθῆναι δὲ οὐδὲν ἧττον διὰ τὸν παῖδα.

3. Καίτοι τί λέγω; τοσοῦτον γὰρ αὐτοῖς ἐκ τοῦ παιδὸς τὰ τῶν ἐπαίνων ἐπέδωκεν, ὡς θαυμαστούς τινας οἴκοθεν ὄντας καὶ τὰ βέλτιστα πᾶσι καὶ δοκοῦντας καὶ ὄντας ἀναφανέντας πολλῷ θαυμαστοτέρους ἐντεῦθεν φανῆναι καὶ μείζω δεχομένους ἔπαινον· οὐ γὰρ εἰς κενὴν οἴδε δόξαν Ἀνδρέας κατὰ τοὺς ἄλλους, οὐδ' ἠσπάσατο πλοῦτον τὸν ἄπιστον καὶ δραπέτην, οὐδ' ἄλλων ἔσχε λόγον οὐδένα τῶν ὅσα τοὺς προστετηκότας ἀπάγειν οἶδε θεοῦ· ἀλλ' ἐκείνοις μόνοις διὰ βίου παντὸς προσεῖχε τὸν νοῦν, ὅσα τοὺς κατορθοῦντας κοινωνοὺς οἶδε παρασκευάζειν τῶν Ὀλύμπου πραγμάτων καὶ θεῷ συνιστάναι καὶ τοῖς ἀΰλοις καὶ οὐρανίοις ἐξ ἐφαμίλλου χωρεῖν. Ἀλλὰ μήπω ταῦτα· ἀλλ' ἃ γ' εὐθὺς ἐκ πρώτης ὡς εἰπεῖν τῆς τριχὸς καὶ προοιμίων αὐτῶν κατώρθου, τίνι χρὴ προσθεῖναι τῷ θαύματι; Πάντα μὲν οὖν εὐθὺς τἄλλα τοῖς ἄλλοις παρῆκεν, οἷς γε παῖδας ὄντας χαίρειν εἰκός· ἐκεῖνα δὲ μόν' ἀξιόχρεω σπουδῆς ἡγεῖτο, ἃ καὶ ἀνθρώπῳ μάλα πρὸς τρόπου καὶ κεχαρισμένα θεῷ, καὶ ἃ γε μόνα πρὸς ἀρετὴν φέρει καὶ ἡθῶν εὐκοσμίαν, μείζων μὲν ἁπάσης ὁμηλικίης κατὰ τὸν ποιητήν, μείζων δὲ προσέτι καὶ ἑαυτοῦ τοῖς ὅλοις φαινόμενος, καὶ τῶν μὲν καθάπαξ ἐν πᾶσι κρατῶν, τοῖς δέ γ' ἐν τοῖς ἐπιλόγοις οὖσιν ἤδη τοῦ βίου καὶ πολλὰ καμοῦσιν ἐπ' ἀρετῇ τῶν ἴσων ἀμφισβητῶν, καὶ καθάπαξ εἰπεῖν παράδειγμα καλοῦ παντὸς καὶ τύπος προκείμενος καὶ πρὸς αὐτὸν πείθων ὁρῶντας ὥσπερ εἰς ἀρχέτυπον ἀρετῆς, εὖ τιθέναι τὰ καθ' αὑτούς, καὶ τῇ τῶν τρόπων μουσικῇ πρὸς ἔκπληξιν πάντας ἐνάγων καὶ θαῦμα καὶ πείθων πολλοῦ τινος ἀξίαν ἡγεῖσθαι τὴν ἀρετὴν καὶ τοῦ γ' ὑπὲρ γῆν τε καὶ ὑπὸ γῆν χρυσοῦ περὶ πλείονος ἄγειν κατὰ τὸν Πλάτωνος λόγον.

4. Ταύτην τοίνυν οὗτος ὥσπερ σύνοικον ἑλόμενος ἑαυτῷ καὶ μηδὲν ἡγούμενος τῶν ἁπάντων τοῦ κατ' αὐτὴν πολιτεύειν οὔθ' ἥδιον οὔτ' ἀξιώτερον εἰς σπουδήν, πάντα μᾶλλον καὶ ποιεῖν καὶ πάσχειν ᾑρεῖτο, ἢ ταύτης καὶ μικρὸν ἀποστῆναι. Διὰ ταῦτα, τῶν

13 cod. ἐξεφαμίλλου. 20 ποιητὴν] cf. Il. N, 431. 21 cod. τοισόλοις || τῶν] apogr. σῶν. 29 cf. Plat. Leg. 5, p. 728 A. 33 apogr. ἀπεστῆναι.

γονέων γενομένων ἐξ ἀνθρώπων, εὐθὺς ἐκεῖνος οὐδὲν τῶν ἁπάντων ὑπολογισάμενος ὅλως, οὐ δόξης, οὐ δυναστείας ὄγκον, οὐ πατέρων οὐσίαν, οὐκ ἄλλο οὐδὲν τῶν τοιούτων, ἀλλὰ πάντα δεύτερα θέμενος τῆς ἀγάπης τοῦ δι' ἡμᾶς τυθέντος Χριστοῦ, καὶ τοῦτον πρὸ πάντων καὶ ἀντὶ πάντων ἑλόμενος καὶ τῆς ἐκείνου προνοίας τὰ τῆς σωτηρίας ἐξάψας πείσματα, τῆς πατρίδος εὐθὺς ὡς εἶχεν ἀπαναστὰς πρὸς τὸ Βυζάντιον ἦκει, ἐφ' ᾧ πάντων τῶν τοιούτων ἔξω γενόμενος ἔχει φιλοσοφεῖν τὰ γιγνόμενα, κἀνταῦθα τρίχα τε τέμνει καὶ πρὸς μονοτρόπους αὐτομολεῖ καὶ τἀκείνων διὰ πάντων τελεῖται. Καὶ τοίνυν πρῶτα μὲν τῶν γηΐνων πάντων παντάπασιν ἀποστὰς καὶ πατρίδος καὶ οἰκείων καὶ φίλων ἠλογηκώς, εἶτα καὶ ἑαυτὸν ἀπαρνεῖται καὶ τὸν σταυρὸν ἐπ' ὤμων αἴρει καὶ τῷ κυρίῳ ἀκολουθεῖ κατὰ τὰς θείας καὶ σεπτὰς ἐντολάς, τὸ σῶμα μὲν ὑπωπιάζων καὶ δουλαγωγῶν (κατὰ τὴν Παύλου φωνήν), τὴν δὲ ψυχὴν καθαίρων τε καὶ λεπτύνων καὶ πρός τε θεωρίας ἑτοίμως ἔχειν παρασκευάζων καὶ τὰ θεῖα πράγματα. Ἐντεῦθεν νηστείας καὶ ἀγρυπνίας καὶ τῶν ἄλλων ταυταισὶ συνημμένων ἐπὶ τοσοῦτον ἦκε καὶ οὕτω πάντας ἐν τούτοις μετὰ παντὸς τοῦ συγκεχωρηκότος ἐκράτησεν, ὡς μηδένα μὲν ἐπὶ γῆς σχεδὸν τὸν ἀμιλλώμενον ἴσχειν, πρὸς δὲ μόνους τοὺς ἀγγέλους ταυτηνὶ πεποιῆσθαι· οὐ γὰρ ἡ μὲν προθυμία μεγίστη τις ἦν καὶ τὸ βούλεσθαι, ἥ γε μὴν τοῦ κατὰ φύσιν ἀνάγκη παρῃρεῖτο τῆς θαυμασίας ἐκείνης τοῦ μεγάλου σπουδῆς, ἀλλ' οὕτως ἐκεῖνος ἐν τούτοις εἶχε καὶ οὕτω μετεχείριζε τὰ τοιαῦτα, ὥσπερ ἢ μηδὲ τὴν ἀρχὴν ὄντος σώματος, ἢ ὄντος μέν, εἰς ἀνάγκην δὲ καταστάντος μὴ κατὰ φύσιν χωρεῖν, ἀλλὰ τῶν φυσικῶν καθάπαξ ἔξω γενόμενον τῶν τοῦ πνεύματος ἔχεσθαι.

5. Ἐντεῦθεν γυμνὸς μὲν τὸν πλεῖστον περιῆει χρόνον καὶ ἀνυπόδετος. οὐκ οἰκίαν ἔχων, οὐχ ὑπὸ στέγην ἀναπαυόμενος, ἵνα τοι κἀνταῦθα τὸν φίλον μιμήσηται Ἰησοῦν· ψύχει δὲ ἀέρος καὶ ἡλίου πυρὶ καὶ νιφάσιν οὐρανοῦ χειμῶνος ὥρᾳ ὥσπερ τις στερροτέρα φύσις ἀντεῖχεν, ἢ λήθην ἴσχων τῆς φύσεως. Πρῶτον μὲν οὖν σωφροσύνην, τὴν πλείστου ἀξίαν καὶ μετὰ τῶν ἀγγέλων τοὺς

4 apogr. τὰς ἀγάπας. 12/13 ἑαυτὸν—ἐντολάς]c f. Matth. xvi, 24. 14 Cor. 1, ix, 27. 19 cod. μὴ δένα. 24 μὴ δὲ hic et infra. 25 καταφύσιν. 29 ὑποστέγην. 31 ὥσπέρ τις.

ἀνθρώπους τιθεῖσαν, ὥσπερ τινὰ δημαγωγὸν ἐφίστησιν ἑαυτῷ, καὶ τῷ νῷ μὲν καὶ τοῖς πάθεσι διαιτᾷ, τίθεται δὲ τῷ νῷ καὶ τὴν κρείττω δίδωσι ψῆφον· καὶ τὰς μὲν αἰσθήσεις μὴ πόρρω τοῦ λογιζομένου πίπτειν παρασκευάζει καὶ ἀσφαλοῦς, ἀλλ' ὑπὸ σωφρονοῦντι πρῶτον ταττομένας τῷ λογισμῷ οὕτω τῷ γ' αἰσθάνεσθαι χρήσασθαι· τῷ δὲ νῷ τὴν ἀρχὴν ἀποδίδωσι καὶ τὸ κατὰ φύσιν χωρεῖν, ὡς πάντων ἀνῃρημένον τὸ κράτος πρότερον οὕτω χρῆσθαι τοῖς πράγμασιν. Ἐντεῦθεν σωφρονεῖ μὲν ὄψις, σωφρονεῖ δὲ ἀκοή, παιδαγωγεῖται δὲ πάντα τὰ αἰσθητήρια. Νόμος δὲ καὶ μέτρον τίθεται πᾶσι, μὴ πᾶσι προσβάλλειν, μηδὲ πάντων αἰσθάνεσθαι, ἵνα μὴ καὶ τῶν χειρόνων καὶ τῶν ἐξ ὧν ἡ ἀπώλεια, καὶ ἐντεῦθεν τὸ μὲν φρόνημα τοῦ πνεύματος ἀνυψοῖ, τὸ δὲ φρόνημα τῆς σαρκὸς ὥσπερ δοῦλον ὑποπίπτειν παρασκευάζει τῷ πνεύματι καὶ τοῦ πεφυκότος ἐκστὰν ἔπεσθαι τῷ λόγῳ πρὸς ὕψος ἄγοντι.

6. Καὶ μὴν οὕτω διὰ πάντων ἐληλακότι, καὶ ταπεινοφροσύνης τοσοῦτος λόγος ἐκείνῳ καὶ οὕτω καὶ αὕτη τῷ ἀνδρὶ περιῆν, ὡς πάντας μὲν τοὺς ἄλλους ἐν πᾶσι τοῖς ἄλλοις, ἐν δέ γε τούτῳ τῷ μέρει καὶ ἑαυτὸν παρελαύνειν· ὥσπερ γὰρ μηδὲν πράττων, ὧν γε πράττειν προσῆκεν, ἀλλὰ τοσοῦτον ἀπέχων τῶν ἐπαίρειν εἰδότων, ὅσον μετεῖχεν. Οὕτω συντετριμμένην καὶ τεταπεινωμένην τὴν καρδίαν ἔχων (κατὰ τὸν ψαλμῳδόν) ἀεὶ διετέλει, καὶ πενθῶν καὶ σκυθρωπάζων διῆγε ὥσπερ οἱ τῶν μεγίστων ἐγκλημάτων ὑπόχρεω, ὅς γε τὰ δέοντα καὶ εἰδὼς τοσοῦτον καὶ πράττων μάλιστα πάντων, ὡς καὶ μυρίοις ἄλλοις μελεδωνὸς σωτηρίας καταστῆναι δύνασθαι· ἔπειθ' ἑαυτὸν ἡγεῖτο μηδὲ τῶν οἰκείων προστατεῖν ἀξιόχρεων, ἀλλ' ὑφ' ἕτερον τάττειν ἔγνω καὶ τούτῳ μόνῳ τὰ τῆς σωτηρίας πιστεύειν. Τοσοῦτος ἦν ἐκείνῳ τοῦ μετρίου λόγος, καὶ οὕτω κἀν τούτῳ τὸ παρὰ πάντων ἔσχεν ἀφεστηκός· τό γε μὴν τῶν πρὸς ἀρετὴν καθηγησομένων ἑκάστοτε δεῖσθαι δοκεῖν, ὥσπερ τῶν γινομένων καθάπαξ ἀσύνετος ὢν καὶ τῶν κατ' ἀρετὴν ἱδρώτων ἢ τοῦ παντὸς ἢ τοῦ πλείονος ὑστερῶν, καὶ διὰ ταῦτα νῦν μὲν εἰς Μακεδονίαν, νῦν δ' εἰς Παλαιστίνην καταίρειν, νῦν δὲ τὰ Ἰε-

1 cod. ὥσπέρ τινα. 21 ψαλμῳδόν] cf. Psalm. L, 19.

ροσόλυμα καὶ τὰς ἐρήμους περιιέναι· ἀλλὰ ταῦτά γε ποίας οὐκ ἂν εἴη ταπεινοφροσύνης ἐναργῆ δείγματα;

7. Οὕτως οὐκ ἦν οὐδὲν τῶν βελτίστων, ὃ μὴ περιῆν τῷ ἀνδρί. Καὶ μὴν καὶ ἀγάπην τὴν μεγίστην ἴσμεν τῶν ἀρετῶν καὶ κεφάλαιον νόμου καὶ προφητῶν, καὶ οὕτω βελτίω τῶν ἄλλων καὶ τοῦ παντὸς θεῷ τιμωμένην, ὡς πάντα τἆλλα ὅσα τοῖς ἀνθρώποις παρὰ θεοῦ γίνεται, τὸ μηδὲν ὅλως εἶναι ταύτης ἀπούσης, εἴτε γλώσσας τινὰς φήσεις, εἴτε χαρίσματα ἰαμάτων, κατὰ τὸν θεῖον ἀπόστολον. Ταύτης δὲ εἰς δύο διαιρουμένης, εἴς τε θεὸν καὶ ἀνθρώπους, οὐκ ἂν ἔχοις εἰπεῖν ἐν ὁποτέρῳ τούτων μᾶλλον τῶν ἄλλων Ἀνδρέας κρατεῖ καὶ ᾧ μειζόνως ἐκλάμπει. Τοῖς μὲν οὖν ἀνθρώποις οὕτως ἐχρῆτο καὶ οὕτω τῶν ἰδίων τὰ τῶν ἄλλων περι πλείονος ἦγε καὶ τοῖς ὅλοις προὐτίθει, ὡς μὴ μόνον μηδενὶ διὰ βίου παντὸς εἰς ἔχθραν ἥκειν ποτέ, ἀλλὰ καὶ πάντας μονονοὺχ ὑπὲρ κεφαλῆς αἴροντα φαίνεσθαι, ὡς καὶ πάντας ἔχειν οὕτω φιλοῦντας καὶ οὕτω τῶν ἐκείνου πραγμάτων προκινδυνεύοντας καὶ πάντα δεύτερα τοῦ κατ' αὐτὸν τιθεμένους, ὡς ἡδέως ἂν ὑπὲρ τούτων καὶ τὴν ψυχὴν αὐτὴν ἐλέσθαι προέσθαι.

8. Ὁ δὲ τὰ πρὸς ἀνθρώπους τοιοῦτος καὶ τοῦτον ἴσχων τὸν τρόπον, πηλίκον δεῖ τοῦτον νομίζειν ἐν τοῖς θείοις αὐτοῖς; τίς μὲν οὖν τοσοῦτον ἠγαπήκει θεόν, ὥσθ' εἵνεκ' αὐτοῦ καὶ πατρίδα καὶ οἰκείους καὶ φίλους καὶ τοὺς γινομένους καθ' αἷμα καὶ πάντα περὶ ἐλάττονος θέσθαι, καὶ πρὸς ἄλλο μὲν μηδέν τι τῶν πάντων, πρὸς δ' ἐκεῖνον μόνον τὴν ἐπιθυμίαν ἑκάστοτε τείνειν, κἀκείνῳ μόνῳ καὶ ζῆν καὶ κινεῖσθαι καὶ εἶναι, τοῖς ἄλλοις πᾶσι χαίρειν εἰπόντα; Τό γε μὴν ὑπὲρ ἐκείνου πάντα πόνον αἱρεῖσθαι καὶ πάσης ἄγειν ἑορτῆς ἡδίω τὰ σκάμματα, καὶ πᾶσι μὲν ἐπιβάλλειν καὶ παρὰ πᾶν τό ἐξὸν, ἔπειτα μηδέν τι πράττειν ἡγεῖσθαι, ἢ πράττειν μέν, ἀλλὰ τῆς προθυμίας ἐλάττω, ἢ τῆς μὲν προθυμίας ἀξίως, τῶν πραγμάτων δὲ οὐκ ἀξίως, καὶ ταῦτα τοίνυν πῶς οὐ μεγίστου πόθου περὶ θεόν, ὡς γε ἐγὼ γινώσκω; Οὐ μὴν ἀλλ' εἰ καὶ τῆς τελεωτάτης ἀγάπης καὶ ἧς οὐκ ἄν τι μεῖζον εὕροι τις ἄν, ἀπόδειξις ἐναργὴς (κατὰ

3 περιῆν] cod. περὶ ἦν. 4 Καὶ μην—προφητῶν] cf. Matth. xxii, 37—40. 8 χαρίσματα ἰαμάτων] cf. Cor. 1, xii, 9-10.

τὸν θεῖον χρησμόν) τὸ καὶ ψυχῆς μηδένα λόγον ἴσχειν οἷ δεῖ τῶν φίλων προκινδυνεύειν, ἀλλὰ καὶ ταύτην ἑτοίμως ἔχειν προέσθαι ὑπὲρ τῶν ἐκείνοις λυσιτελούντων, ἧ που πρὸς αὐτὴν ἥκει τῆς ἀγάπης τὴν κορυφὴν ὁ ἀνήρ, οὕτω μὲν διὰ βίου παντὸς τῷ περὶ Χριστὸν ἔρωτι νεκρῶν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, οὕτω δὲ τελευτῶν καὶ τὴν ψυχὴν ὑπὲρ ἐκείνου θεὶς μετὰ πολλὰς μὲν βασάνους, πολλὰ δὲ τῆς ἀσκήσεως σκάμματα. Οὕτως ἐκεῖνος πρός τε θεὸν πρός τ' ἀνθρώπους εἶχε καὶ δι' ἑκατέρων τὸν τῆς τελείας ἀγάπης ὅρον ὡς ἀληθῶς βεβαιοῖ. Καίτοι, εἰ τὸ ταύτην μόνην ἀσκεῖν, ἑτέρωθεν δὲ μηδαμόθεν ἔχειν ἐγκαλλωπίζεσθαι, πολλοῦ τινος ἄξιον τὸ καὶ ταυτησὶ καὶ συμπάσης ἄλλης ἀρετῆς μεθ' ὑπερβολῆς ἐπ' ἔσχατα ἥκειν, πῶς οὐκ εἰκότως τῶν μεγίστων ἂν ἀξιοῖτο καὶ παρὰ πάντων ἐν τῷ τοῦ καλοῦ καὶ δικαίου λόγῳ σχοίη τὸ συγκεχωρηκός; Οὕτως, ὦ θεία καὶ ἱερὰ κεφαλή, διὰ πάντων τῶν βελτίστων καὶ παρὰ θεῷ καὶ ἀνθρώποις μεγάλων ἀξιουμένων πραγμάτων μετὰ πολλοῦ τοῦ μείζονος ἦκες καὶ κατὰ πάντων ἐν τούτοις τὸ κράτος εἴληφας.

9. Ἀλλὰ γὰρ καιρὸς ἤδη διεξιέναι τούς τε μεγίστους καὶ ὑπερφυεῖς τοῦ ἀνδρὸς ὑπὲρ εὐσεβείας ἀγῶνας καὶ τὴν διὰ μαρτυρίου καὶ αἵματος τελευτήν, καὶ δεῖξαι κἀνταῦθα μὴ μόνον πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ καὶ πρὸς ἀρχὰς καὶ πρὸς ἐξουσίας μετὰ πολλοῦ τοῦ περιόντος ἀγωνιζόμενον καὶ νικῶντα καὶ στεφανούμενον· ἁπάσης γὰρ γεώδους καὶ ὑλικῆς προσπαθείας παντάπασιν ἀποστάς, καὶ τὴν ψυχὴν ἀπειλικρινημένην καὶ καθαρὰν τῆς ἐντεῦθεν ἀχλύος παρασκευάσας τῷ μηδὲν ὅλως τῶν εἰς τοῦτο φερόντων ἔξω καταλιπεῖν ἑαυτοῦ καὶ τοῦ κατ' αὐτὸν βουλομένου, ἐπόθει καὶ τὴν ἀνάλυσιν καὶ τῷ καθαρῷ καθαρῶς συγγενέσθαι Χριστῷ. ἵν' ὥσπερ ἄρα τοῦ πάθους, οὕτω καὶ τῆς ἀναστάσεως καὶ τῆς δόξης κοινωνὸς αὐτῷ κατασταίη. Ποθοῦντι δὲ οὐκ εἰκὸς ἐδόκει τὴν ἐπομένην τῇ φύσει μοῖραν ἀποσκοπεῖν ὡς κατά τινα ξυντυχίαν καὶ τῆς τελευτῆς πεπειρᾶσθαι, ἀλλ' ὥσπερ παρὰ τὸν ἅπαντα χρόνον πάντα τἄλλα κατὰ Χριστὸν ἐποίει καὶ διὰ Χριστόν, καὶ πάντα κατὰ τὴν ἐκείνου γνώμην ἐδη-

1 χρησμόν] cf. Iohan. xv, 13. 5 νεκρῶν—γῆς] cf. Col. III, 5. 20 πρὸς αἷμα—ἐξουσίας] cf. Eph. VI, 12.

μαγώγει, καὶ νοῦν καὶ βίον καὶ πρᾶξιν καὶ γλῶσσαν καὶ αἴσθησιν, μέχρι καὶ σχήματος καὶ βαδιάματος, οὕτως ᾠήθει δεῖν ἐπαγαγεῖν καὶ τὴν τελευτήν, καὶ ὑπὲρ αὐτοῦ καὶ τοῦτο παθεῖν, ἵνα καὶ διὰ πάντων ἄριστος ᾖ, ἐκ κεφαλῆς εἰς πόδας τὸ γιγνόμενον σῴζων.

10. Δηλώσει δ' ὁ λόγος τοῖς περὶ τὴν Παλαιστίνην βαρβάροις εἰς τοσοῦτον ἀνοίας ἐληλακόσιν, ὡς θεὸν μὲν καταλιπεῖν τὸν ποιήσαντα καὶ τὸ φρονεῖν ἃ τούτου πέρι καὶ φρονεῖν καὶ λέγειν προσῆκεν, ἀνδρὶ δέ τινι κακοδαίμονι ὅσα καὶ μεγίστῳ νομοθέτῃ προσέχειν καὶ μετὰ Μωσέα τὸν πάνυ ὥσπερ τινὶ δευτεραγωνιστῇ τῶν νόμων "τῷ κάκιστ' ἀπολουμένῳ" κεχρῆσθαι, τὴν μὲν θείαν καὶ ὑπερφυᾶ τῆς τῶν ἀνθρώπων σωτηρίας οἰκονομίαν ἀθετοῦντι καθάπαξ, νόμους δέ τινας παρὰ τοὺς θείους νόμους τιθέντι, παθῶν αἰσχίστων συνηγόρους καὶ προστάτας ἐπιεικῶς. Τούτοις τοίνυν οὕτως ἔχουσι δυσχεράνας ὥσπερ ὁ μέγας, ἐκκλησιάζουσί ποτε καὶ θύουσιν ἐπιστάς, ἐπειδήπερ ἑώρα ἐὸν κακὸν ἀμφαγαπῶντας (κατὰ τὸ ἔπος) καὶ τὴν ἑαυτῶν ἐξώλειαν δι' ἡδονῆς ἐπισπεύδοντας, τοῦτο μὲν κατελεήσας ἐκείνους, τοῦτο δὲ καὶ τοῦ διὰ Χριστὸν ἐκχέαι τὸ αἷμα εἰς ἔρωτα (πῶς οἴει;) διάπυρον καταστάς, Χριστὸν μὲν ἀνακρύπτει ὡσεὶ θεοῦ υἱὸν ἐόντα, εἰς δὲ τὴν βαρβάρων ὑβρίζει θρησκείαν, τοὺς δὲ ἠπατημένους ἀποκαλεῖ, οὕτω μὲν τὴν τοῦ θεοῦ ὁδὸν τὴν εὐθεῖαν καταλιπόντας, οὕτω δὲ τὴν πρὸς ἀπώλειαν ἄγουσαν ἑλομένους, μηδ' ἡγουμένους Χριστὸν τὸν σταυρωθέντα θεόν, ὃν θεὸν ἡγεῖσθαι μάλιστ' ἐχρῆν καὶ τοῦ παντὸς τοῦδε δημιουργόν. Καὶ ὁ μὲν οὕτω δήπου τοῦ περὶ Χριστὸν πόθου τὸ πῦρ κατέχειν οὐκ ἔχων, καὶ λέγων ἅρα καὶ πράττων ἦν, τοῦτο μὲν ὑπὲρ αὐτοῦ θανατῶν, τοῦτο δὲ καὶ συναχθόμενος αὐτῷ τῆς παρὰ τῶν ἀσεβούντων ὕβρεως· ἐκείνῳ γὰρ κατὰ Παῦλον τὸ μὲν ζῆν ἐν Χριστῷ καὶ κατ' ἐκεῖνον δήπου καὶ δι' ἐκεῖνον, τὸ δὲ δι' αὐτὸν ἀποθανεῖν κέρδος τοῦ παντὸς τιμώμενον.

11. Τοῖς δὲ βαρβάροις ἐπὶ τοῖς λεχθεῖσι καὶ θαυμαστῇ παρρησίᾳ τοῦ ἀνδρὸς δέον ἐκπλήττεσθαι καὶ θαυμάζειν καὶ πείθεσθαι τὰ δέοντα καὶ συνεχομένῳ σφίσι καὶ συμβουλεύοντι, τοῖς δὲ ὀργι-

9 cod. ὥσπέρ τινι.
10 τῷ κάκιστ' ἀπολουμένῳ] Aristoph. Pac. v. 2.
15 ἔπος] Hesiodi Op. v. 58.
27 κατὰ Παῦλον] cf. Gal. II, 20.

σθεῖσιν (ἀσπίδες γὰρ ἦσαν, τοῦ κακούργου ὄφεως μαθηταί, τὰ ὦτα βύοντες καὶ μισοῦντες ἔλεγχον ἐν πύλαις, κατὰ τὸν ψαλμῳδόν), εἰς βασάνους ὁρᾶν ἐπῄει καὶ ὅπως ἂν τὸν ὑβρικότα ἀμύνοιντο. Δεσμὰ μὲν οὖν εὐθὺς τὸν μάρτυρα εἶχον καὶ κολαστήρια, χάριτας ὁμολογοῦντα θεῷ, καὶ σὰρξ μὲν διελύετο καὶ διασκεδαννυμένη τὸν ἀέρα ἐπλήρου, πολὺν ἐντιθεῖσα φόβον τοῖς τοῦ ἀέρος ἄρχουσιν, ἐρρύη δὲ ἀπὸ πηγῆς τὸ αἷμα, τὸ σῶμα τὸ θεῖον ἐκεῖνο ἐρυθρὸν ἀποφαῖνον καθάπαξ καὶ τῆς σαρκὸς ἐκλιπούσης ἀντὶ σαρκὸς γινόμενον· δήμιοι δὲ ἠτόνουν καὶ φανερῶς ἡττῶντο τῆς ἀνδρίας τοῦ μάρτυρος καὶ τῆς ὑπερφυοῦς καρτερίας. Ὁ δὲ ὥσπερ μηδενὸς εἰς πεῖραν ἥκων τῶν δυσχερῶν οὕτω διέκειτο, δεικνὺς διὰ τούτων, ὡς οὐδέν τι τῶν πάντων τοῦ περὶ Χριστὸν ἀποστήσει πόθου· ἀλλα κἂν τὰ πάντων δεινότατα ἀπειλῆται, κἂν ὁ Φαλάριδος ταῦρος, κἂν ὅ τι ἂν εἴποι τις, οὐδὲν μᾶλλον ὑφεῖναι πείθει τοῦ περὶ ταῦτα τόνου καὶ τῆς μεγίστης ὑπὲρ εὐσεβείας ἐνστάσεως. Καὶ ἑώρα μὲν σάρκας διαρρυείσας, ἄρθρα διαλυόμενα, αἷμα καταρρέον, ἀνασπωμένους ὄνυχας, καὶ ὁρῶν ὁ γεννάδας ὡς ἀληθῶς καὶ σιδήρου παντὸς στερρότερος, οὐδὲν ὁπωσοῦν πρὸς ταυτὶ τὰ δεινὰ δυσανασχετῶν, ὁ δὲ καὶ χάριτας εἰδέναι τοῖς ἐπενεγκοῦσι καθωμολόγει· καὶ χεῖρας φανερῶς αἴρων ὑπὲρ ἐκείνων καὶ τὰ βέλτιστα σφίσι συνευχόμενος ἐωρᾶτο κατὰ τὸν ποθούμενον Ἰησοῦν, ὃν εἰρηνικὸν ἦδει καὶ πρᾶον, εἰς εὐεργετοῦντας καὶ κακουργοῦντας τιθείς, μᾶλλον δὲ οὐδὲ κακουργοῦντας τούτους εἰδώς, ἀλλὰ τῶν μάλιστα πάντων ἐκείνῳ κεχαρισμένων προξένους ἡμείβετό τε τῶν παιδικῶν καὶ πρὸς ἀνάγκην τὰ εἰκότα ἀπεδίδου οὕτω μὲν μετανιστᾶσι τῶν κάτω καὶ ὧν ἀπαλλάξαι (πῶς δοκεῖς;) ἐκ πλείονος ἦρα, οὕτω δὲ πρὸς τὸν ποθούμενον Ἰησοῦν καὶ ὑπὲρ οὗ τὰ πάντα καὶ ἐποίει καὶ ἔπασχε παραπέμπουσι.

12. Καὶ ὁ μάρτυς μὲν οὕτω δήπου πάσης ἑορτῆς ἡδίους καὶ ποθεινοτέρας τὰς ὑπὲρ Χριστοῦ βασάνους ἡγεῖτο, καὶ οὕτως εἶχε πρὸς τὰ ὑπὲρ ἐκείνου δεινά, παντὸς ἀναξάρχου μᾶλλον ἐν τοῖς δυσχερέσι φιλοσοφῶν καὶ περὶ τὰ δεινὰ δήπου τὰ γιγνόμενα σῴζων

1/2 ἀσπίδες—βύοντες] cf. Psalm. LVII, 5. 2 μισοῦντες ἔλ. ἐν πύλαις] cf. Am. v, 10. 7 ἐρρύη Latyschew, apogr. εἰρήνη. 13 Φαλάριδος ταῦρος] cf. Apostolii cent. XVII, 78 (Corp. paroem. II, p. 706—707). 14 πείθει] cod. σθ̈ πει.

καὶ μάλα σαφῶς βεβαιῶν, ὡς μόνῳ τῷ Χριστῷ καὶ ἦν καὶ ἔζη καὶ ἐκινεῖτο· οἱ δ' ἀσεβοῦντες ἀπειρηκότες καθάπαξ, πάντα μὲν καὶ λέγοντες καὶ ποιοῦντες, ἀνύσαι δὲ μηδὲν ἔχοντες (πάντα γὰρ περὶ οὐδενὸς ἦν ἐκείνῳ τῆς εὐσεβείας ἀντεχομένῳ, καὶ ἀγαθῶν ἐπαγγελίαι καὶ βάσανοι), θάνατον καταψηφίζονται τοῦ ἀνδρός.

13. Τὸν μάρτυρα μὲν οὖν εἶχε τὸ δεσμωτήριον χαίροντα μὲν καὶ συγχαίροντα ἑαυτῷ τοῦ διὰ Χριστὸν παθεῖν καὶ ὅσον οὔπω τεθνήξεσθαι, χάριτας δὲ πολλὰς εἰδότα θεῷ τῆς καλῆς ταύτης ἕνεκα ψήφου καὶ διὰ πάντων ἐκείνῳ κεχαρισμένης· τοῖς δὲ φονῶσιν ἐκείνοις, ἵνα μηδεὶς ἔτι τῶν ἁπάντων εἰς τοῦτο τόλμης ἀφίκοιτο, μηδ' ἐξῇ μηδενὶ εἰς τὴν ἐκείνων ὑβρίζειν θρησκείαν, εἰκός γε ἐδόκει καὶ μάλα συμβαῖνον τοῖς πράγμασιν ἑαυτῶν πρῶτον ἁπάντων, τῶν κατὰ τὴν πόλιν ἀπὸ κοινοῦ γενομένων, τὸν ἄνδρα τὸν θάνατον ὑποσχεῖν, καὶ θεωμένων καὶ ἀκουόντων ἃ τε ἔδρασε καὶ ἦν τῆς τόλμης δίδωσι δίκην. Ἐπεὶ δὲ ἐκήρυττον μὲν ἐκεῖνοι, πάντες δὲ ἤδη παρῆσαν, καὶ ὅσοι τῶν ἡμετέρων καὶ ὅσοι τῶν ἔξωθεν, καὶ πλῆρες μὲν τὸ θεάτρον ἦν, "τετρήχει δ' ἀγορή, ὑπὸ δὲ στοναχίζετο γαῖα", εὐπρεπῆ δὲ ἤδη καὶ ξίφη καὶ χεῖρες δημίων ἦσαν, ἐπεὶ ταῦτα ἦν, ἐξήγετο τοῦ δεσμωτηρίου ὁ μάρτυς, ἡ τῆς Ἐκκλησίας ὑπόθεσις, ὥσπερ νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ, εἶπεν ἂν ὁ θεῖος Δαυίδ, μετὰ φωνῆς ἀγαλλιάσεως ᾄδων· "Σοὶ πρέπει ὕμνος, ὁ θεός, ἐν Σιών, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ"· μηδὲν φόβου σύμβολον ὑποφαίνων, ὥσπερ εἰς ἑορτὴν οὐχὶ πρὸς θάνατον ἥκων· ὅλος γὰρ ἐγεγόνει τῶν οὐρανίων καὶ Χριστὸν μόνον ἑώρα, Χριστῷ συνέχαιρε, ἐκείνου μόνου καὶ τῶν ἐκείνου καὶ πρὸ τῆς ἐκδημίας καταπολαύων. Οὕτως ὁ περὶ Χριστὸν ἔρως ὑπὲρ τὴν φύσιν αὐτὸν ἐτίθει καὶ τουτονὶ μόνον φαντάζεσθαι παρεσκεύασε

14. Καὶ μέσος μὲν γίνεται τοῦ θεάτρου, αἴρει δὲ χεῖρας ὁσίας εἰς οὐρανὸν καὶ τὸν θεὸν εἰς συμμαχίαν ἐξεκαλεῖτο, καὶ παρεῖναι ἐδεῖτο ἐφ' ᾧ τὸν ἀγῶνα θεῖναι ῥᾷστον ἀνύσαι. Καὶ ὁ μὲν παρῆν (πῶς γὰρ οὐκ ἔμελλε;), καὶ χάριτος πληροῖ τὸν ἀθλη-

10 cod. μη δεις. 17/18 τετρήχει—γαῖα] Il. B, 95. 21 Δαυίδ] Psalm. xviii. 6. 22/23 Psalm. lxiv, 2.

τὴν καὶ ἀλείφει πρὸς τὸν ἀγῶνα· ὁ δὲ τυχὼν εὖ μάλα τῶν ἐν ταῖς εὐχαῖς ποθουμένων, χάριτας καθωμολόγει θεῷ τῆς ταχίστης ταύτης ἐπικουρίας. Καὶ πρῶτα μὲν κατὰ τοῦ γλουτοῦ, εἶτα κατὰ τῆς γαστρὸς δέχεται τὴν πληγήν, καὶ τῶν ἔνδον εὐθὺς ἐκρυέντων ὁ γεννάδας ἐκεῖνος τοσοῦτον ἀπέσχε τοῦ καὶ ὀπωσοῦν τούτοις καταβεβληκέναι τὸ φρόνημα, ὥστε καὶ κόλπον μὲν ὑπέχει τοῖς ἐκρυεῖσι, χεῖ δὲ πάντα κατὰ τῆς κεφαλῆς, ὡς ἂν (οἶμαι) καὶ ὁ ἀθλητὴς ἄνωθεν καθαγιασθῇ καὶ ἣν εἶχεν ὑπεροψίαν τῶν σαρκικῶν πάντων ἀναφανῇ, καὶ ὡς οὐδὲν ἦν ἐκείνῳ πρὸς λόγον ἃ μέλει πᾶσιν, οἷς ὁ θεὸς ἡ κοιλία, τὸ πολίτευμα ἐν οὐρανοῖς ἐσχηκότι. Καὶ τὸ θέαμα πάντας εὐθὺς τοὺς ὁρῶντας, ὅσοι φημὶ τῆς καθ' ἡμᾶς ἦσαν φατρίας, πρὸς ἔκπληξιν ἐνῆγε καὶ θαῦμα, καὶ χαίρειν μὲν καὶ συγχαίρειν ἐκείνῳ ταυτησὶ τῆς φορᾶς, τὸν δὲ τῶν θαυμασίων ὑμνεῖν ὡς εἰκὸς θεόν, ὥστε γε καὶ κατὰ τὸν Δαυὶδ εὐλογεῖν καὶ πάντα τὰ ἐντὸς ἐκείνου τὸ ὄνομα τὸ ἅγιον τοῦ θεοῦ.

15. Οὕτως εἰς καρτερίας λόγον καινόν τι χρῆμα τὸ κατ' αὐτὸν ἀνεφάνη τῷ βίῳ. Εἶθ' ἑτέρα πάλιν πληγή, καὶ τὸ μὲν σῶμα πίπτει, φυσικαῖς εἶξαν ἀνάγκαις, εἰ καὶ μεῖζον τοῖς ὅλοις ἀνεφάνη τῶν φυσικῶν, διὰ πάντων καθάπαξ ὑπὲρ ταύτην γενόμενον. Εἶτα καὶ πυρὸς γίνεται ἔργον, καὶ προσάγεται τῷ θεῷ θυσία ζῶσα, ἁγία, εὐάρεστος, πάσης νομικῆς ἱερουργίας ἱερωτέρα. Τὴν δὲ ψυχὴν αἱ φίλαι χεῖρες εἶχον τοῦ Ἰησοῦ, πολλὰ ὑπὲρ ἐκείνου καὶ τῆς ἐκείνου δόξης καὶ ἀγάπης καμοῦσαν. Καὶ νῦν ἐκείνῳ συνοῦσα καὶ τῶν ἐκείνου χαρίτων ἀμέσως καταπολαύουσα καὶ ταῖς ἐκεῖθεν ἀκτῖσιν ὅλη φωτοειδὴς γεγονυῖα ἔστη καὶ τῶν πόνων καὶ τῆς ἐφέσεως, ἄνωθεν ἐποπτεύουσα τὰ ἡμέτερα καὶ τὰ βελτίω συνευχομένη.

16. Ἀλλ', ὦ θεία καὶ τριπόθητε κεφαλὴ καὶ μάλιστα πάντων τῇ μεγίστῃ καὶ φίλῃ κεχαρισμένος Τριάδι, ἅτε καὶ μάλιστα πάντων τὰ ταύτης περὶ πλείονος ἄγων τῶν ἄλλων· ὦ καὶ παρὰ τὸ εἰκὸς τῆς φύσεως τοῖς πόνοις ἐπιβαλὼν καὶ μείζω τῶν πόνων παρὰ θεοῦ δεδεγμένος τὰ γέρα· ὦ τῶν ἀσκητικῶν ἱδρώτων ὅρος

7 cod. ὡσὰν. 8 σαρκινῶν. 10 οἷς θεος—οὐρανοῖς] Phil. III, 19—20. 14 Δαυὶδ] Psalm. CII, 1. 18 cod. τοισόλοις. 20/21 προσάγεται—εὐάρεστος] cf. Rom. XII, 1.

καὶ τύπος πᾶσιν ἀναφανείς, ὦ τοῖς σαυτοῦ μέλεσι δοξάσας θεὸν καὶ ὑπὲρ αὐτοῦ τε αἷμα ἐκχέας καὶ νῦν μειζόνως ὑπ' αὐτοῦ δοξαζόμενος· ὦ διὰ πάντων ἄριστε σὺ καὶ ὑπὲρ τὰ εἰκότα θεοφιλής, ἄτ' οὐκ ἄλλο τι τῶν πάντων οὐδὲ τὴν ἐκ στεάτων θυσίαν, ἀλλ' ἑαυτὸν προσαγαγὼν τῷ παρηχότι θεῷ, πότερον τῶν σῶν ἄν τις ἀπολαβὼν ἐπαινέσαι, οὐχὶ τῆς ἀξίας ἐγγύς, ἀλλ' ὅσον μὴ τῶν εἰκότων παντάπασιν ἐκπεσεῖν, τὸν μέγιστον καὶ ὑπερφυᾶ καὶ τοῦ πεφυκότος ἔξω θαυμαστὸν κατὰ φιλοσοφίαν ἀγῶνα, ὃν εὐθὺς ἐκ παιδὸς εἵλου καὶ διὰ βίου παντὸς κατώρθωσας, ἢ τὴν μείζω καὶ θαυμασιωτέραν ὑπὲρ εὐσεβείας ἔνστασιν καὶ τοὺς ὑπερφυεῖς ἐκείνους ἀγῶνας καὶ τὴν διὰ μαρτυρίου καὶ αἵματος τελετήν, καὶ τὸ οὕτω διὰ πάντων ἐληλακότα καλὴν ἐπενεγκεῖν τὴν κορωνίδα καὶ μάλα προσήκουσαν, μᾶλλον δὲ καὶ μείζω πολλῷ, δευτέρων φασὶν ἀμεινόνων;

17. Ἀλλ' ἐν τούτοις μὲν οὖν, εἰ καὶ μὴ πολλούς, ἀλλ' οὖν παραπλησίους δή τινας σχοίης καὶ τῶν ἴσων ἀμφισβητοῦντας. Τὸ δ' οὕτω, μηδενὸς ὄντος τοῦ βιαζομένου, πρὸς τὸν ὑπὲρ εὐσεβείας θάνατον κεχωρηκέναι καὶ οὕτω πρὸς τὰς ἐπαγομένας βασάνους ἴσχειν ἀνδρείως, ὡς ὁρᾶν μᾶλλον ἢ πάσχειν ταῦτα δοκεῖν, καὶ οὕτω μὲν τῶν ἀσεβούντων, οὕτω δὲ καὶ τῶν τῆς φύσεως ἀναγκῶν εὖ μάλα περιγενέσθαι καὶ κρείττω τοῖς ὅλοις ἀναφανῆναι, τίνι τῶν πάντων οὕτω κατώρθωται καὶ οὕτως ὑπερφυῶς, ὥσθ' ἕνεκα τούτων παραβεβλῆσθαί σοι καὶ ὀπηοῦν; Τοὺς μὲν οὖν νέους ἐκείνους, οὓς ἡ κάμινος ἔσχεν, οὕτω γενναίως πρὸς τοὺς κρατοῦντας ἀντιστάντας καὶ τῶν πατρίων ἐπαινέσαιμι ἄν, καὶ λίαν εἰκότως· ἀλλ' οὔπω κατὰ ταὐτὰ τοῖς σοῖς, ὦ Χριστοῦ μάρτυς· πολλοῦ γε καὶ δεῖ. Εἴπερ ἐκεῖνοι μέν, εἰ καὶ τῇ περὶ τὸ θεῖον ἀγάπῃ πάντα πάσχειν ἑτοίμως εἶχον, ἀλλά γε πρὸς ἀνάγκην ἐπὶ ταύτην ἔπειθ' ἧκον τὴν καρτερίαν· οὐ γὰρ ἐξῆν ἄλλως αὐτοὺς εὐσεβεῖν, μὴ πεῖραν λαβόντας τῶν δυσχερῶν. Σὺ δ' ἑκὼν πρὸς τὸν ἀγῶνα χωρεῖς καὶ παρὸν εὐσεβοῦντα ἔξω τῶν δεινῶν παντάπασι καθεστάναι τῷ περὶ Χριστὸν πόθῳ τῷ τε περιόντι τῆς καρτερίας τὸ πῦρ μὲν ἐλέγχεις τῶν βασάνων, εἰ βούλει δὲ καὶ τῶν πειρασμῶν

14 δευτ. φ. ἀμεινόνων] cf. Plat. Leg. 4, p. 723D. 21 cod. τοισόλοις.

(ὃ μεῖζον τοῦ πυρὸς ἐκείνου καὶ πολλῷ χαλεπώτερον διενεγκεῖν), διασχὼν δὲ τὴν ὕλην θεὸν καθαρῶς ὁρᾷς, οὐκ ἐν εἰκόνι δήπου, καθάπερ ἐκεῖνοι. Τοσοῦτον τῶν σῶν κἀκείνων τὸ μέσον, καὶ οὕτω τῶν βελτίστων καὶ παρὰ πάντας ἐπ' εὐσεβείᾳ γνωρίμων καὶ τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσι μείζων ἀνεφάνης οἷς ἔφην.

18. Οὕτω τοίνυν διὰ πάντων ἐλάσας καὶ τὸν δρόμον ὡς οὐκ οἶδ' εἴ τις τελέσας, ὦ μέγα θαῦμα τῆς οἰκουμένης, νῦν καθαρῶς σύνει τῷ ἀγωνοθέτῃ θεῷ, καὶ τῆς ἐκεῖθεν ἐμφορούμενος αἴγλης μετὰ πολλοῦ τοῦ μείζονος τῶν πόνων ἀπολαμβάνεις τὰς ἀμοιβάς· οὗτος δέ σοι καὶ παρ' ἡμῶν ὁ λόγος ἀντ' ἄλλου τινὸς γέρως ἢ στεφάνου τῶν παρ' ἡμῖν, τῶν μὲν πραγμάτων καὶ τῆς προθυμίας, εὖ οἶδα, παραπολύ, τῆς δὲ δυνάμεως οὐκ ἐλάττων. Σὸν δ' ἂν εἴη καὶ τοῦ σοῦ πρὸς ἡμᾶς διακειμένου καὶ ἵλεω δοῦναι μὲν κἀπὶ τοῦ παρόντος ἀπολαῦσαι κατὰ τὸ ἔπος πάντων ὅσα γε θυμὸς ἀνώγει, καὶ τούτων ὅσα θεοφιλῆ καί σοι μάλα κεχαρισμένα, ἐπὶ δὲ τοῦ μέλλοντος βασιλείας οὐρανῶν καὶ τῶν μεγίστων καὶ ὑπερφυῶν ἐκείνων καὶ πᾶσαν αἴσθησιν ὑπερβαινόντων καινῶν, ὧν νῦν αὐτὸς ἀπολαύεις, ἵνα τῆς ἧς ἔλαχες δόξης παρὰ θεοῦ γενόμενος θεατὴς καὶ οἵ φέρεις τῆς περὶ αὐτὸν ἑταιρείας εὖ μάλα καταμαθὼν οὐχ ὁρίσωμαι τοὺς ὕμνους τῷ παρόντι μόνῳ βιοῦντι, ἀλλ' ἔχω τοι κἀνταῦθα τοῖς σοῖς ἐπιβάλλειν ἐπαίνοις μετά γε μείζονος πολλῷ τῆς παρασκευῆς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

6/7 δρόμον—τελέσας] cf. Tim. 2, iv, 7. 15 cod. καὶ σοι. 17 καινῶν Latyschew, apogr. καὶ νῦν.

XII.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΑΝΤΩΝΙΟΥ ΤΟΥ ΝΕΟΥ.

1. Ἀντώνιος ὁ μέγας, ὁ τῆς ἐρήμου πε(φ)ηνὼς διὰ θεοῦ πολιστὴς καὶ τῶν κατ' ἀρχὰς ἀπο(τ)ασ(σομέν)ων προτροπὴ χρηματίσας κ(αὶ θ)εῖος διδάσκαλος, ἐν τοῖς ⟨κατ⟩' ἐκεῖνο καιροῦ οἷά τις ⟨πλανή⟩της ἀνατείλας ἡμ(ῖν) πᾶσαν τὴν οἰκουμένην ταῖς τῶν οἰκείων ἀρετῶν κατεφαίδρυνε λάμψεσι καὶ τὸν σκότον τῶν παθῶν ἐξ ἀνθρώπων ἀπήλασεν· οὗπερ τῶν ἱερῶν τρόπων καὶ τῆς ἀγαθῆς προθέσεως πολλοὶ μὲν τ⟨ῶν ἀσκ⟩ητῶν γεγόνασι ⟨ζ⟩ηλωταί, λογικῶς ζῆν ⟨αἱρετισάμενοι⟩ καὶ τὸ κατ⟨ὰ σάρκ⟩α τηρῆσαι τῆς ἁμαρτ⟨ητικ⟩ῆς ἰλύος ἀ⟨νωτέρω⟩ τε ἀνεπίμικτον. Γεγνώρισται δὲ κἀν τοῖς ἡμετέροις χρόνοις ὁ τούτῳ φιλαλήθως εἰπεῖν συνωνυμήσας καλῶς καὶ τοὺς πόνους τῶν ἀρετῶν αὐτοῦ ἀξίως ἐκμιμησάμενος, ὁ μακαρίτης τῳόντι καὶ ἄλλος Ἀντώνιος, φρονήσει καὶ βί⟨ου⟩ πολιτείᾳ διαφερούσῃ, ἀνδρείᾳ τε καὶ τῇ πρὸς τὰ δεινὰ καρτερίᾳ, ἀλλὰ γὰρ καὶ ταῖς τῶν θαυμάτων χάρισι καὶ προρρήσεων αἴγλῃ τῷ ὁμωνύμῳ σαφῶς ἐξομοιωθείς. Διὸ δὴ καί τινες τῶν ἡμετέρων πατέρων τὸν ἀγγελικὸν αὐτοῦ ὑπερθαυμάσαντες βίον. καὶ τοὺς τῶν ἀριστευμάτων καταπλαγέντες ἀγῶνας, ᾰσματικοῖς ἄνθεσι τὴν αὐτοῦ πανεύφημον κατεστέψαντο κεφαλήν, ⟨αἰών⟩ιον τῆς μνήμης αὐτοῦ ἐμπύρευμα τοῖς νῦν καὶ τοῖς μετέπειτα τοῦτό γε πατρικῶς ἀποθησαυρίσαντες. Ἀλλ' ἐπειδὴ τὸ τῆς ὑμετέρας ὁσιότητος περὶ τὸν δίκαιον

Cod. Vindobon. hist. gr. 31 (28), fol. 1a—17a (*P. Lambecii* Comment. de biblioth. Caes. liber VIII. Vindob. 1679, p. 301—302). Primum folium codicis corruptum. Exscripsit v. cl. Sophronius Eustratiades, diaconus ecclesiae graecae Vindobonensis.

7 ἡμ(ῖν) scripsi; cod. ἡμ///ς. 12 γεγνώρισται] sic codex.

φίλτρον οὐ μέχρι τούτου ἐδοκίμασεν εὖ ἔχειν εἰς εὐφημίαν τῶν αὐτῷ κατορθωθέντων. ἀλλὰ προσδεῖσθαι καὶ τῆς διὰ λόγου συγγραφῆς, ὡς ἂν μὴ ἀνιστόρητον μεῖναν τὸ τοσοῦτον ἀγαθὸν ζημίας οὐ τῆς τυχούσης γέ(νη)ται πρόξενον τοῖς περὶ τὰ καλὰ τῶν διηγημάτων προ(σεκτικῶς προσ)ερχομένοις, ἄξιον ἡγησάμην, εἰ καὶ ἀσθενή(ς εἰμι) ἐγὼ καὶ (τῶν) πρὸς ἀξίαν ἐν τοῖς τοιούτοις δεδυνημέ(νων ἔχω τὸ) τῆς ἀρετῆς ἐλλεῖπον καὶ τὸ τῆς γνώσεως οὐκ ἀπηρτισμένον, προτραπεὶς παρὰ τῆς ὑμετέρας θεοφιλίας, πατέρων ἄριστε καὶ τῆς κατὰ Χριστὸν ἀγάπης ἔμψυχον ἀπεικόνισμα Κλήμη, κατατολμῆσαι τῆς ὑποθέσεως ταῖς ὑμετέραις ὑπὲρ τούτου τεθάρρηκα προσευχαῖς. Γενήσεται γάρ, εὖ οἶδα, ἡ περὶ τοῦ θεοφόρου πατρὸς ἡμῶν διήγησις τοῖς μὲν θερμοῖς τὸν ζῆλον ἀρετῆς τε ἐπίδοσις καὶ πρὸς τὰ κρείττω καὶ τελεώτερα τοῖς εὐδρομεῖν ἐσπουδακόσιν ὡς θέμις ἀνάβασις, τοῖς δέ γε κατ' ἐμὲ ῥᾳθύμοις καὶ τὸν οὐ πάντῃ προσεκτικὸν ἀνηρημένοις βίον ἔκνηψίς πως καὶ οἷον διύπνισις τοῦ ἐν ἡμῖν λογιστικοῦ καὶ τῶν καθηκόντων τῷ ἐπαγγέλματι (εἰ μὴ ληρῶ) προτίμησις· οἶδεν γὰρ ὡς τὰ πολλὰ καὶ μνήμη ψιλὴ ἀνδρὸς ἐναρέτου πρὸς φιλοσοφίαν προτρέπειν τὸν εὐαισθήτως ἀκούοντα, καὶ ἀρετῶν ὑπομνηματισμὸς μίμησιν προξενεῖν ταῖς τῶν αἱρουμένων τὸ ἀγαθὸν ἀξιολόγοις ψυχαῖς. Ἵνα δὲ μὴ ἐπὶ πλέον τοῖς ἐπεισοδίοις ἐνδιατρίβοντες λόγοις τὰς φιλοθέους τῶν ἀκροατῶν ἀποκναίωμεν ἀκοάς, ἐπ' αὐτὴν καὶ δὴ τοῦ θεολήπτου αὐτοῦ βίου τὴν ἀπαρχὴν ἐλευσόμεθα, τὰς ἐξ ἀρχῆς καὶ μέχρι τέλους τοῦ θεσπεσίου πράξεις ἐν ἐπιτομῇ διηγούμενοι.

2. Ὁ μακαρίτης καὶ καθ' ἡμᾶς Ἀντώνιος γένος μὲν ἦν Παλαιστῖνος, εὐγενῶν τε γονέων υἱὸς Φωτεινοῦ καὶ Εἰρήνης προσαγορευομένων, πόλεως δὲ καλουμενης Φωσᾶτον, ἀπὸ δεκαοκτὼ σημείων τελούσης τῆς ἁγίας Σιὼν Ἱερουσαλήμ. Ἀλλ' ἐπειδὴ τοῦ παρ' ἡμῶν νῦν γεωργουμένου λογικοῦ παραδείσου ὑποβάθρα τις καὶ κρηπὶς ὑπόκειται στερεμνιωτάτη, καλὸν ἂν εἴη καὶ ὠφέλιμον τοῖς ἐντυγχάνουσι δι' ὀλίγων καὶ ταύτην περιγράψαι, ἐπεὶ καὶ τῆς περὶ Ἐλισσαιὲ τοῦ προφήτου συγγραφῆς ὁ Ἡλιοῦ προτέτακται βίος, καὶ οὗτός γε χρίστης ἐκείνου καὶ βεβαιωτὴς καὶ διδάσκαλος ὑπὸ τῆς θεοπνεύστου Γραφῆς ἀνηγόρευται. Οὕτως οὖν καὶ ἐνταῦθα παρὰ τῆς

θείας οἰκονομούμενον εὑρήσεις προνοίας, τῆς διηγήσεως τὸ τερπνὸν περιχαρῶς ἐπακούων.

3. Γέγονέ τις ἀρχιλῃστὴς ἐν τοῖς ὄρεσι τῆς Ἀνατολῆς, ἀνὴρ δυνατὸς ἰσχύι καὶ ἰσχυρὸς τοῖς ὀστέοις, χριστιανὸς τὴν θρησκείαν, εἰ καὶ μὴ τὰ Χριστοῦ τέως ἐφρόνει τε καὶ εἰργάζετο. Οὗτος ἔθος εἶχεν κατ' ἐνιαυτὸν ἀλλάσσειν τὸ λῃστρικὸν καὶ θηριῶδες ἦθός τε καὶ σχῆμα καὶ κατέρχεσθαι εἰς προσκύνησιν τῶν ἁγίων καὶ σεβασμίων τόπων τοῦ σωτῆρος ἡμῶν Χριστοῦ, ἐν οἷς τὴν κατὰ σάρκα δι' ἡμᾶς ὑπομείνας γέννησιν καὶ τὰ λοιπὰ ὅσα περὶ αὐτοῦ αἱ δέλτοι τῶν ἱερῶν περιέχουσιν Εὐαγγελίων, τὸ τῶν ἀνθρώπων γένος τῆς τοῦ διαβόλου ἐρρύσατο θεοπρεπῶς καταδυναστείας. Διατρίβοντος τοίνυν τοῦ λῃστοῦ ἐν τῇ Ἁγίᾳ Πόλει, ἦλθέν τις φήμη εἰς τὰ ὦτα αὐτοῦ, ὡς ὅτι ὁ πρωτοσύμβουλος Συρίας κέκτηται Αἰθίοπά τινα κορυδαλλοῦ μὲν εἰδεχθέστερον, ὑψηλὸν δὲ τῷ εἴδει καὶ ῥώμῃ φυσικῇ δυναστεύοντα, ὃν οὐδεὶς ἄχρι τότε τῶν προσβαλόντων αὐτῷ πρὸς γῆν κατακλῖναι ἠδυνήθη· ὃν καὶ εἰς τέρψιν ἑαυτοῦ πρὸς πάλην τοῖς βουλομένοις καθεὶς τὸν αὐτοῦ περιεσόμενον δώροις ὑπισχνεῖται ἀμείβεσθαι. Τούτου δὴ τοῦ Αἰθίοπος κρείττονα ἑαυτὸν δεῖξαι τοῖς πᾶσι βουλόμενος ὁ λῃσταρχος μηδὲν μελλήσας ἀπέρχεται πρὸς τὸν τῶν Σαρακηνῶν βούλαρχον, καὶ ἐμφανῆ ἑαυτὸν ποιήσας δι' ἣν αἰτίαν πάρεστιν, αἰτεῖται ἡμερῶν ἓξ διορίαν καὶ μόνον ὡς βούλεται ἀναπαύσασθαι· ὁ δὲ Συρίαρχος προθύμως παρέχει αὐτῷ καὶ οἰκίαν εὐμεγέθη τε καὶ περικαλλῆ καὶ ποικιλίαν βρωμάτων κατὰ τὴν αὐτοῦ ἔφεσιν, καὶ πᾶσαν ἁπλῶς σωματικὴν ὑπηρεσίαν. Καὶ τῇ ἑβδόμῃ ἡμέρᾳ γίνεται ἡ ἀμφοτέρων μάχη ἐπὶ δημοσίου θεάτρου, γυμνικὸν ἀναδεδεγμένων πρὸς ἀλλήλους τῶν ἀντιπάλων παγκράτιον. Ἐπιβαλόντες οὖν χεῖρας πρὸς συμπλοκὴν καὶ ἐπὶ ὥρας κονισάμενοι, καὶ μὴ δυνηθέντος τοῦ ἀρχιλῃστοῦ περιδράξασθαι αὐτοῦ διὰ τὸ ὀλισθηρὰς γενέσθαι τὰς σάρκας τοῦ Αἰθίοπος ἐκ τοῦ περιχυθέντος αὐτῷ ἱδρῶτος τῇ τάσει τῆς (κο)νί(σεως) τύψας αὐτὸν τῷ ἰδίῳ στέρνῳ κατὰ τὸ μεσαίτατον τοῦ θώρακος ἀπεώσατο πόρρω, καὶ κύψας πρὸς γῆν καὶ κόνιν ἁράμενος ταῖς χερσὶ συμπλέκεται τῷ ἀλαζόνι, καὶ τοῦτον χειρωσάμενος ἐπὶ γόνατα ἐπεῖχεν σφοδρότατα. Ὡς δὲ τοῦ δήμου αἱ βοαὶ προὔβαινον

14 cod. κορυδαλοῦ.

ἐλλιπῶς ἔχειν τὸ τοῦ λῃστοῦ κατὰ τοῦ Αἰθιόπου τρόπαιον, κρατήσας αὐτὸν δραστικώτερον ὕπτιον ἀνέτρεψεν. Τότε σὺν ἅλματι ἀποστὰς τοῦ πτωθέντος, κατὰ πρόσωπον ἔστη τοῦ Συριάρχου· ὁ δὲ τὴν ἧττα ὑποστὰς ἀπὸ αἰσχύνης ἔμεινεν ἐπὶ τοῦ τόπου τῷ σχήματι ᾧ ἐπεπτώκει, καὶ ἐπιτρεπόμενος ἀναστῆναι οὐδενὸς λόγον ἐποιεῖτο. Λέγει οὖν ὁ ὀλυμπιονίκης τῷ πρωτοσυμβούλῳ· " Τί κελεύεις ποιήσω αὐτῷ "; Ὁ δέ φησιν· " Ἐὰν δύνασαι, ἀπόκτεινον αὐτὸν ἄνευ συνεργίας ὀργανικῆς ". Εὐθέως οὖν ἐκεῖνος δραξάμενος τῇ λαιᾷ χειρὶ τοῦ πώγωνος αὐτοῦ καὶ τῇ ἑτέρᾳ μεγάλῃ δυνάμει πὺξ κατὰ κορυφῆς αὐτῷ παίσας, συνέθλασεν αὐτοῦ τὴν κεφαλήν· ὁ δὲ παραχρῆμα ἀπέδωκεν τὸ πνεῦμα. Καὶ οὕτω γε μετὰ ἐπάθλων καὶ δωρεῶν μεγίστων ὑπέστρεψεν ὁ ὁδοστάτης εἰς τὴν ἰδίαν πόλιν καὶ πάντα διένειμεν τοῖς χρείαν ἔχουσιν.

4. Εἰς ἑαυτὸν δὲ ἐλθὼν ἐκ θείας προνοίας τοῦ πάντας θέλοντος ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν Χριστοῦ τοῦ θεοῦ ἡμῶν, ἔλεγεν ἐν ἑαυτῷ· " Ἕως πότε, ταπεινὲ Ἰωάννη, ἐπιτέρπῃ τοῖς τῶν ὁμοειδῶν φόνοις; ἕως τίνος φοινίξεις τὰς ἑαυτοῦ χεῖρας τοῖς τῶν λογικῶν ἀδιακρίτως αἵμασιν; Πάντως καὶ σέ ποτε καταλήψεται ἡ τοῦ θανάτου ἀπαραίτητος ὥρα, καὶ οἴσει εἰς κριτήριον φοβερὸν καὶ ἀπαραλόγιστον, καὶ τότε ἐκτίσεις τὸν ἔσχατον κοδράντην ὑπὲρ ὧν ἠσέβησας εἰς θεὸν καὶ τοὺς αὐτοῦ νόμους ". Ταῦτα πρὸς ἑαυτὸν ἐν κατανύξει καρδίας ἀναλογισάμενος, μικρὰ φροντίσας ἢ οὐδὲν περὶ τῶν προσόντων αὐτῷ χρημάτων τε καὶ κτημάτων, χαίρειν τε πᾶσιν εἰπών, ἔρχεται εἰς τὴν λαύραν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ σημειοφόρου Σάβα καὶ ἀποτάσσεται ἐκεῖ. Δεξάμενος δὲ τὸ σχῆμα τῶν μοναχῶν καὶ ἐπιστάτην λαβὼν μέγαν τινὰ γέροντα καὶ διορατικώτατον εἰς τὸ καθηγεῖσθαι καὶ ἐκμανθάνειν ὑπ' αὐτοῦ τῆς ἀσκητικῆς παλαίστρας τὰ ἀνδραγαθήματα, τοσοῦτον ἑαυτὸν ἐπέδωκεν τῇ τε ὑπακοῇ τοῦ παιδοτριβοῦντος καὶ τῇ ἀσκήσει τοῦ σώματος, ὡς ὑπερβαλέσθαι τῆς κατὰ κόσμον αὐτοῦ σωματικῆς εὐανδρίας τὴν κατὰ πνεῦμα τῆς ψυχῆς ἐν ταῖς ἀρεταῖς ἀριστείαν.

5. Ἐν μιᾷ οὖν Κυριακῇ πάντων τῶν πατέρων κατὰ τὸ εἰωθὸς

1 cod. αἰθιόπου pro αἰθίοπος. 14 πάντας — ἐλθεῖν] cf. Tim. 1, II, 4. 15/16 cod. θέλοντας.

ἐν τῇ ἐκκλησίᾳ ὀψὲ Σαββάτων προελθόντων καὶ τὴν ὑμνῳδίαν τῷ θεῷ ἄχρι πρωΐας ἀναπεμπόντων, κατ' αὐτὴν τὴν νύκτα εἰσῆλθον τῇ λαύρᾳ Ἄραβες τὸν ἀριθμὸν ἕξ, καὶ τῇ κέλλῃ προσελθόντες τοῦ ἐπιστάτου αὐτοῦ, ἅπαντα τὰ ἐν αὐτῇ λαβόντες ἀπῴχοντο. Ἐλθὼν τοίνυν ὁ ἀββᾶς Ἰωάννης κατά τινα χρείαν πρῶτος εἰς τὸ κελλίον καὶ γνοὺς τὸ γεγονὸς κατέδραμεν ὀπίσω αὐτῶν, οἰόμενος καλῶς ποιεῖν, καὶ τούτους καταλαβών, " Στῆτε ", φησὶ βριαρᾷ τῇ φωνῇ καὶ καταπληκτικῷ ὄμματι· οἱ δὲ ἐπὶ τῷ λόγῳ τρομάσαντες ἔστησαν ἐννεοί, καὶ ὑποβαλὼν τοὺς πέντε χειροποιήτῳ δεσμῷ, ἐπειρᾶτο καὶ τῷ ἕκτῳ τοῦτο ποιῆσαι. Ὁ δὲ νομίσας ἰσχύειν πρὸς αὐτόν, ἰταμῶς ἀνθίστατο κατὰ πρόσωπον αὐτοῦ. Τότε κινηθεὶς ὁ Ἰωάννης καὶ δραξάμενος αὐτοῦ τὸν αὐχένα, ἔστρωσεν αὐτὸν ὕπτιον εἰς τὴν γῆν, καὶ κουφίσας λίθον μέγαν καὶ δυσβάστακτον τίθησιν ἐπὶ τοῦ στήθους αὐτοῦ, καὶ οὕτως ἐάσας αὐτὸν ἐπὶ τοῦ τόπου συνείλκυσε τοὺς λοιποὺς πεφορτωμένους καὶ ἤγαγεν εἰς τὴν λαύραν. Θεασάμενος δὲ τοὺς λῃστὰς ὁ τοῦ Ἰωάννου ἀββᾶς λέγει πρὸς αὐτόν· " Πάλιν τῆς ἀρχαίας λῃστείας ἐπελάβου· ὑποστρέψας δὴ θᾶττον ἆρον τὸν λίθον ἀπὸ τοῦ ἑτέρου αὐτῶν πρὶν ἀποθάνῃ, ἵνα μὴ ἐμπέσῃς εἰς τὸ τοῦ φονέως κρῖμα. Ἔασον αὐτοὺς ἀπελθεῖν μεθ' ὧν ἔλαβον ". Ταῦτα ἀκούσας ὁ Ἰωάννης καὶ ἐκπλαγεὶς ἐπὶ τῇ προγνώσει τοῦ ἁγίου, εἶπεν πρὸς αὐτόν· " Οὐκ ἤδειν ἕως τοῦ νῦν, ὅτι θεῷ δουλεύειν ἠξίωμαι, ἐπεὶ οὐκ ἂν τοῦτο πρᾶξαι προεθυμήθην. Ὅμως οὖν ἔχων τὰς ἁγίας εὐχάς σου, ἀρχὴν διορθώσεως βαλεῖν οὐ κατοκνήσω ".

6. Ὁ δὴ καὶ πεποίηκεν ὁ τῆς ἀρετῆς ἀθλητής· τοσοῦτον γὰρ ἐπέσχεν ἑαυτὸν εἰς ἀποχὴν βρώσεως, ὡς διὰ δύο καὶ τεσσάρων ἄρτου μεταλαμβάνειν μόνου καὶ ὀλίγου ὕδατος, ἐνίοτε δὲ καὶ πᾶσαν τὴν ἑβδομάδα ἄσιτος διατελεῖν. Τὰς δὲ τῆς ἁγίας Τεσσαρακοστῆς ἡμέρας μεσολαβῶν ἅπαξ ἐν αὐταῖς μετελάμβανε τροφῆς, καὶ τούτῳ τῷ τρόπῳ διῆξεν πάντα τὸν χρόνον τῆς ἐν τῇ λαύρᾳ αὐτοῦ διαγωγῆς, ὥστε ἐκ τῆς τοσαύτης αὐτοῦ πρὸς ἀρετὴν νεύσεως ὑπερακοντίσαι πάντας τοὺς αὐτόθι διαβιοῦντας, ἑξακοσίους ὄντας τὸν ἀριθμόν. Εἶχεν γὰρ ἐπιτηδειότητα πολλὴν εἰς ἀρετῆς

1 cod. ἐκκλισία. 6 γεγονωσ. 9 ἐνεοί. 13 μέγα. 14 συνήλκυσε.
17 δὴ] sic codex. 18 σονέως.

ἐπαύξησιν, διμοιραῖος ἀνὴρ ὑπάρχων, εὐμεγέθης τῷ πάχει καὶ δυνατὸς τῇ ἰσχύι, σακκομάχιν ἀεὶ φορῶν καὶ τούτῳ εἰς ἐπικάλυψιν μόνον σαρκὸς ἀρκούμενος. Φασὶ δὲ αὐτοῦ καὶ τὰ ἐντὸς τῶν βραχιόνων τοσοῦτον τῇ ἐγκρατείᾳ ὑπεκρεῦσαι, ὥστε τὴν δορὰν αὐτῶν δίκην βοείων μανδήλων ὑποκεχαλᾶσθαι, ὡς πληροῦσθαι καὶ ἐν αὐτῷ τὸ φάσκον λόγιον· " " Οπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις ".

7. Ἀμέλει δεκαετίαν συντελέσας ὁ τοῦ Χριστοῦ πύκτης Ἰωάννης ἐν τῇ λαύρᾳ τοῦ θεοφόρου Σάβα, καὶ εἰς μέτρον ἡλικίας πνευματικῆς τοῦ πληρώματος ἐφθακὼς τοῦ Χριστοῦ, καὶ τὴν πρώτην τάξιν τῶν ἐπαινουμένων κατειληφώς, λέγω δὴ τὸ παρ' ἑαυτοῦ τὰ δέοντα συνορᾶν, ὡς μηκέτι δεῖσθαι λοιπὸν τῆς δευτέρας ἅτε εἰσαγωγικῶν οὔσης, ἐπεὶ καὶ αὕτη τῆς πρώτης ἕνεκα, καὶ διὰ τοῦτο παρὰ πάντων ἀξιοχρέως τιμώμενος, φεύγων δι' ὑπερβολὴν ταπεινώσεως τὸ ὑπὸ πλειόνων καὶ τοιούτων δοξάζεσθαι, παρακαλεῖ μετ' εὐχῆς ἀπολυθῆναι καὶ τὴν ὄρειον μετελθεῖν διαγωγήν, ἵνα ἐν οἷς ἡττᾶσθαι ἠλέγχθη τόποις, μιαιφονίαις ἁλισκόμενος, ἐν αὐτοῖς καταβάλῃ ἐν Χριστῷ τὸν πτερνίσαντα αὐτὸν προφανῶς διάβολον καὶ στήσῃ καὶ αὐτὸς ἐν ἐρήμῳ τὸ κατ' αὐτοῦ τρόπαιον. Καὶ δὴ τῆς αἰτήσεως τυχὼν ἔρχεται, ὑπὸ θεοῦ ὁδηγούμενος, εἰς τὰ ὅρια τῆς πόλεως, τῆς καλουμένης Φωσᾶτον, καὶ ἀνελθὼν εἰς τὸ πλησίον ὄρος ἡσύχαζεν ἐν αὐτῷ μονώτατος. Φήμης δὲ περὶ αὐτοῦ πανταχοῦ διαδραμούσης, πολλοὶ τῶν πιστῶν ἀνήρχοντο πρὸς αὐτόν, φέροντες ἀσθενεῖς καὶ ὑπὸ πνευμάτων ἀκαθάρτων ὀχλουμένους, καὶ πάντας ἐθεράπευεν διὰ τῆς ἐνοικούσης αὐτῷ χάριτος τοῦ παναγίου πνεύματος καὶ τῶν ἀπαύστων αὐτοῦ προσευχῶν.

8. Ἦν δὲ καὶ προορατικὸς ὁ γέρων, ἁπλότητα ἤθους καὶ καθαρότητα καρδίας εἰς ἄκρον εὐμοιρηκώς. Τούτῳ ποτὲ παραβαλὼν Ἑβραῖός τις ἀπὸ Ὀμμάτων, λόγιος καὶ ἐπιστήμων τῶν νομικῶν δογμάτων, ἐπειρᾶτο λόγοις καταπλήττειν τὸ ἄπλαστον αὐτοῦ καὶ καθαρὸν τῆς γνώμης· ὁ δὲ ἅγιος προγνοὺς τῷ πνεύματι, ὅτι μέλλει πιστεύειν εἰς Χριστόν, λέγει πρὸς αὐτόν· " Ἐγὼ μὲν ἄνθρωπος γέγονα

2 cod. τοῦτο. 6 λόγιον] cf. Rom. v, 20. 11 cod. ἐπαιφουμένων. 12 ξυνσ η η
ρᾶν. 17/18 καταβάλλει. 19 στήσει.

ληστὴς καὶ ἁμαρτωλὸς πάνυ, πλὴν ὅτι χριστιανὸν οὐδέποτε ἐφόνευσα. εἰμὶ δὲ καὶ ἀμύητος τῶν θείων Γραφῶν, καὶ οὐ δύναμαί σοι ἀποκρίνασθαι πρὸς ἃ ἐπιζητεῖς· ὅπερ δέ σοι λέγω, μετὰ ἀληθείας ποιῶ. Ἐὰν ἕως τεσσαράκοντα ἡμερῶν προθεσμίαν οὐκ ἀναβλέψῃς, γίνομαι Ἑβραῖος· εἰ δὲ ἀναβλέψεις, ἵνα πιστεύσῃς εἰς Χριστόν". Τοῦ δὲ μετὰ χαρᾶς συνθεμένου, ὁ πατὴρ ἡμῶν Ἰωάννης ἐκράτησεν ἐκτενῆ δέησιν πρὸς τὸν θεὸν καὶ σκληραγωγίαν ἀκροτάτης νηστείας ὑπὲρ τούτου ἐν ταῖς ἡμέραις ταύταις ὑπὲρ τὰς πρότερον αὐτοῦ γεγενημένας πολιτείας· καὶ τῇ τεσσαρακοστῇ ἡμέρᾳ ὁ Ἑβραῖος ἐν τῷ ἰδίῳ κτήματι καθεζόμενος ἀθρόον ἀνέβλεψεν, καὶ ἤρξατο εὐλογεῖν καὶ δοξάζειν τὸν θεόν. Ἀναστὰς οὖν αὐτῇ τῇ ὥρᾳ παραλαμβάνει τήν τε σύμβιον ἑαυτοῦ καὶ πάντας τοὺς ὄντας μετ' αὐτοῦ, καὶ ἀνέρχεται πρὸς τὸν μέγαν Ἰωάννην, ἀνθομολογούμενος καὶ αἰνῶν τὸν θεὸν καὶ τὸ βάπτισμα ἐξαιτούμενος. Ὁ δὲ γέρων εὐχαριστήσας τῷ κυρίῳ, τῷ οἰκονομοῦντι πάντα πρὸς σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων, μεταπεμψάμενος ἕνα τῶν συνήθων αὐτοῦ πρεσβυτέρων, ἐκέλευσεν βαπτισθῆναι αὐτοὺς πάντας εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

9. Πρὸς τοῦτον τοιγαροῦν τὸν θεσπέσιον Ἰωάννην καὶ οἱ τοῦ μακαρίου πατρὸς ἡμῶν Ἀντωνίου γονεῖς συνεχέστερον φοιτῶντες καὶ τὰς ἁγίας αὐτοῦ εὐχὰς πιστῶς κομιζόμενοι παρεκάλεσαν αὐτόν, ὅπως ὁ υἱὸς αὐτῶν Ἰωάννης διακονῇ αὐτῷ. Ἐν τῷ οὖν συνεῖναι τῷ ἁγίῳ πατρὶ τὸν παῖδα Ἰωάννην, μιᾷ τῶν ἡμερῶν λέγει πρὸς αὐτὸν ὁ τοῦ θεοῦ δοῦλος· "Οἶδας, τέκνον, οὐ πρὸς χάριν λέγω· μέλλεις ἐξέρχεσθαι ἀπὸ τῶν ὁρίων Συρίας καὶ τὴν Ῥωμανίαν κατοικεῖν, καὶ δουλεύσεις τῷ κόσμῳ χρόνον ἱκανόν, καὶ ἄρξεις λαοῦ καὶ κρατήσεις πόλεων, καὶ τρόπαια στήσεις κατὰ τῶν ὑπεναντίων, καὶ μετὰ τοῦτο ἀποτάξῃ τοῖς τοῦ βίου πράγμασι καὶ λατρεύσεις τῷ Χριστῷ ἐν τῇ τῶν μοναχῶν πολιτείᾳ ἔτη τεσσαράκοντα, καὶ φθάσεις εἰς μέτρα τελειότητος ὑπὲρ ἐμέ". Ταῦτα ἀκούσας ὁ παῖς, κατελθὼν ἀνήγγειλεν τοῖς γονεῦσιν ἑαυτοῦ· οἱ δὲ πρὸς αὐτὸν εἶπον· "Εἰ μὴ ἀπεκαλύφθη αὐτῷ θεόθεν τὰ περὶ σοῦ, οὐκ ἂν ἐλάλησεν τοιαῦτα πρὸς σέ, τέκνον". Μετ' ὀλίγας

9 κτήματι] cod. κλήματι.

δὲ ἡμέρας πληγεὶς τὸ σκέλος ὁ Ἰωάννης ἐκ συμπτώματός τινος καιριώτατα ἐνόσησεν· καὶ θεωρεῖ καθ' ὕπνους ἐν μιᾷ ἐπαρθέντα ἑαυτὸν ὡς εἰς τὸν ἀέρα καὶ φῶς ἄπειρον περὶ τὸν τόπον τῆς θεωρίας, καὶ δύο ἄνδρας λευχειμονοῦντας, χρυσῆν τινα λεκάνην πλήρη ὕδατος μετὰ χεῖρας φέροντας, καὶ γυναῖκα ὑπερένδοξον πορφυροῖς ἱματίοις ἡμφιεσμένην, ἥτις καὶ ἄρασα τῇ χειρὶ ὕδωρ ἐπέχεεν τρίτον ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ οὕτως ἀπέστησαν ἀπ' αὐτοῦ. Ἔξυπνος δὲ γενόμενος ὁ παῖς εὗρεν ἑαυτὸν κομψότερον ἔχοντα καὶ τὴν ὀδύνην τῆς κεφαλῆς τε καὶ τοῦ ποδὸς εἰς φροῦδον χωρήσασαν. Διεβεβαιώσατο οὖν οὗτος ὁ ἀοίδιμος πατὴρ ἡμῶν Ἀντώνιος ἐν τοῖς τελευταίοις αὐτοῦ χρόνοις τῷ φοιτητῇ αὐτοῦ Ἰακώβῳ, ὅτι " Ἔκτοτε καὶ μέχρι τοῦ παρόντος οὐκ ἐπόνεσα τὴν κεφαλήν μου, πολλοῖς καὶ διαφόροις καύμασι προσπαλαίσας, οὔτε ἦλθέν μοι κεφαλαλγίας πόνος".

10. Ἀμέλει τῆς μητρὸς αὐτοῦ τελευτησάσης καὶ τοῦ πατρὸς εἰς δεύτερον συνοικέσιον ἐληλυθότος, ὁ Ἰωάννης τῆς μητρῴας κληρονομίας ἐγκρατὴς γενόμενος, παραλαβών τε τὸν ἴδιον ἀδελφὸν καὶ τὴν τούτου σύγγονον Θεοδούλην, σὺν ἑτέροις πλείοσι χριστιανοῖς διαλαθόντες τῶν αὐτόθι ἀποδιδράσκουσιν· καὶ ἐλθόντες εἰς τὸ θέμα τῶν Κιβυραιωτῶν κατεσκήνωσαν ἐν πόλει Ἀτταλείᾳ πρὸς θάλασσαν. Ἦν δὲ ὁ Ἰωάννης ἔφηβος, ὅτε τὰ Ῥωμαίων κατέλαβεν, τὴν ἡλικίαν ὑπὲρ τὸν χρόνον ἄγων, εὐμήκης τε καὶ ἀνδρειότατος τὴν ἕξιν πυφυκώς, καὶ φρόνιμος τῇ συνέσει, δυνάμενος ἐν τοῖς κατὰ τὸν βίον πρακτικοῖς διανοεῖσθαι ὀρθότατα καὶ τὸ συμφέρον εὐχερῶς πορίζεσθαι. Ἤδη δὲ τοῦ νεανίσκου τὸν χρόνον ἀνιόντος αὐτοῦ, κατέλαβεν ὁ στόλος μετὰ τοῦ ἑαυτῶν πατρικίου. Τῶν οὖν ἐξεχόντων τῆς πόλεως μετὰ τῆς ἐξ ἔθους καταστάσεως εἰς ἀπαντὴν ἐληλυθότων τοῦ ἄρχοντος, παρῆν σὺν αὐτοῖς καὶ ὁ Ἰωάννης ὑπερέχων τῶν πολλῶν τῷ ἀναστήματι καὶ ἀνδρικὴν ὄψιν προβεβλημένος. Ἀποβλέψας δὲ εἰς αὐτοὺς ὁ ἄρχων καὶ θεασάμενος τὸν Ἰωάννην, ἐκ πρώτης ὄψεως ἀρεστὸς ἐφάνη ἐν ὀφθαλμοῖς αὐτοῦ (δειναὶ γὰρ ἀνδρῶν ἐμφρόνων ψυχαὶ

αι
20 cod. κιβυρεωτῶν.

ἐκ τεκμηρίων ὄψεως τὸ μέλλον καταστοχάσασθαι), καὶ προσκαλεσάμενος λέγει αὐτῷ· "Πόθεν εἶ καὶ πῶς τὰ κατὰ σέ"; Καὶ μαθὼν παρ' αὐτοῦ τό τε γένος καὶ τὴν πατρίδα ἐκέλευσεν αὐτὸν ἐν τοῖς οἰκιακοῖς αὐτοῦ εἶναι καὶ αὐτῷ κατὰ πρόσωπον ἀδιασπάστως παρίστασθαι.

11. Ἐπὶ χρόνον οὖν ἱκανὸν λαβὼν αὐτοῦ πεῖραν ὁ τριήραρχος, καὶ γνοὺς ἐκ τῆς πολλῆς αὐτοῦ εὐδοκιμήσεως δυνατῶς ἔχειν αὐτὸν κρατῆσαι λαοῦ καὶ πόλεων (καθότι γέγραπται· "δεκτὸς βασιλεῖ ὑπηρέτης νοήμων, τῇ δὲ ἑαυτοῦ εὐστροφίᾳ ἀφαιρεῖται ἀτιμίαν"), ἀναφέρει τῷ βασιλεῖ Μιχαὴλ περὶ αὐτοῦ καὶ καθίσταται "ἐκ προσώπου" εἰς τὸ τῶν Κιβυραιωτῶν θέμα. Ταύτης τοιγαροῦν τῆς ἀρχῆς ἐγχειρισθεὶς τὰ πηδάλια, εἰς νοῦν λαμβάνει εὐθὺς τὸ τῆς παροιμίας λόγιον, τὸ φάσκον· "δικαιοσύνη ὑψοῖ ἔθνος, ἐλασσονοῦσι δὲ φυλὰς ἁμαρτίαι", καὶ γίνεται πρῶτος αὐτὸς τοῦ ἀγαθοῦ ποιητὴς καὶ διδάσκαλος, μὴ λαμβάνων πρόσωπον δυνάστου, μὴ ἐλεῶν πτωχὸν ἐν κρίσει. Ἐκτίθεται δὲ καὶ δόγμα, ὡς εἴ τις εὑρεθείη πόρνος, ἢ γυνὴ ἑταιριζομένη, τοῦτον συλλαμβάνεσθαι καὶ τὰ αὐτοῦ ἄγεσθαι πραιτωρίῳ· οὓς καὶ ἐμπίπτοντας, τῆς κόμης τῶν τριχῶν ἀποστερῶν, γελοίους ἀπέλυεν. Γέγονε δὲ καὶ φιλομόναχος τοσοῦτον, ὡς μηδέποτε τῆς τραπέζης αὐτοῦ ἀπολιμπάνεσθαι μοναχόν. Τὸν μέντοι τῆς ἁγνείας καιρὸν εἰς ἄκρον ἑαυτῷ περιποιούμενος, οὐ προσήκατο πώποτε γυναικὸς ἀσπασμὸν ἐν πάσῃ τῇ ζωῇ αὐτοῦ, ἀλλ' οὔτε ἀνδρός, ὥς φασι, τὸ καθόλου λαχνώσεως ἀμοιροῦντος. Φόβον δ' αὖ ὅτι πλεῖστον τοῖς ἀτάκτοις καὶ στασιώδεσιν ἐνθέσθαι βουλόμενος, πρὸς τὸ μὴ ῥᾳδίως τοῖς αὐτοῖς περιπίπτειν τοὺς ἁλισκομένους ἐγκλήμασιν, ἑτέροις τρόποις παιδείας μετερχόμενος εἰς ἐκκοπὴν ἁμαρτίας, τοῦ μαστίζειν διὰ φιλανθρωπίαν ἀπείχετο· ἕνα δὲ μόνον ὑπερβαλλόντως ἔνοχον κατ' ἐνιαυτὸν χαλεπῶς βουνευρίζων τοῦ ζῆν σχεδὸν ἀπήλλαττεν εἰς ἐκφόβησιν, ὡς εἴρηται, τῶν ὑπολοίπων.

12. Ἐχρημάτισε δὲ καὶ ἀνδρειότατος πολεμιστὴς καὶ θαυμαστὸς βουληφόρος· τοὺς γὰρ κατ' ἐκεῖνο καιροῦ τῷ ἀποστάτῃ καὶ λαοπλάνῳ προσφθαρέντας Θωμᾷ καὶ πᾶσαν τὴν οἰκουμένην (ὡς

8 Prov. xiv, 35. 13 Prov. xiv, 34. 21 Τὸν] cod. τὸ. 29 cod. κατενιαυτόν.

εἰπεῖν) ἀναστατώσαντος οὐ μόνον οὐ παρεδέξατο πρὸς φιλικὴν συναυλίαν, ἀλλὰ καὶ κατεδίωξε πολεμικῶς καὶ ἀνεῖλεν ἀντιπίπτοντας καὶ εἰς ἀφανισμὸν πεποίηκε, τοῦ θεοῦ κατευοδοῦντος αὐτῷ ἐν πᾶσι καὶ ὑποτάσσοντος τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ, διὰ τὰς αὐτοῦ εὐπραγίας καὶ τὴν πολλὴν πρὸς Χριστὸν εὐσέβειαν. Πρὸς γὰρ τοῖς εἰρημένοις αὐτοῦ τῆς ἀρετῆς πλεονεκτήμασι καὶ τοῦτο ἐποίει· πᾶσαν τὴν ἁγίαν καὶ μεγάλην Τεσσαρακοστὴν οὔτε ἄρτου μετελάμβανεν, οὔτε οἴνου, οὔτε ἄλλου τινὸς τῶν ἐδωδίμων, πλὴν τοῦ λεγομένου ῥουφίν, ὅπερ ποιῶν μετεῖχεν ἐξ αὐτοῦ ἓν ποτήριον καθ' ἑκάστην ἡμέραν. Εἶχεν δὲ ὁ εὐσεβὴς οὗτος πολιοῦχος καὶ ἐγκόλπιον. Τοῦτο παραθέμενος τῇ ἑαυτοῦ ἀδελφῇ, τὸν μονήρη βίον ἀσπαζομένῃ, λέγει αὐτῇ· "Τοῦτό σοι ἔστω σημεῖον· ἢ δ' ἂν ἡμέρᾳ λάβω αὐτό, ἀποτάσσομαι τῷ ματαίῳ βίῳ τούτῳ καὶ γίνομαι κἀγὼ μοναχός".

13. Ἐπεὶ δὲ τοῦ ἁλιτηρίου Θωμᾶ δίκην τίσαντος τῶν τολμηθέντων αὐτῷ εἰρήνευσεν ἡ καθ' ἡμᾶς οἰκουμένη, ἐδέησε τὸν ἐκ προσώπου Ἰωάννην ἀνελθεῖν ἐν Κωνσταντινουπόλει πρὸς τὸν αὐτοκράτορα Μιχαήλ. Ἐν τῷ οὖν ἔχεσθαι τῆς ὁδοῦ διεστείλατο τοῖς περὶ αὐτόν, ἵνα ἐρωτώμενοι παρὰ τῶν ὑποδεχομένων αὐτοὺς τὸ τίς ἂν εἴη, λέγωσιν ὅτι ἰατρός ἐστι τῶν πάνυ δοκίμων. Καταλύσαντες τοίνυν ἐν μιᾷ εἰς οἰκόν τινος εὐπορωτάτου ἀνδρός, ἐρωτηθέντες οἱ τῷ ἐκ προσώπου ὑπηρετούμενοι ἀπεκρίναντο ἰατρὸν αὐτὸν ὑπάρχειν εἰς πᾶν ὁτιοῦν χρησιμεύοντα τῶν ἐν τῷ βίῳ καλῶν. Λέγει πρὸς αὐτοὺς ὁ οἰκοδεσπότης· "Καὶ δύναται ποιῆσαι ἵνα τις τεκνογονήσῃ"; Οἱ δὲ εἶπον "Ναί, καὶ ἐν τούτῳ ἔστιν αὐτῷ μέθοδος, καὶ ποιεῖ τοῖς αὐτοῦ προσφιλεστάτοις". Περιχαρὴς οὖν γενόμενος ὁ ἀνήρ, ἑτοιμασάμενος δαψίλειαν βρωμάτων, ὑπεδέξατο αὐτοὺς μεγαλοψύχως. Καθεζομένων δὲ αὐτῶν ἐπὶ τῆς τραπέζης, λέγει ὁ ξενισθεὶς πρὸς τὸν ὑποδεξάμενον· "Ἰδοὺ ἡ τράπεζα ὑμῶν πλήθουσα τῶν τοῦ κόσμου ἀγαθῶν διὰ τοῦ θεοῦ, καὶ οἰκίαι καλαὶ καὶ μεγάλαι· ἀλλ' ὅμως τὸ ἐξαίρετον τοῖς πολλοῖς ἀγαθὸν οὐχ ὁρῶ ἐν ὑμῖν παρεῖναι". Τοῦ δὲ εἰπόντος "Καὶ τί ἂν θέλοι τοῦτο εἶναι"; ὁ ἄρχων Ἰωάννης ἀπεκρίνατο· "Οὐ πρόσεστιν ὑμῖν

13 cod. αὐτω. 20 cod. λέγουσιν. 21 ἐν] cod. ἔτι. 27 cod. δαψιλείαν.

παιδίον"; Λέγει πρὸς αὐτὸν ὁ οἰκοδεσπότης· "Οὐχί, κύριε. Ἰδοὺ εἴκοσι καὶ πέντε ἔτη συνοικῶ τῇ γυναικί μου ταύτῃ καὶ οὐκ ἔδωκεν ἡμῖν ὁ θεὸς καρπὸν κοιλίας διὰ τὰς ἁμαρτίας ἡμῶν". Ἔφη πρὸς αὐτοὺς πάλιν χαριέντως· "Καὶ ἐὰν γένηται τίποτε καὶ ποιήσετε παιδίον, τί μοι παρέξετε"; Ἀπεκρίθη ὁ ἀνήρ· "Τὸ τρίτον τῆς ὑποστάσεώς μου"· Ἔφη ὁ ἄρχων Ἰωάννης· "Οὐχί, ἀλλ' ἵνα χριθίσῃς μοι ἐπιμελῶς δέκα ἵππους πολεμιστάς". Ἐπὶ τῇ συμφωνίᾳ οὖν ταύτῃ λέγει τῷ οἰκοδεσπότῃ· "Ἐνεχθήτω μεμβράνη". Ἐπιζητήσαντες δὲ καὶ μὴ εὑρόντες, ἐποίησεν ἐνεχθῆναι τὸ ἅγιον Εὐαγγέλιον, καὶ ἀφελόμενος ἐκ τῶν ἐσχάτων φύλλων, διατμήξας συνέρραψεν τόμον, ὅσον ἐδύνατο διαζῶσαι τὸν φορέσαι μέλλοντα. Καὶ γράψας εἰς αὐτὸν εὐχὴν περιέχουσαν ἀναμνηστικῶς τὰς προσηγορίας τῆς τε Παλαιᾶς καὶ τῆς Νέας, τῶν εὐαρεστησάντων δικαίων, καὶ ἐπὶ τῷ τέλει αὐτῆς τῆς παναχράντου δεσποίνης ἡμῶν, τῆς ἁγίας Θεοτόκου, τὴν κυριώνυμον κλῆσιν, ἐπέτρεψεν αὐτοῖς λέγων· "Πλύνατε τὰ ἐγκοίτια ὑμῶν, λούσασθε δὲ καὶ αὐτοί, καὶ ἀποσμηξάμενοι παντοίως, περιζωσαμένη ἐπὶ σαρκὸς ἡ κυρία τὴν εὐλογίαν ταύτην οὕτως συναναπαύσεται τῇ σῇ εὐνίᾳ, καὶ πιστεύω τῷ θεῷ τῷ εὐλογήσαντι τοὺς πατέρας καὶ παρασχόντι αὐτοῖς τὴν χάριν τῆς παιδοποιίας, ὅτι ἔσται καὶ ὑμῖν κατὰ τὴν ἔφεσιν ὑμῶν". Τούτου οὖν γενομένου, συνέλαβεν ἡ γυνή, καὶ τοῦ καιροῦ τῆς κυήσεως πληρωθέντος ἔτεκεν υἱὸν καὶ ἐγένετο χαρὰ μεγάλη ἐν τῇ οἰκίᾳ τῆς φιλοχρίστου ἐκείνης συζυγίας, οἷα οὐ γέγονε πώποτε.

14. Ἀμέλει δεκαμηνιαῖον χρόνον διατρίψαντος ἐν Κωνσταντινουπόλει τοῦ ἐκ προσώπου Ἰωάννου, οἱ τὸν υἱὸν προνοίᾳ θεοῦ διὰ τῆς αὐτοῦ εὐχῆς κομισάμενοι, τὰς λεωφόρους φύλαξι καταδήσαντες, τὴν ἐπανάλυσιν τοῦ φίλου ἐξεδέχοντο· αὐτὸς δὲ ἀπολυθεὶς πρὸς τοῦ κρατοῦντος, ὡς ἐγγίσας τοῖς τόποις ἐκείνοις ἔμαθεν τὴν ἐνέδραν, ἐκστὰς τῆς εὐθείας δι' ἄλλης ἀπῄρχετο. Ὅπερ διαγνοὺς ὁ οἰκοδεσπότης, ἱππεῖς κατόπιν αὐτοῦ ἐξαπέστειλε, μὴ παρελθεῖν αὐτὸν ὅρκοις ἐκμειλισσόμενος, "ἀλλ' ἵνα καὶ τὸν υἱόν σου", φησί, "θεάσῃ καὶ τὰς ὑποσχεθείσας σοι ἀπολήψῃ δωρεάς". Ὁ δὲ κύριος Ἰωάννης ἀντεδήλωσεν αὐτῷ λέγων· "Ὁ μὲν κύριος κατὰ

14 τῷ] cod. τὸ. 17 cod. ἀποσμιξάμενοι. 18 εὐνίᾳ] cod. εὐνοία; cf. Suid. "εὐνια, τὰ, στρώματα". 29 ὅπερ] cod. ὥσπερ. 31 cod. ἐκμειλισόμενος.

τὴν πίστιν ὑμῶν δέδωκεν ὑμῖν σπέρμα εὐλογίας εἰς κατάσχεσιν προγονικῆς κληρονομίας καὶ γένους ἐξανάστασιν· ἐμὲ δὲ σπεύδοντα μὴ θελήσῃς ἐμποδίσαι, ἀλλ' ἐφοδιάσας εὐχαῖς διὰ τὸν κύριον ἔα πορεύεσθαι· τῶν μέντοι δέκα ἀλόγων τὰς τιμὰς τοῖς πενομένοις ἐπάρκεσον· εἰ γὰρ τοῦτο οὐ ποιήσετε, ἴστε ὡς ἄπαιδες τὸν βίον ἀπολιμπάνετε".

15. Ταῦτα εἰπὼν ᾤχετο τὴν ὁδὸν αὐτοῦ. Ἐγένετο δὲ ἐν τῷ αὐτὸν φόβῳ θεοῦ προσασχολεῖσθαι τοῖς τῆς κατ' αὐτὸν ἐξουσίας δημοσίοις πράγμασι τρεῖς κατὰ ταὐτὸ πολὺ βλέποντας, ἔξω τοῦ ἄστεος πορείαν ποιουμένους, ἀκοῦσαι φωνῆς ἄνωθεν λεγούσης πρὸς αὐτούς· "Πορευθέντες πρὸς τὸν ἄρχοντα Ἔχιμον εἴπατε αὐτῷ τὰ καὶ τά". Τῶν δὲ φησάντων, "Καὶ τίς εἶ ὁ ταῦτα ἡμῖν ἐντελλόμενος φάναι τῷ ἐκ προσώπου, μήποτε καὶ θλίψεσι παραδοθῶμεν ὑπ' αὐτοῦ διὰ τὴν σκυθρωπὴν ταύτην ἀγγελίαν"; ἔφη πρὸς αὐτούς· "Βλέψατε εἰς ἐμέ". Καὶ ἀναβλέψαντες εἶδον ἄνδρα λευχειμονοῦντα καὶ τὰ αὐτὰ προτρεπόμενον ποιῆσαι αὐτοὺς ἀνυποστόλως καὶ ἐκτὸς πάσης ἀναβολῆς. Οἱ δὲ πάλιν εἰς τὴν ἀρχαίαν πήρωσιν διατεθέντες, οὕτως ἀπῆλθον πρὸς τὸν ἄρχοντα Ἰωάννην. Αὐτὸς δὲ μαθών, ὅτι παρὰ πηρῶν προσαιτῶν ζητεῖται, ἐνόμισεν δι' ἔλεον τοῦτο αὐτοὺς πεποιηκέναι. Ὅθεν προσέταξε δοθῆναι αὐτοῖς δέκα μοδίους σίτου· οἱ δὲ ἐδήλωσαν αὐτῷ· "Ἡμεῖς οὐκ ἐπὶ τούτῳ ἤλθομεν πρὸς σέ, ἀλλ' ἵνα τὰ ῥηθέντα ἡμῖν ἀπαγγείλωμεν ἐνώπιόν σου". Ὁ δὲ Ἰωάννης ἔτι χρηματικώτερον αὐτοὺς ὑπονοήσας ἐνίστασθαι, ἐπέτρεψεν τεσσαράκοντα μοδίους λαβόντας ἀπελθεῖν· αὐτοὶ δὲ πάλιν ἐδήλωσαν αὐτῷ φάσκοντες· "Εἴπαμεν ὅτι οὐδὲν ζητοῦμεν παρὰ σοῦ, ἀλλ' ἅπερ ἡμῖν ὁ κύριος ἀπεκάλυψεν εἰπεῖν σοι παραγεγόναμεν". Τότε φοβηθεὶς ἐδέξατο αὐτούς, καὶ αὐτοὶ λέγουσι πρὸς αὐτὸν μετὰ παρρησίας· "Σὺ εἶ ὁ λεγόμενος Ἔχιμος"; Τοῦ δὲ κατανεύσαντος, λέγουσιν οἱ τυφλοί· "Ὤφθη ἡμῖν ἐν τῇ ὁδῷ ἀνὴρ λευχείμων, ἐν πολλῇ δόξῃ τυγχάνων, ὃς καὶ ἀπέστειλεν ἡμᾶς πρὸς σὲ λέγων· Ἀπελθόντες πρὸς τὸν ἄρχοντα Ἔχιμον εἴπατε αὐτῷ, ὅτι ὀργὴ ἔρχεται ἐφ' ὑμᾶς μετὰ τεσσαράκοντα ἡμέρας. Ποίησον οὖν πάν-

9 cod. κατατατὸ.

τας τοὺς ὑπὸ τὴν ἐξουσίαν σου τελοῦντας, ἐπισκόπους τε καὶ πρεσβυτέρους, μονάζοντάς τε καὶ μοναζούσας καὶ πάντα τὸν λαόν. Τετράδα καὶ Παρασκευὴν ἕως ὀψὲ νηστεύειν καὶ ποιεῖν δεήσεις πρὸς τὸν θεόν· καὶ σὺ δὲ αὐτὸς συγκοπίασον αὐτοῖς, εἴ πως σπλαγχνισθεὶς ὁ κύριος παραγάγῃ τὴν ἐπερχομένην ὑμῖν ἀπειλήν". Ταῦτα φήσαντες οἱ τυφλοὶ ἐπορεύθησαν τὴν ὁδὸν αὐτῶν, μηδὲν θελήσαντες λαβεῖν παρ' αὐτοῦ.

16. Δέχεται τὴν ἀγγελίαν ταύτην ὁ εὐσεβὴς δημαγωγὸς ὡς ἀπὸ στόματος ἀγγέλων θεοῦ, καίπερ τινῶν φασκόντων ὕθλοις γραῶν ἐοικέναι τὰ ῥήματα τῶν πηρῶν· πρὸς οὓς καὶ ἀντεφώνησε λέγων· " Ἀδελφοί, ἡμεῖς τὸ ἡμέτερον ποιήσωμεν, καὶ εἰ μὲν συμβαίη δέξασθαι ἡμᾶς τὴν ἀπειληθεῖσαν ποινήν, εὑρισκόμεθα ὡς πιστοὶ προφθάσαντες τὸ πρόσωπον τοῦ θεοῦ ἡμῶν ἐν ἐξομολογήσει καὶ μετανοίᾳ, κἂν ἀπὸ μέρους, καὶ ἴσως σπλαγχνισθήσεται ἐπὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ καὶ ἐλεήσει ἡμᾶς, ἐπεὶ καὶ γέγραπται· Ἐν ἀγαθοῖς δικαίων κατώρθωσε πόλις καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. Καὶ αὖθις· Ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις, στόμασι δὲ ἀσεβῶν κατασκαφήσεται. Εἰ δὲ καὶ μηδὲν ἀνιαρὸν ἀποβῇ, καὶ ὄντως τὸ ἐκ τῆς μετανοίας κέρδος ἐπ' ὠφελείᾳ γίνεται τῶν ἡμετέρων ψυχῶν. Δεῦτε οὖν προσκλαύσωμεν τῷ ἀγαθῷ κυρίῳ ἐν νηστείᾳ καὶ εὐχῇ, καθὼς ἐντέταλται ἡμῖν, καὶ παύσωμεν τὴν γλῶσσαν ἡμῶν ἀπὸ κακοῦ καὶ τὰ χείλη ἡμῶν, καὶ ποιήσει τὸ παρ' αὐτοῦ ἔλεος ἐπὶ τὸν λαὸν αὐτοῦ καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ' αὐτόν". Ταῦτα ἐντειλάμενος τοῖς ἐπισκόποις καὶ πάντα τῷ λαῷ, αὐτὸς σάκκον ἀμφιασάμενος καὶ τὴν τῆς Τεσσαρακοστῆς δίαιταν ἀναλαβών, ἐξελιπάρει τὸ θεῖον ὑπὲρ τῆς ἐμπιστευθείσης αὐτῷ πόλεως.

17. Ἐν τούτοις αὐτῶν διαβιούντων, τῇ τεσσαρακοστῇ ἡμέρᾳ ἐφάνη ἐν τῷ πελάγει ὥσπερ τι νέφος κατάπυκνον ἐπιπολάζον τῇ θαλάσσῃ ὁ τῶν Σαρακηνῶν στόλος· ὅνπερ θεασάμενος ὁ σκοπὸς ἀνήγγειλε τῷ ἄρχοντι· ὁ δὲ παραυτίκα διαναστάς, " Ἰδού ", φησίν,

5 cod. παραγάγει. 16/18 Prov. xi, 10—11. 17 cod. εὐθείων. 21/22 παύσωμεν—χείλη ἡμῶν] cf. Psalm. xxxiii, 14. 23/24 ἐπὶ τὸν λαὸν — ἐπ' αὐτόν] cf. Psalm. lxxxiv, 9. 29 cod. ἐπιπολάζων.

"ἀδελφοί, ἡ μηνυθεῖσα ἡμῖν παρὰ τοῦ θεοῦ ὀργή". Ἐκέλευσεν οὖν πάντας ἀνελθεῖν ἀσπιδοφόρους ἐπὶ τοῦ τείχους, οὐ μόνον ἄνδρας, ἀλλὰ καὶ γυναικῶν τὰς νεάνιδας, μεταμφιασαμένας εἰς ἀνδρικὸν σχῆμα πρὸς τὸ πολυοχλίαν φανῆναι τοῖς πολεμίοις. Ἐλθὼν δὲ καὶ αὐτὸς μετὰ τοῦ σάκκου, οὗπερ ἠμφίεστο, ἐν συντετριμμένῃ καρδίᾳ καὶ πνεύματι ταπεινώσεως ἔστη ἐπὶ μέρους τοῦ κατὰ πρόσωπον τῶν Ἀγαρηνῶν τείχους. Οἱ γοῦν ἀντίπαλοι ἄσσον τῆς γῆς τὰς τριήρεις ὁρμήσαντες, ἐξῆλθον ἀπ' αὐτῶν ἔχοντες ἱππεῖς ὁπλομάχους ἑξήκοντα καὶ πεζῶν πολεμιστῶν οὐκ εὐαρίθμητον πλῆθος. Ἐλθὼν δὲ ὁ τούτων ἀρχηγὸς ἔφιππος μετὰ τῶν ἰδίων ὑπασπιστῶν ἐπὶ τοῦ τόπου, οὗ ἑστήκει ὁ ἐκ προσώπου σακκοφορῶν, μὴ εἰδὼς ὅτι αὐτός ἐστι, λέγει πρὸς αὐτόν· "Ποῦ ἐστιν ὁ ἄρχων ὑμῶν Ἔχιμος"; Αὐτὸς δὲ πρὸς αὐτὸν ἀπεκρίνατο· "Τί γὰρ αὐτοῦ χρείαν ἔχεις"; Ὁ δὲ πάλιν πρὸς αὐτὸν "Θέλω" φησίν "ἐν πρώτοις αὐτῷ προσομιλῆσαι". Λέγει αὐτῷ ἐκεῖνος· "Πορεύομαι μηνύω αὐτῷ".

18. Ἀπελθὼν οὖν καὶ ἀποθέμενος τὸ τοῦ πένθους ἔνδυμα, καὶ τὴν ἀρχικὴν ἀμφιασάμενος περιβολήν, φέρων τε ἐπὶ κεφαλῆς τιάραν ἔνδοξον καὶ ῥάβδον ἐπὶ χεῖρα τὴν ὑπερειστικήν, ἐπιβαίνων τε ἐπὶ ξυλίνων, ἄνεισιν ἐπὶ τοῦ τείχους, καὶ προφθάσας αὐτὸς εἶπεν πρὸς τὸν πολέμιον τῇ Σύρᾳ φωνῇ· "Τίς ὁ παροδηγήσας τὴν σὴν ἐξουσίαν καὶ φρόνησιν, ἵνα ἔλθῃς πρὸς ἀνθρώπους ξένους τε καὶ παροίκους τῶν ὧδε τυγχάνοντας; Οἶδα ὅτι σήμερον πᾶσα ἡ Συρία ἄλλην μίαν τοιαύτην οὐ κέκτηται κεφαλήν, δυναστείᾳ καὶ συνέσει φρενῶν τῶν πολλῶν ὑπερβάλλουσαν· καὶ πῶς ἠθέλησας τοσοῦτον κόπον ἀναδέξασθαι ὑπὲρ μικρᾶς πολίχνης καὶ λαοῦ πτωχεύοντος, ὃν καὶ τὸ νικῆσαι οὐ μέγα τρόπαιον, καὶ τὸ ὑπ' αὐτοῦ δὲ ἡττηθῆναι μεγίστην αἰσχύνην προξενεῖ"; Ἔφη πρὸς αὐτὸν ἐκεῖνος· "Αὐτοὶ ἡμᾶς ἀναγκάζετε τοῦτο ποιεῖν, ἐξαποστέλλοντες πραιδευτὰς καὶ λῃζόμενοι πᾶσαν τὴν Συριακὴν παραθαλασσίαν". Πρὸς ὃν πάλιν ὁ ἐκ προσώπου ἀπεκρίνατο· "Ὁ μὲν βασιλεὺς τῶν Ῥωμαίων τοῖς ἑαυτοῦ ἄρχουσιν εἴ τι θέλει κελεύει καὶ γίνεται, καὶ στόλους ἐκπέμπει, καὶ στρατὸν ἐξοπλίζει

5/6 ἐν συντετριμμένῃ — ταπεινώσεως] cf. Dan. Th. III, 39. 13, cod. ἔχεμος.

πρὸς πόλεμον τῶν ἀντιτασσομένων τῇ αὐτοῦ βασιλείᾳ, κἂν θέλωμεν ἡμεῖς, κἂν μὴ θέλωμεν. Τοῦτο δέ σοι λέγω, ὅτι ἐὰν βουληθῇς ἀδικῆσαι τὴν εὐτελῆ ταύτην πόλιν καὶ τοὺς ἐν αὐτῇ ἐπιξενωμένους ἡμᾶς παραβλάψαι τὸ οἱονοῦν, ἰδοὺ ὁ θεὸς ἡμῶν, ὁ πάντα βλέπων καὶ δυνάμενος, ὃς οὐ μή σε ἐάσῃ τὴν Συρίαν ἔτι θεάσασθαι. Εἰ οὖν ἀκούεις τῆς ἐμῆς φωνῆς, ἐγὼ δώσω σοι δωρεὰς καὶ χάριτας, καθ' ὃ ἔχει ἡ χεὶρ ἡμῶν, ὑπὲρ ὧν κεκόπωσαι πρὸς ἡμᾶς, καὶ ἀπότρεχε ἐν εἰρήνῃ ὑγιαίνων· εἰ δὲ οὐ βούλει τοῦτο, παρατασσόμεθα ὑμῖν ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν, καὶ τὸ θέλημα αὐτοῦ γίνεται εἰς ἡμᾶς". Ταῦτα ἀκούσας ὁ βάρβαρος ἐπέσχεν τὸν λαὸν τοῦ βαλεῖν χάρακα ἐπὶ τὴν πόλιν, καὶ οὕτως ὁμηρευθέντες τῶν ἐκεῖθεν ὑπανεχώρησαν οἱ πολέμιοι.

19. Ἐν πᾶσι τούτοις τοῖς συμβεβηκόσι τῷ στρατηγέτῃ Ἰωάννῃ, ἐν ταῖς τοῦ βίου διαπλέοντι εὐπραγίαις ἢ δυστυχίαις, ἐπελάθετο τῆς τοῦ μεγάλου ἐρημίτου, λέγω δὴ τοῦ θεοφόρου Ἰωάννου, εἰς αὐτὸν γεγενημένης ἐκ θεοῦ προφητείας. Ὅθεν ἐπιμένειν ἔτι βουλομένῳ τοῖς κοσμικοῖς προτερήμασιν ὁ τῆς σαρκὸς αὐτῷ ἐπανίσταται πειρασμός, θηρίου δίκην τὴν ψυχὴν σπαράξαι φιλονεικῶν, καὶ ὁ πάλαι τοῖς ὑπὸ χεῖρα σωφροσύνης τε καὶ ἁγνείας συντεταχὼς ὅρους καὶ νόμους, αὐτὸς παραβάτης τούτων ὑπὸ τοῦ κοινοῦ πάντων ἐχθροῦ μανιωδῶς γενέσθαι ἐβιάζετο. Συνεχόμενος τοίνυν τοῖς ἐκτόποις λογισμοῖς τῆς σαρκικῆς ἐπιθυμίας ἔκρινε μᾶλλον νομίμως ἀγαγέσθαι ἑαυτῷ γυναῖκα κατὰ τὴν κελεύουσαν ἐντολὴν γαμεῖν νομίμως καὶ μὴ πυροῦσθαι, ἢ τοῖς τῆς πορνείας δικτύοις ἀφρόνως ἐμπλακῆναι καὶ γέλως γενέσθαι μετὰ τὸ εἰς θεὸν ἐξαμαρτάνειν· καὶ τοὺς ὑπὸ τὴν αὐτοῦ ἐξουσίαν ποιμαινομένους ἐπὶ τούτῳ συγκαλεῖται, τοὺς τῆς κόρης γονεῖς τε καὶ ἀγχιστεῖς, εὐγενεῖς ὄντας καὶ τῶν εὐπατριδῶν, πρὸς τὸ τὴν πανήγυριν διὰ συντόμου τῶν γάμων ἐπιτελέσαι· αὐτός τε τὴν παρετοιμασίαν σὺν τοῖς ἰδίοις καὶ φίλοις τῶν χρειῶν ποιούμενος, πρὸς τὴν γαμήλιον κατέσπευδεν ἑορτήν. Προσελθὼν δὲ καὶ τῇ ἀδελφῇ ἔλαβεν ἐξ αὐτῆς τὴν παραθήκην τοῦ ἐγκολπίου, ὅπερ σημεῖον ἔφησεν εἶναι τῆς αὐτοῦ ἀποταγῆς τῶν ἐγκοσμίων πραγμάτων.

3 cod. ἐπιξενομένους. 11 cod. ὁμειρευθέντες. 19 τοῖς] cod. τοὺς. 24 ἐντολὴν] cf. Cor. 1, VII, 9. 26/27 cod. τοῖς - - ποιμαινομένοις. 29 cod. διασυντόμου

20. Ἀλλ' ὁ τῶν προγνώσεων κύριος, ὁ πάντα προορίσας τὰ οὐκ ἐφ' ἡμῖν πρὶν γενέσεως ἀνθρώπων, ἐν τούτοις αὐτοῦ μεριμνῶντος καὶ τυρβαζομένου περὶ πολλά, ἀποκαλύπτει ἄνωθεν τῷ πανοσίῳ Ἰωάννῃ, καθημένῳ ἐν τῷ ὄρει τῆς Παλαιστίνης, τὰ μέλλοντα αὐτῷ συμβήσεσθαι ὕστερον· ὃς δὴ καὶ κινηθεὶς ἐν πνεύματι τῷ λαλοῦντι ἐν αὐτῷ, χαράσσει πρὸς αὐτὸν ἐπιστολήν, καὶ ταύτην ἐγχειρίσας μονάζοντι ἐκπέμπει διαβῆναι ἕως τοῦ ἄρχοντος Ἀτταλείας. Φθάσαντος δὲ τοῦ γραμματηφόρου ἐν ταῖς ἡμέραις ταύταις, μηνύεται τῷ ἐκ προσώπου ἡ τούτου παρουσία· ὁ δὲ κατὰ τὸ εἰωθὸς αὐτῷ μετὰ πολλῆς τοῦτον εἰσδεξάμενος τῆς εὐλαβείας, ἐρωτᾷ πόθεν τε ἥκει καὶ ὅτου χάριν πρὸς αὐτόν. Ἔφη οὖν ὁ μοναχός· " Ὁ ἀββᾶς Ἰωάννης ὁ ἀπὸ λῃστῶν με ἀπέστειλεν πρὸς σέ". Καὶ ἅμα τοῦ φάναι ταῦτα ἐκβαλὼν δίδωσιν αὐτῷ τὴν ἐπιστολήν· δεξάμενος δὲ τὸ γράμμα καὶ ἀναπτύξας εὑρίσκει κατ' ἀρχὰς γεγραμμένον οὕτως· " Ἐπελάθου τῶν λόγων μου, τέκνον, ὧν ἤκουσας παρὼν ἐν τοῖς τόποις τῆς πατρίδος σου. Εἰς λήθην ἦλθες τῶν λεγομένων σοι παρὰ τῆς ἐμῆς ταπεινώσεως· οὐκ οἶδας, ὅτι θνητὸς εἶ καὶ μετ' ὀλίγον ἀπολιμπάνεις τὸν βίον; Τί μάτην σπεύδεις καὶ κατεπείγῃ ἐν οἷς κεκράτησαι ματαιότητος πράγμασιν; Σὺ γυναικὸς κυριεῦσαι οὐ προώρισαι. Ὁ χρόνος δν εἶπόν σοι τῆς κοσμικῆς ἀρχῆς ἤδη πεπλήρωται. Δεῖ οὖν σε, δεῖ πάντως τῇ ὁδῷ τῶν μοναχῶν ἐντεῦθεν ἐπιβῆναι".

21. Ταῦτα ἀναφανδὸν οὕτω γεγραμμένα διαναγνοὺς ἐξαποστέλλει πάντας ἐκ προσώπου αὐτοῦ, καὶ συσχεθεὶς τοῖς δάκρυσιν ἐπὶ πολλὰς ὥρας, οὐκ ἦν ἀναχαιτισμὸς τῆς ἐπελθούσης αὐτῷ θείας κατανύξεως ἐκ τῶν τοῦ γέροντος προγνωστικῶν λόγων· ὅ τε γὰρ νοῦς αὐτοῦ εὐθύς, ὡς ἔλεγεν, ἠλλοιώθη ὅλως καὶ ἐξέστη τὴν καλὴν ἔκστασιν, ἀλλοίωσιν ὑποστὰς τὴν πρὸς τὰ κρείττω καὶ πνευματικὴν δηλαδή· ἡ δὲ καρδία αὐτοῦ τῆς ἀλόγου ἐκείνης καὶ σαρκικῆς ἀπηλλάγη ἐπιθυμίας, καὶ φῶς ἦν περὶ αὐτὴν φιλαγνείας ἐπισκιάζον. Τοίνυν ἀναπαύσας τὸν ἀδελφὸν τρεῖς ἡμέρας, ἐνέγκας χρυσὸν παρεῖχεν αὐτῷ εἰς διάδοσιν τῶν κατὰ τὴν Ἀνατολὴν πτωχευόντων χριστιανῶν· ὁ δὲ πρὸς αὐτὸν " Ἐντολὴν ἔχω" φη-

6 τῷ λαλοῦντι] cod. τὸ λαλοῦν. 7 cod. ἐγχειρήσας. 32 cod. διάδωσιν.

σιν "τοῦ γέροντος μηδὲν παρὰ σοῦ λαβεῖν, εἰ μὴ μοδίου ἄρτον καὶ ἓν κεράμιον οἴνου". Ἃ καὶ δεξάμενος ἐμβιβασθείς τε εἰς πλοῖον, ὑπ' αὐτοῦ προεπέμφθη ὑπελθεῖν.

22. Ὁ γοῦν ἐκ προσώπου Ἰωάννης, μετὰ τὸ ἀναχωρῆσαι τὸν μοναχόν, προσκαλεσάμενος ἐν παραβύστῳ τὸν ἐπὶ τῆς ⟨τραπέζης⟩ αὐτοῦ πιστότατον οἰκέτην, Θεόδωρον τοὔνομα, λέγει αὐτῷ· "Θέλω σοι θαρρῆσαι μυστήριον, καὶ ὅρα μὴ ἐξάξῃς αὐτό". Ὁ δὲ πρὸς αὐτὸν ἔφη· "Ἰδοὺ ἐγὼ ὁ σὸς οἰκέτης ἕως θανάτου οὐκ ἀθετήσω τῆς πρὸς τὸν κύριόν μου δουλείας τε καὶ φιλίας". Λέγει πάλιν πρὸς αὐτὸν ὁ ἄρχων· "Βούλομαι ἀνυπερθέτως μονάσαι, θεοῦ θέλοντος· τοῦτο γάρ μοι καὶ ἀπεκαλύφθη νυνὶ φανερῶς· διόπερ λέγω σοι: Ποίησον μιᾶς ἡμέρας χορηγίαν βρωμάτων καλλιστευόντων· ταμιευσάμενος, τὰ λοιπὰ πάντα παράσχου φίλοις τε καὶ ξένοις καὶ τοῖς τῆς πόλεως ἐνδεέσι· δήλωσον δὲ καὶ τῷ ἁγίῳ πατρὶ Εὐστρατίῳ τῷ στυλίτῃ, ἵνα εἰσδέχεται ἡμᾶς ἀωρί". Ταῦτα τῷ Θεοδώρῳ ἐντειλάμενος ἐπ' εὐωχίαν τρέπεται μετὰ τῶν συνελθόντων φίλων τε καὶ συγγενῶν, πάντων ἀξιωματικῶν ὄντων καὶ τὰ πρῶτα φερόντων τῆς αὐτοῦ στρατηγίας, καὶ τούτους φιλοτίμως εὐφράνας, πάλιν ὀψὲ Συρακουσίων αὐτοῖς παρατίθησιν τράπεζαν· ἐπιτρέπει τε τῷ Θεοδώρῳ ἐκείνους μὲν ἅπαντας οἴνου ἐμφορεῖσθαι πρωτείου, αὐτοῦ δὲ τὸ πόμα ἀπὸ χρομμύων εἶναι ἐψητῶν εὔκρατον, καὶ τοῦτο εἰς κισσύβιον ὑέλινον φοινικίζον προσφέρεσθαι αὐτῷ, ὅπως μηδεὶς τῶν συνανακειμένων γνῷ τὸ τοιοῦτον σόφισμα. Οὕτως οὖν ἄχρι δευτέρας φυλακῆς τῆς νυκτὸς παρατείνας τὸ δεῖπνον καὶ πάντας τῷ Διονύσῳ ἰσχυρῶς ἀπονεκρώσας, ὡς μὴ δεῖσθαι κλινῶν λοιπὸν πρὸς ἀνάπαυσιν, ἀλλ' ἐπ' αὐτοῦ τοῦ τόπου σχεδίως ἀφυπνῶσαι, αὐτὸς ἠρέμα ἐξαναστὰς ἔρχεται μετὰ τοῦ Θεοδώρου κατὰ τὴν ὥραν τῆς νυκτὸς πρὸς τὸν θεόληπτον στυλίτην· καὶ ἀνελθὼν πρὸς αὐτὸν καὶ τὰ τῆς κατηχήσεως ἐπακούσας λόγια (ἦν γὰρ ἔχων πρεσβυτέρου χειροτονίαν ἀπ' αὐτῆς τῆς Ἁγίας Πόλεως ὁ ἀοίδιμος πατὴρ Εὐστράτιος), κουρεύεται ὑπὸ τῶν ὁσίων χειρῶν αὐτοῦ καὶ μετονομάζεται Ἀντώνιος.

5 τραπέζης supplevi; post τῆς locus cor. in codice; vide infra lin. 12. 16 cod. ἐντειλάμενως. 19 Συρακουσίων — τράπεζαν] cf. Corp. paroem. graec. II, p. 213; cod. συρακουσίαν.

Ἐνδυσάμενος οὖν τρίχινον καὶ λαβὼν τὸ τέλειον σχῆμα τῶν μοναχῶν, κατέρχεται ἐκεῖθεν καὶ εἴσεισιν εἰς τὸ ὑπὸ τὸν στῦλον κελλίον· ἀπεκείρατο δὲ καὶ ὁ σὺν αὐτῷ Θεόδωρος καὶ μετεκλήθη Σάβας.

23. Ἤδη δὲ τοῦ ὄρθρου τὴν ἡμέραν ἀπογυμνώσαντος καὶ τῶν προσφιλῶν δαιτυμόνων εἰς ἑαυτοὺς ἐληλυθότων διὰ τῆς νήψεως καὶ τὸν ἄρχοντα καὶ φίλον ἀθρόον ἀπολεσάντων, δίνη τις αὐτοὺς καὶ σκότος περιέσχεν λογισμῶν· μόλις δέ ποτε μαθόντες τὸ γεγονός, σπουδαίως τὸν στῦλον καταλαμβάνουσι, τί μὲν οὐ λέγοντες πρὸς τὸν ἅγιον ὑβριστικόν, τί δὲ οὐκ ἀπειλοῦντες τῶν εἰς κόλασιν συντεινόντων, ἄλλων ἐπίβουλον τῆς βασιλείας φασκόντων, ἑτέρων κατάλυσιν καὶ προδότην τῆς χώρας τὸν ὅσιον φημιζόντων. Ὁ μέντοι τοῦ θρυλουμένου ἀδελφὸς πλέον πάντων θυμαίνων κατὰ τοῦ γέροντος ἐπέτρεψεν τοῖς ὄχλοις σκαπάναις τὸν στῦλον πρὸς γῆν καταγαγεῖν καὶ οὕτω τὸν ἐν αὐτῷ παραπέμψαι τῷ Ἅδῃ. Ὁ δὲ Ἀντώνιος εἰς προσευχὴν ἑστὼς καὶ τεταμένας ἔχων τὰς χεῖρας κατὰ πρόσωπον τῆς ἱερᾶς εἰκόνος τῆς πανυμνήτου τοῦ σωτῆρος ἡμῶν Χριστοῦ ἁγίας μητρός, ἑωρακὼς τὴν βίαν καὶ τὴν σφοδρὰν ῥύμην τῶν συνδεδραμηκότων, ἐξελθὼν παρ' ἐλπίδα τῆς κέλλης, τάδε φησὶ πρὸς τὸν ἑαυτοῦ ἀδελφόν· "Τί ποιεῖς, ἄνθρωπε; οὐ βούλει ἰδεῖν τὸ πρόσωπον τοῦ θεοῦ; οὐκ οἶδας, πόσον ἰσχύει δέησις ἀνδρὸς δικαίου ἐνεργουμένη; Τί προξενεῖς σαυτῷ τὰ τοῖς θεομαχοῦσιν ἠπειλημένα κακά; Παῦσαι κατὰ τοῦ ἁγίου γέροντος τοιαῦτα κατατολμῶν. Ἐὰν ἀπέθανον, οὐκ εἴχετε διοικηθῆναι καὶ ἄνευ ἐμοῦ"; Ἰδόντες δὲ αὐτὸν σακκοφοροῦντα καὶ ἀνυπόδητον ἠλάλαξαν τῷ κλαυθμῷ, καὶ οὐκ ἦν ἐπίσχεσις τῶν δι' αὐτὸν κρουνηδὸν χεομένων δακρύων καὶ τὴν ζημίαν αὐτοῦ δεινῶς ὀδυρομένων. Ὁ οὖν Ἀντώνιος τούτους παρακαλέσας λόγοις κατανυκτικοῖς, μόλις ἔπεισεν οἴκαδε ἀπιέναι.

24. Ἀμέλει μετὰ μῆνα ἡμερῶν τοῦτο μαθὼν ὁ αὐτοκράτωρ ἐξαποστέλλει τὸν πατρίκιον μετὰ τοῦ ἰδίου στόλου ἀποκρεμάσαι τὸν λιποταξίου γραφὴν ἑαυτῷ προξενήσαντα καὶ ἀχύροις καπνι-

7 cod. δείνη. 13 cod. θρυλλουμένου. 21/22 ἰσχύει — ἐνεργουμένη] Iac. v. 16. 25 cod. ἀνυποδετον. 32 cod. λιποταξίου.

ζόμενον ἀποκτεῖναι. Ἐλθὼν οὖν ἐν τῇ πόλει τῶν Συλαιωτῶν ὁ τὴν ἐξουσίαν κατ' αὐτοῦ εἰληφώς, καὶ σκεπτόμενος τὰ κατὰ τῆς αὐτοῦ διοικήσεως, θεωρεῖ κατ' ὄναρ δύο τινὰς ἄνδρας λευχειμονοῦντας ἐν δόξῃ πολλῇ, λέγοντας πρὸς αὐτόν· "Μηδέν σοι καὶ τῷ θεράποντι τοῦ Χριστοῦ· ὅρα μὴ ἐπιβάλῃς χεῖρας ἐπ' αὐτόν, ἐπεὶ οὔτε σὺ οὔτε ὁ ὑπὸ σὲ στρατὸς τὴν Βασιλεύουσαν ὄψεται". Ταύτην τὴν ὄψιν τρίτον ὁ ἄρχων θεασάμενος λέγει πρὸς τοὺς δυνάστας τοῦ ἄστεος· "Ἀδελφοί, ὡς ὁρῶ, κατὰ θεοῦ βούλησιν ἀπετάξατο ὁ ἐκ προσώπου Ἰωάννης, καὶ τὸ ἔργον αὐτοῦ θυσία δεκτὴ τῷ Χριστῷ λελόγισται· τάδε γὰρ καὶ τάδε εἶδον ἰδοὺ τρίτον καθ' ὕπνους ἀδιαστάτως. Γνῶτε οὖν ὅτι οὐ ποιῶ εἰς αὐτὸν ἃ προστέταγμαι παρὰ τοῦ βασιλέως, οὐδὲ προξενῶ ἐμαυτῷ καὶ τοῖς σὺν ἐμοὶ θεομηνίας ὄλεθρον". Ταῦτα εἰπὼν τοῖς ἄρχουσι πρὸς τὸν Ἀντώνιον τὴν πορείαν ἐποιεῖτο· ὁ δὲ τὴν ὁρμὴν αὐτοῦ αἰσθόμενος ἐξῆλθεν εἰς ὑπάντησιν αὐτῷ· ὃν θεωρήσας πόρρωθεν ὁ πατρίκιος, κατελθὼν ἐκ τοῦ ἅρματος αὐτοῦ προσεκύνησεν ἐπὶ τὴν γῆν, καὶ ἀναστάς, ἔτι πλησιέστερον αὐτοῦ γενόμενος, προσέπεσεν τοῖς ποσὶν αὐτοῦ εὐχὴν αἰτῶν καὶ εὐλογίαν παρ' αὐτοῦ. Ὁ δὲ Ἀντώνιος ἐκπλαγεὶς τὴν πολλὴν μεταβολὴν τῶν πραγμάτων, κρυφαίοις μὲν ὕμνοις τὸν ἀγαθὸν κύριον ἐδόξαζεν, αὐτὸν δὲ περιπτυξάμενος πρεπωδεστάτως ἀπελογεῖτο· καὶ δὴ πρὸς ἀλλήλους συμβιβασθέντες, λαβόντες τὰς εὐχὰς ἀμφοτέρων, ὁ ἐπὶ τοῦτο καὶ μόνον πρὸς αὐτοὺς ἐληλυθὼς ἐπορεύθη τὴν ὁδὸν αὐτοῦ χαίρων.

25. Ἐπεὶ οὖν ὁ ἀδελφὸς Σάβας οἰκέτης ὢν τὸ πάλαι οὐκ ἐπαιδεύθη παντελῶς τὴν τῶν γραμμάτων εἴδησιν, ῥίπτει αὐτὸν ὁ Ἀντώνιος πρὸ τοῦ στύλου καὶ λέγει τῷ πατρί· "Εὔξαι, ἀββᾶ, τῷ ἀδελφῷ, ὅπως ἔλθῃ ἐπ' αὐτῷ χάρις εἰς τὸ ἐκμαθεῖν τὰ γράμματα". Ἔφη πρὸς αὐτὸν ὁ ὅσιος· "Εὔξαι καὶ αὐτός, τέκνον, ἵνα ἰσχύσῃ ἡ δέησίς μου τὸν ἀγαθὸν ἐκμειλίξασθαι κύριον ἐπὶ τῇ ὑποθέσει ταύτῃ". Ηὔξαντο οὖν ἀμφότεροι δι' ὅλης νυκτὸς ὑπὲρ τοῦ Σάβα, καὶ ὡς ἐπὶ κύριον τοσαύτην εἴληφε παρευθὺ ὁ ἀδελφὸς ὀξύτητα, ὅτι εἰς τρεῖς ἡμέρας ἐξέμαθεν τὸ Ψαλτήριον ἐκ πρώτης καὶ μόνης ἀναγνώσεως, μὴ γεγραφὼς εἰς πινακίδιον ἐξ αὐτοῦ τὸ παράπαν. Παραμείνας δὲ χρόνον ἱκανὸν τῷ θεοφόρῳ στυλίτῃ καὶ διασκορπίσας πᾶσαν τὴν ἑαυτοῦ οὐσίαν τοῖς δεομένοις καὶ πένη-

σιν, παρεκάλεσεν τὸν γέροντα ἀπολῦσαι αὐτὸν ξενιτεῦσαι καὶ εἶναι ἀνενόχλητον ἔκ τε τῶν συγγενῶν καὶ τῶν ἐπιδημούντων ἀρχόντων. Οὕτως οὖν λαβὼν τὰς εὐχὰς τοῦ πνευματικοῦ πατρὸς αὐτοῦ ὁ Ἀντώνιος εἰς ἐφόδιον ζωῆς αἰωνίου, ἀνεχώρησεν σὺν τῷ Σάβᾳ τῶν ἐκεῖσε, μηδὲν μεθ' ἑαυτοῦ ἐπιφερόμενος, εἰ μὴ ὃ ἐφόρει τρίχινον καὶ νομίσματα τέσσαρα.

26. Γυμνοποδῶν δὲ αὐτὸς καὶ τῆς ὁδοῦ τὸ μῆκος διανύων, ἀνῆλθον εἰς τὸ Ἀμόριον, καὶ ποιήσαντες χρόνους τινὰς ἐν αὐτῷ, ἐταλαιπώρουν νηστείαις καὶ κακουχίαις τὴν σάρκα ἐκδαπανῶντες καὶ τόπον κατασκηνώσεως ἑαυτοῖς μὴ περιποιούμενοι, τοῦ Ἀντωνίου ἐν τούτοις μάλιστα ὅλῃ δυνάμει εὐδοκοῦντος καὶ προαιρουμένου εἰς ἔνδειξιν τῆς πρὸς Χριστὸν ἀγάπης καὶ ἄρνησιν τῆς προτέρας σωματικῆς εὐπαθείας. Ἀναλωθέντων τοίνυν τῶν νομισμάτων καὶ ὑστερουμένων σφόδρα εἰς τὰ τοῦ σώματος ἐπιτήδεια, ὁ Σάβας ἀπειρηκὼς πρὸς τοὺς πόνους τῷ Ἀντωνίῳ ἔφη· " Ἀπέλθωμεν εἰς ἕτερον τόπον, ἔνθα δυνάμεθα ποσῶς γοῦν ζῆσαι". Λέγει πρὸς αὐτὸν ὁ Ἀντώνιος· " Πορευθεὶς μίσθωσαι ὀνάριον, ὅτι οὐκέτι ἰσχύω πεζεύειν δι' ὅλου ἐπὶ πλείστας ἡμέρας". Ἔφη ὁ Σάβας· " Καὶ τί ἔχομεν δοῦναι τῷ ἀνθρώπῳ, μηδὲ ἄρτον ἔχοντες εἰς βρῶσιν"; Εἶπεν οὖν πρὸς αὐτὸν ὁ πατήρ· " Σὺ ποίησον τὴν ὑπακοήν καὶ δυνατός ἐστιν ὁ θεὸς προνοῆσαι τῆς ταπεινώσεως ἡμῶν". Ἐνέγκας δὲ ὁ Σάβας τὸν ἄνθρωπον μετὰ τοῦ ζώου αὐτοῦ, συνεφωνήθη αὐτῷ εἰς δύο νομίσματα μέχρι Πυλῶν διασῶσαι αὐτούς. Ἐξερχομένων οὖν αὐτῶν τὴν πύλην τῆς πόλεως, συναντᾷ αὐτοῖς ἀνὴρ εὐγενής, ὃς ἰδὼν τὸν Ἀντώνιον καταπεπονημένον καὶ γυμνητεύοντα, ἐκβαλὼν δύο νομίσματα δέδωκεν αὐτῷ λέγων· " Λάβε ταῦτα, πάτερ, καὶ εὖχου ὑπὲρ ἡμῶν". Ὁ δὲ Ἀντώνιος ἔφη πρὸς αὐτόν· " Ὁ θεός, ἀδελφέ, κατὰ τὴν πίστιν σου δῴη σοι". Καὶ στραφεὶς λέγει τῷ μαθητῇ· " Ἰδοὺ ἔπεμψεν ὁ θεὸς τὸν μισθὸν τοῦ ἀνθρώπου· λάβε αὐτὰ καὶ ἔχε εἰς Χριστὸν τὰς ἐλπίδας σου, καὶ ἔσῃ διὰ παντὸς προνοούμενος ὑπ' αὐτοῦ".

27. Ἐλθόντων δὲ αὐτῶν ἕως Νικαίας τῆς πόλεως, τὸν μὲν ἄνθρωπον ὑποστρέψαι πεποίηκεν ὁ Ἀντώνιος, αὐτὸς δὲ εἰς ἐγκλείστραν ἑαυτὸν καθείρξας ἔστεργεν ἀπρόϊτος ἐν αὐτῇ ἀσκούμενος, τὰς πέντε τῆς ἑβδομάδος ἡμέρας μήτε βρώσεως μετέχων, μήτε

τινὰ θεωρῶν· Σαββάτῳ γε μὴν καὶ Κυριακῇ ἄρτου καὶ ὕδατος μετελάμβανε καὶ τὸν παραβάλλοντα εἰς συντυχίαν ἐδέχετο μεγαλοψύχως. Συντελέσας οὖν μῆνας ἐννέα ἐν τῇ τοιαύτῃ ἀναστροφῇ καὶ ὀχληθεὶς ὑπὸ τοῦ δαίμονος τῆς ἀκηδείας ὅτι μάλιστα, ἐξῆλθεν τοῦ κελλίου, καὶ ποιήσας τὸν Σάβαν ὑποστρέψαι ἐν οἷς ἂν βούληται τόποις, ἀνῆλθεν αὐτὸς εἰς τὰ Ἀγαύρου, βουλόμενος ἡσυχάσαι ἐν τῷ Ὀλυμπίῳ ὄρει. Μαθὼν δὲ ὅτι ἔξαρχοι περιπολοῦσιν τῆς ψευδοδόξου αἱρέσεως τῶν Εἰκονομάχων ἀνερευνῶμενοι τοὺς ὀρθοδόξους, προβὰς ἐκεῖθεν ἐντυγχάνει μονάζοντι, ὅστις μαθὼν τὸν σκοπὸν αὐτοῦ εἶπεν αὐτῷ· "Ἐὰν βούλει διασωθῆναι τοῦ κλύδωνος καὶ τῶν πειρατῶν τῆς αἱρετικῆς θαλάσσης, εἰς τὸ τῶν Εὐνούχων ἄπιθι μοναστήριον". Τοῦ δὲ Ἀντωνίου φήσαντος, "Καὶ τίς δείξει μοι τὴν ὁδόν"; εἶπεν αὐτῷ τις τῶν κοσμικῶν· "Ἐγὼ ἐλεύσομαι μετὰ σοῦ, ἐὰν τὸν μισθὸν τοῦ κόπου παρέχῃς μοι". Ὁδοιπορούντων οὖν αὐτῶν τὴν ὄρειον ἐκείνην καὶ δυσεύρετον τρίβον, γενόμενοι ἐν τριόδῳ, ἠπόρησεν ὁ ὁδηγὸς πρὸς εὕρεσιν τῆς ἀποφερούσης ὁδοῦ πρὸς τὸ φροντιστήριον· συνεχόμενός τε τῷ λιμῷ καὶ τῇ δίψει ὁ Ἀντώνιος, οὐδὲ τοῦ προβαίνειν προσωτέρω ἔτι προθέσεως εἶχεν. Θεωρῶν δὲ ἐπὶ πολὺ τὴν ἀπορίαν τοῦ ἀνδρὸς ἔφη πρὸς αὐτόν· "Λάβε τὸν συμπεφωνημένον σοι μισθόν, ὦ τέκνον, καὶ ὑπόστρεφε εἰς τὰ ἴδια· ἐμὲ δὲ ὁ κύριος ὁδηγήσει καθὼς βούλεται". Καὶ στραφεὶς πρὸς ἀνατολὴν ηὔξατο πρὸς κύριον λέγων· "Σὺ γινώσκεις, δέσποτα, ὅτι διὰ τὸ ὄνομά σου πάντα κατέλιπον καὶ σοὶ ἠκολούθησα τῷ φιλανθρώπῳ καὶ ἐλεήμονι θεῷ· μή με ἐγκαταλίπῃς ἐν τῇ ἀνάγκῃ μου ταύτῃ πρεσβείαις τοῦ ἐνδόξου σου καὶ καλλινίκου μάρτυρος Γεωργίου".

28. Ταῦτα μετὰ κλαυθμοῦ προσευξάμενος, ἀποβλέψας θεωρεῖ ἄνδρα τινὰ στάμνον ὕδατος ψυχροῦ βαστάζοντα ἀμφοτέραις χερσί, καὶ ἡ στάμνος ἔνδροσος ὅλη στάζουσα τοῦ ὕδατος, εἶτα καὶ προτρεπόμενον αὐτὸν πιεῖν ἐξ αὐτῆς· ὁ δὲ λαβόμενος ταῖς ἰδίαις χερσὶ τῆς στάμνου ἐξέπιεν αὐτὴν ὅλην. Λέγει οὖν πρὸς αὐτὸν ὁ φανεὶς δακτυλοδεικτῶν· "Διὰ ταύτης βάδισον τῆς ὁδοῦ καὶ εὐθυπορήσεις πρὸς ὃν ἀπέρχῃ τόπον". Ἀκούσας δὲ τοῦτο ὁ Ἀν-

8 cod. ἀνερευνόμενοι. 15 cod. δυσεύρητον.

τώνιος καὶ πλέον ἐνδυναμωθείς, ὡς τῆς τοσαύτης ἐπισκοπῆς ἀπολελαυκὼς τοῦ Χριστοῦ, εὔθυμος ἐγένετο πρὸς τὸ ἑξῆς, καὶ προβὰς ἐκεῖθεν ὑπηντήθη αὐτῷ εὐκτήριος οἶκος, καὶ εὑρὼν ἐκεῖσε γεωργόν τινα εἶπεν πρὸς αὐτόν· "Τίνος ἡ χάρις τοῦ εὐκτηρίου τούτου, ἀδελφέ"; Ὁ δὲ ἔφη· "Τοῦ ἁγίου μάρτυρος Γεωργίου". Περιχαρὴς οὖν γενόμενος διὰ τὴν τοῦ μάρτυρος προσηγορίαν, εἰσελθὼν καὶ εὐξάμενος, πάλιν τε ὑπὸ τοῦ ἀνθρώπου ἑρμηνευθεὶς τὴν ἀπάγουσαν εἰς τὸν Πάνδημον τρίβον, κατέλαβεν τὸ μοναστήριον τῶν Εὐνούχων, ὑφ' ὧν καὶ περιχαρῶς εἰσδεχθεὶς ἐφιλοφρονήθη ἀξίως τῆς ἑαυτοῦ πολιτείας· προκατειλήφει γαρ αὐτοὺς ἡ φήμη τῆς τοῦ ὁσίου ἐν Χριστῷ ἀρετῆς. Οὗτοι αὐτῷ ποιήσαντες κελλίον ὡς ἀπὸ σταδίων πέντε τοῦ μοναστηρίου, ἡσύχασεν εἰς αὐτὸ ἐπὶ πολὺν χρόνον, μηδενὸς ἑτέρου μεταλαμβάνων, ἀλλ' ἢ κυάμου ἑψητοῦ (ὅπερ ἐποίουν αὐτῷ εἰς χύτραν καὶ ἔφερον κατὰ μίαν Σαββάτων), ἐξ οὗ καὶ ἐτρέφετο πᾶσαν τὴν ἑβδομάδα. Τὸ δὲ ποτὸν αὐτοῦ ἦν μόνον ὕδωρ, καὶ τοῦτο μήκοθεν ὑπ' αὐτοῦ κομιζόμενον, εἰς ὃ καὶ ἔκαμνεν οὐ μετρίως, μάλιστα ἐν τῇ χειμερινῇ ὥρᾳ. Εὑρὼν δὲ αὐτόθι ἀναχωροῦντα τὸν ἐν ἁγίοις Ἰωάννην, τὸν γεγονότα ἐπίσκοπον τῆς Ἀγχιάλου ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως Ταρασίου, ὑπ' αὐτοῦ ἐκδιδάσκεται τὸν κανόνα τῆς ἀκροτάτης ἡσυχίας τε καὶ ἀναχωρήσεως, παραψυχὴν μεγίστην καὶ ἰατρὸν ἐμπειρότατον τῶν καταθυμίων πεπλουτηκὼς τοῦτον τὸν ἅγιον παθημάτων.

29. Ἐν μιᾷ οὖν ἐξελθὼν ὁ Ἀντώνιος τῆς κέλλης ἐξεδύσατο τὸ τρίχινον ἑαυτοῦ, διὰ τὸ πληθυνθῆναι τὰς φθεῖρας ἐν αὐτῷ, καὶ ἐκαθέζετο γυμνὸς ἐπὶ τοῦ ἡλίου· οὐ γὰρ εἶχε δεύτερον χιτώνιον. Μετὰ δὲ ὥρας διάστημα ἀναβλέψας ὁρᾷ γυναῖκα λυσίτριχον, εὐειδῆ πάνυ, ἐρχομένην ἐπάνω αὐτοῦ ἀναιδῶς, καὶ ταραχθεὶς ἐπὶ τῇ ταύτης θέᾳ, ἀναστὰς εἰσῆλθεν εἰς τὸ κελλίον. Ποιήσας οὖν εὐχὴν πρὸς θεόν, ἀπέρχεται πρὸς τὸν μέγαν Ἰάκωβον ἀπαγγεῖλαι αὐτῷ τὸ γεγονός· ὁ δὲ ἅγιος ἀκούσας λέγει αὐτῷ· "Οὐκ ἦν κατὰ ἀλήθειαν γυνή, ἀλλὰ φαντασία δαιμονική· σὺ οὖν ἀνδρίζου καὶ μὴ

8 τὸν] cod. τὴν; cf. p. 209, 11. 214 10. J. van den Gheyn, Acta s. Ioannicii, p. 33B, 36B. 31 cod. γεγονως.

πτοοῦ, ἀλλὰ κάθου εἰς τὸ κελλίον σου καὶ πρόσεχε σεαυτῷ, καὶ μὴ συχνῶς παράβαλε ὧδε, ἐὰν οὐκ ἐπέλθῃ σοι τοιαύτη ἀνάγκη· ταῦτα γὰρ γίνονται καὶ ἀπογίνονται ταχύ". Ἄλλοτε πάλιν ἐν νυκτὶ ἔκρουσέ τις τὴν θύραν τοῦ κελλίου αὐτοῦ, ὁ δὲ Ἀντώνιος λέγει ἔσω ὤν· "Τίς εἶ καὶ πόθεν ἥκεις ἀρτίως"; Εἶπεν οὖν ἐκεῖνος φωνῇ· "Ἄψον τὸ κηρούλιον καὶ δός μοι αὐτό". Τοῦ δὲ Ἀντωνίου νομίσαντος αὐτὸν ἕνα τῶν τοῦ μοναστηρίου ὑπάρχειν ἀδελφόν, καὶ ἐκτείναντος τὴν χεῖρα λαβεῖν τὸ λαμπάδιον, εὑρέθη ἡ δεξιὰ αὐτοῦ κόπρον ἀντὶ κηροῦ κατέχουσα. Γνοὺς οὖν τὸν δόλον τοῦ ἐχθροῦ ἔφη πρὸς αὐτόν· "Ὄντως, παμμίαρε, οὐκέτι χλευάσεις με, τοῦ σωτῆρος παρέχοντός μοι λογισμὸν ἔμφρονα καὶ συνετὸν κατὰ τῶν σῶν μηχανημάτων".

30. Εἴωθει δὲ ὁ Ἀντώνιος κατά τε Κυριακὴν καὶ ἑορτὴν ἀπὸ ὀψὲ ἄρχεσθαι τῆς πρὸς τὸν θεὸν δοξολογίας καὶ μέχρις ἡλίου ἀνατολῆς προσκαρτερεῖν τῇ τε ψαλμῳδίᾳ καὶ προσευχῇ καὶ τῇ τῶν θείων Γραφῶν μελέτῃ. Ἐν μιᾷ οὖν νυκτὶ κατὰ τὴν χειμερινὴν τοῦ ἔτους τροπὴν τὴν τοιαύτην πρὸς Χριστὸν ἐκτελοῦντος ἱκεσίαν, ἡρπάγη ὁ νοῦς αὐτοῦ εἰς θεωρίαν, καὶ ἐπὶ πολλὰς τὰς ὥρας σχολάζων ἐν αὐτῇ ἀκινητί, οἱ πόδες αὐτοῦ ἀπὸ τοῦ κρύους τοῦ παγετοῦ προσεκολλήθησαν τῇ γῇ· εἰς ἑαυτὸν δὲ ἐλθὼν περὶ τὴν ἕω, βίᾳ μετακινηθεὶς τοῦ τόπου ἀπῶλεσεν τὰ πέλματα τῶν ποδῶν αὐτοῦ. Ἐπὶ ἡμέρας τοίνυν ἱκανὰς ἀλγυνόμενος τῷ πάθει, προσελθὼν τῷ μεγάλῳ Ἰακώβῳ λέγει αὐτῷ· "Ἀπέρχομαι, δέσποτα, τῶν ὧδε διὰ τὸ ὕδωρ, ὅτι οὐκέτι ἰσχύω ἐν αὐτῷ ὑδρεύσασθαι". Ἔφη πρὸς αὐτὸν ὁ ἅγιος· "Οὐχί, ἀλλὰ πρόσευξαι τῷ θεῷ καὶ παρέχει σοι ὕδωρ εἰς χρείαν τῆς διοικήσεώς σου". Πεισθεὶς οὖν ἐκεῖνος τῷ λόγῳ τοῦ ὁσίου, παρεκάλεσεν τὸν θεὸν δι' ὅλης νυκτός, καὶ τὸ πρωῒ λαβὼν σκαλίδιον δίδωσι μίαν πληγὴν τῇ πέτρᾳ, καὶ εὐθέως σχισθεῖσα ἐξήνεγκεν ὕδωρ διειδέστατον καὶ πάνυ καλόν. Οὕτως οὖν εὐπορήσας διὰ θεοῦ καὶ τοῦ αὐτοφυοῦς πόματος ηὐχαρίστησε τῷ παραμυθησαμένῳ αὐτὸν Χριστῷ ἐν τῇ αὐτοῦ ἀσθενείᾳ καὶ μονώσει· ἀπήγγειλε δὲ τῷ μεγάλῳ Ἰακώβῳ τὸ γεγονός, λέγων ὅτι "Διὰ τῶν εὐχῶν σου, δέσποτα, γέγονέν μοι ὡς ἐλάλησας".

6 cod. κερούλιον. 10 cod. χλευάσης.

31. Ἤδη δὲ τοῦ ἄνακτος Θεοφίλου μετὰ θάνατον Μιχαὴλ αὐτοκρατορήσαντος, προσῆλθον αὐτῷ οἱ τῷ μανέντι συναποστατήσαντες Θωμᾷ κατὰ τοῦ πάλαι ἐκπροσωπήσαντος Ἰωάννου τῆς τῶν Κιβυραιωτῶν ἐπαρχίας ὡς ἀδικηθέντες ὑπ' αὐτοῦ καὶ τῶν ἰδίων ἀποστερηθέντες χρημάτων τε καὶ κτημάτων· πυθόμενος δὲ καὶ μαθὼν ὁ βασιλεὺς τὰ κατὰ τὸν Ἰωάννην, ἐκέλευσε τοὺς διαφέροντας αὐτῷ ἀποδοῦναι τοῖς δῆθεν ἀδικηθεῖσι τὰ ἴδια. Διὰ ταύτην οὖν τὴν ἐπαγωγὴν ἠναγκάσθη ὁ ἀδελφὸς αὐτοῦ Δαυὶδ ἀναδραμεῖν ἐν Κωνσταντινουπόλει, καὶ προσπεσὼν τῷ βασιλεῖ ἤτησε διορίαν, ὥστε ζητῆσαι καὶ εὑρεῖν τὸν ταῦτα πράξαντα ἀδελφὸν αὐτοῦ, καὶ παραστῆσαι αὐτὸν ποιησόμενον τὸν περὶ τούτων λόγον. Λαβὼν οὖν τὸ ἐπιδόσιμον παρὰ τοῦ κρατοῦντος ἀνατρέχει εἰς τὸν Πάνδημον καὶ μηνύει τὴν ἑαυτοῦ παρουσίαν τῷ ἀββᾷ Ἀντωνίῳ· ὁ δὲ ἀντεδήλωσεν αὐτῷ λέγων· " Ἐὰν διὰ τὸ καθῆκον τῆς σαρκικῆς συγγενείας τοσοῦτον κόπον ὑπέστης εἰς τὸ θεάσασθαί με, φύσει οὐ βλέπεις τὸ πρόσωπον Ἀντωνίου· εἰ δέ τις βία ὑμᾶς κατεπείγουσα τοῦτο ποιῆσαι ἠνάγκασεν, δέχομαί σε εἰς συντυχίαν ". Ἐλθὼν οὖν ὁ ἀδελφὸς αὐτοῦ ἀνήγγειλεν αὐτῷ τὸ πρᾶγμα· ὁ δὲ φεισάμενος αὐτοῦ διὰ τὸ ἀδίκως κρατεῖσθαι αὐτόν, ἔρχεται σὺν αὐτῷ πρὸς τὸν βασιλέα, καὶ ἐρωτηθεὶς περὶ ὧν ἐνεκλήθη, ἀπεκρίνατο λέγων· " Ἐγώ, δέσποτα, κατὰ τὴν ἡμέραν ὡς ἐχθροὺς τῆς βασιλείας τοῦ πατρός σου καὶ πολεμίους τῶν χριστιανῶν κατεδίωξα καὶ ἐξωλόθρευσα αὐτούς, καὶ τὰς κτήσεις αὐτῶν λαμβάνων τοῖς τῆς δεσποτείας ὑμῶν παρεῖχον ὑπασπισταῖς. Εἰ οὖν ἐν τούτοις κακῶς φαίνομαι διατεθείς, ἡ σοφία τοῦ κράτους ὑμῶν περὶ τούτων δικάσει ".

32. Ταῦτα ἀκούσας ὁ Θεόφιλος παραδίδωσιν αὐτὸν τῷ ἐπὶ τῶν δεήσεων ὀνόματι Στεφάνῳ· ὃς παραλαβὼν τὸν Ἀντώνιον ἀποτίθησιν ἐν τῇ φυλακῇ, καὶ μετὰ ἡμέρας προσπέμπεται αὐτῷ χρηματιεῖσθαι ἐλπίζων παρ' αὐτοῦ, πάντα ἀπαρνησαμένου καὶ αὐτήν γε μὴν τὴν ψυχήν. Ὁ δὲ θαυμάσας ἐπὶ τῇ ἀναισθησίᾳ καὶ φιλοχρημοσύνῃ τοῦ Στεφάνου, παρακαλεῖ Σαββάτῳ καὶ Κυριακῇ ἄφετον εἶναι πρὸς τὸ τοῖς φίλοις περιφοιτᾶν χάριν τῶν ζητουμένων. Ἐπιτρέψαντος οὖν ἐκείνου, μετὰ τὸ δοῦναι ἐγγυητὴν

τὸν Ἀντώνιον, τῆς μὲν τοιαύτης ζητήσεως οὐδεμίαν ὅλως ὁ ὅσιος ἐποιεῖτο φροντίδα, τοῖς οἴκοις δὲ τῶν ἐκκλησιῶν ἑαυτὸν ἐμπαρέχων παρεκάλει τὸν ἐλεήμονα κύριον εἰς βοήθειαν αὐτοῦ ἐπιταχύναι. Ὡς δὲ πενταμηνιαῖος παρέδραμε χρόνος καὶ οὐδὲν ὧν ἤλπισεν ὁ Στέφανος ἀπεδέξατο, κελεύει τοῖς ἑαυτοῦ οἰκέταις καθίσαι τὸν δοῦλον τοῦ θεοῦ ἐπὶ ὄνου εὐτελεστάτου, πρὸς ἐμπαιγμὸν δῆθεν αὐτοῦ, καὶ ἀπὸ τοῦ πραιτωρίου ἕως τοῦ οἴκου αὐτοῦ ὀνειδιστικῶς ἕλκεσθαι· ἀναγαγών τε αὐτὸν ἐπὶ τοῦ τρικλίνου καὶ ἐνέγκας τρία βούνευρα ἐπὶ σκάφης ἀποβρεχόμενα ὄξει, " Ἄρτι " φησὶν " ἐν τούτοις διώκω σου τὴν ψυχὴν ἐκ τοῦ σώματος, ἐὰν μὴ ἀποδῷς ὅσον περ ἐθέσπισεν ὁ βασιλεὺς χρυσίον ". Λέγει αὐτῷ ὁ Ἀντώνιος ἀνυποστόλως· " Θαυμάζω σφόδρα εἰς τὴν διάκρισίν σου, ὅτι ἀπὸ γυμνοῦ ἀνθρώπου χρυσίον ἐπιθυμεῖς λαβεῖν· ὁρᾷς, πλὴν τοῦ τριχίνου τούτου, μηδὲν ἕτερον ἔχοντα καὶ φόρους με ἀπαιτεῖς ". Τότε θυμωθεὶς ὁ ἄρχων ἐκέλευσεν ἐκδυθῆναι αὐτὸν καὶ ταθῆναι εἰς μάστιγας· ὁ δὲ προτραπεὶς οἰκέτης μαστίξαι τὸν ὅσιον, πεσὼν ἐπὶ τὴν γῆν ἐβόα μηδὲν τοιοῦτον τολμᾶν κατὰ τοῦ δούλου τοῦ θεοῦ, κἂν εἰ μέχρι θανάτου βίαν ὑποσταίη. Ὁ δὲ ἀνήμερος θὴρ Στέφανος ἰδίαις χερσὶ τὸν ἅγιον βουνευρίσας ἐν πεντήκοντα καταφοραῖς βαρυτάταις, ὡς καὶ τὸν χιτῶνα αὐτοῦ καταχρανθῆναι τοῖς τοῦ δικαίου αἵμασιν, κελεύει σιδηρωθῆναι αὐτοῦ τοὺς πόδας καὶ οὕτως ἐαθῆναι ἐν ἑνὶ τῶν κοιτωνίσκων ἄχρι τῆς ἐπιούσης.

33. Ταῦτα ἀκούσασα ἡ γυνὴ αὐτοῦ ἔρχεται δρομαία ἐπὶ τοῦ τόπου κατακράζουσα τῆς ὠμότητος τοῦ συνεύνου καὶ τοιάδε λέγουσα· " Οὐαὶ τῷ οἴκῳ τούτῳ ἀπὸ τοῦ αἵματος τοῦ ἐκχυθέντος ἀδίκως ἐπ' αὐτόν· οὐκ ἔσται θεοῦ ἐπισκοπὴ ἀπὸ τῆς ὥρας ταύτης εἰρήνην βραβεύουσα, ὁμόνοιαν τοῖς τὸ ἄδικον ἐν αὐτῷ κατεργασαμένοις ". Ὁ οὖν Ἀντώνιος, ἐπιλαβομένης τῆς νυκτός, συνείχετο πόνοις τε καὶ δάκρυσιν, εἰς εὐχὴν ἑαυτὸν ἐπιδεδωκώς. Χρονίζοντος δὲ αὐτοῦ τῇ πρὸς θεὸν δεήσει, ἐξαίφνης ἡ κλείδωσις τῶν σιδήρων διανοιχθεῖσα ἐκπεσεῖν τῶν ποδῶν αὐτοῦ τὰ δεσμὰ παρεσκεύασεν· ἐφ' ᾧ καὶ θαμβηθεὶς ἐδόκησεν ἐκ πολλῆς ταπεινοφροσύνης

9 cod. σκάφις. 24 cod. δρομαια.

δαιμονικῇ ἐνεργείᾳ τοῦτο παρακολουθῆσαι εἰς ἀποπλάνησιν αὐτοῦ. Ὅθεν διαψηλαφήσας καὶ εὑρὼν αὐτὰ πάλιν τοὺς πόδας αὐτοῦ ἐν τούτοις ἐπέδησεν· ὡς δὲ ἐγένετο ἐπὶ τρεῖς τὸ τοιοῦτον εἰς αὐτὸν παράδοξον, μηκέτι ἐκπειράσαι κύριον τὸν θεὸν αὐτοῦ εὐσεβὲς λογισάμενος, ἔστερξεν ἕως πρωῒ γονυπετῶν προσευκτικῶς καὶ αἰνῶν τὸν θεόν, ὡς ἐπιλαθέσθαι τῶν μωλώπων τοῦ σώματος καὶ ἐπιτεῖναι τὴν ἔντευξιν ἕως αὐγῆς. Ἐν τούτοις τῆς ἡμέρας αὐτὸν καταλαβούσης, αὐτὸς μὲν τὰ σίδηρα πάλιν τοῖς ἰδίοις ἐπέθηκε ποσίν, ὁ δὲ ἀπηνὴς ἐκεῖνος παραγενόμενος πρὸς αὐτὸν ἐκέλευσεν ἁρθῆναι ἀπ' αὐτοῦ τὰς πέδας. Πολλὰ οὖν κοπιάσαντες οὐκ ἴσχυσαν ἀνοῖξαι αὐτάς. Τότε λέγει πρὸς αὐτὸν ὁ Ἀντώνιος· " Ἐβουλόμην μὲν σιωπῇ παραδραμεῖν τὴν τοῦ κυρίου εἰς ἐμὲ γεγενημένην κατὰ τήνδε τὴν νύκτα εὐεργεσίαν τε ὁμοῦ καὶ θαυματουργίαν· ἀλλ' ἐπειδὴ ὁρῶ ἐλεγχομένην σου τὴν κακίαν καὶ ὑπ' αὐτῆς τῆς ἀψύχου ὕλης, οὐ κρύψω τὴν τοῦ θεοῦ ἀγαθότητα. Ἔσο γινώσκων, ὅτι πᾶσαν τὴν νύκτα ἄνευ τῆς τῶν σιδήρων τούτων διῆξα περιβολῆς, ἀρρήτῳ Χριστοῦ δυνάμει ἀπ' ἐμοῦ ἐκπεπτωκότων· καὶ νῦν λέγω σοι, ὅτι οὐκ ἀνοιχθήσονται οὐδὲ ἀρθήσονται τῶν ποδῶν μου, ἐὰν μὴ κατακλασθῶσιν ". Τότε συντρίψαντες αὐτὰ οἱ παρεστῶτες, τὸν μὲν Ἀντώνιον τῷ βασιλεῖ ὁ δεήσεως παρέστησεν· ὁ δὲ τοῦτον θεασάμενος, μηδὲ ὅλως αὐτὸν ἐπερωτήσας ἢ ἐτάσας περὶ ὧν ἐκρατεῖτο, ἀπέλυσεν αὐτὸν λέγων· " Ἄπελθε, ἀββᾶ, εἰς τὸν τόπον σου μηδὲν δεδιώς, καὶ εὔχου ὑπὲρ ὑμῶν ". Οὕπω δὲ δύο ἑβδομάδες ἡμερῶν τῆς τοῦ ὁσίου παρεληλύθεισαν ἀφέσεως καὶ μυρία κακὰ τὸν σκολιὸν κατέλαβον Στέφανον, ἐπειδὴ εἴρηται ὀρθῶς, οὐδεὶς ποιῶν πονηρὰ λανθάνει δίκην· ἀγανακτήσας γὰρ κατ' αὐτοῦ ὁ ἄναξ Θεόφιλος, καὶ τοῦτον δείρας καὶ κουρεύσας καὶ τοῦ ἄστεος ὑπερορίσας πανοικί, τὰ ὑπάρχοντα αὐτοῦ τῷ σακελλίῳ παρέδωκεν.

34. Ἐπειδὴ ἡ φήμη τῆς ὁσιότητος τοῦ μακαρίου Ἀντωνίου εἰς πάντας διέδραμεν τοὺς ἐν τῇ πόλει καὶ γνώριμος ἦν τοῖς ἐν τέλει καὶ σεβαστὸς τοῖς ἄρχουσι, συνέβη ἐν τῷ αὐτὸν ἔτι αὐτόθι προσδιατρίβειν ἑνὸς τῶν μεγιστάνων καὶ φίλων αὐτοῦ θυγάτριον ἕως θανάτου μαλακισθῆναι. Ψυχορραγούσης οὖν τῆς παιδὸς καὶ τῶν ἐξ ἔθους τοῦ Ὀρφανοτροφείου ψαλτῶν καὶ ἀσκητριῶν ἐπὶ τὸ κη-

4 cod. μὴκ ἔτι. 23 cod. δεδειώς. 27 cod. δήρας.

δεῦσαι αὐτὴν προσκληθέντων, παρακληθεὶς ὑπὸ τῶν φίλων ὁ ὅσιος ἦλθεν καὶ αὐτὸς ἕως τοῦ οἴκου· ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ ὑπερῷον καὶ παρέστησαν αὐτῷ οἱ γονεῖς τῆς παιδὸς κλαίοντες καὶ τοιάδε λέγοντες πρὸς αὐτόν· "Πιστεύομεν ὅτι ὁ παρασχὼν τῷ ἁγίῳ Πέτρῳ τὴν χάριν ἐγείραι τὴν πιστὴν Ταβιθάν, αὐτὸς καὶ τῆς σῆς ἐπακούσεται δεήσεως καὶ ἐγερεῖ τὸ θυγάτριον ἡμῶν". Ἐκβαλὼν οὖν πάντας ἔξω ὁ Ἀντώνιος ἐσφράγισε τὴν παῖδα τρίτον ἐπὶ τοῦ στήθους τῷ σημείῳ τοῦ ζωοποιοῦ σταυροῦ· ἡ δὲ εὐθέως εἰς ἑαυτὴν ἐλθοῦσα καὶ ἰδοῦσα τὸν Ἀντώνιον ἀνεκάθισεν· δοὺς δὲ αὐτῇ ἰδιοχείρως τροφὴν πρὸς ὑγείας διάθεσιν ἐπανήγαγεν. Τοίνυν δεδωκὼς ἐντολὰς τοῖς γονεῦσι τῆς κόρης, ἵνα ἕως θανάτου αὐτοῦ μηδενὶ ἐξείπωσι τὸ θαῦμα, αὐτὸς φεύγων τὴν ἐξ ἀνθρώπων δόξαν αὖθις πρὸς τὸν Πάνδημον ἀνέδραμεν, καὶ ἦν ἐκεῖ καθ' ἑκάστην ἀσκῶν καὶ ἀγωνιζόμενος κατὰ τῶν πνευμάτων τῆς πονηρίας μετὰ τοῦ ἰσαγγέλου πατρὸς καὶ ἐπισκόπου Ἰακώβου, καὶ τὸν δρόμον ἀνύων τῆς ἀγγελικῆς αὐτοῦ διαβιώσεως.

35. Παρέσχεν δὲ αὐτῷ κύριος ὁ θεὸς χάριν εἰς παραμυθίαν αὐτοῦ καὶ ἤρχετο ἀλώπηξ καὶ ἐκαθέζετο παρὰ τοὺς πόδας αὐτοῦ, ἡμέρως καὶ προσηνῶς βρῶσιν παρ' αὐτοῦ λαμβάνουσα· ὡσαύτως δὲ καὶ στρουθίον ἱπτάμενον ἐφίζανεν ταῖς χερσὶν αὐτοῦ, ὅπερ δὴ καρύῳ διαιτῶν ὑφίει ἑαυτῷ ἀπελθεῖν. Περὶ τούτου τοίνυν ἐρωτήσας τὸν πατέρα Ἰάκωβον ἤκουσεν, ὅτι "Διὰ τὴν ῥᾳθυμίαν σου ἐποίησεν ὁ θεὸς τὴν οἰκονομίαν ταύτην, ἵνα ἔχῃς τινὰ παραμυθίαν καὶ εὐψυχῇς μᾶλλον εἰς ἐπίγνωσιν θεοῦ διὰ τῆς πρὸς αὐτὸν ἀνενδότου νεύσεως· διὸ τρέφε αὐτὰ καὶ μὴ δίωκε ἀπὸ σοῦ, διδοὺς δόξαν τῷ θεῷ, τῷ ὑποτάσσοντι ἡμῖν, ὡς κατ' εἰκόνα αὐτοῦ γεγενημένοις, τὴν τῶν ἀλόγων ζῴων φύσιν, ὥσπερ τὸ καθ' ὁμοίωσιν διὰ τῆς ἐργασίας τῶν ἀρετῶν προσκτήσασθαι μὴ ὀκλάσωμεν.

36. Ἐπεὶ οὖν ὁ ἐν ἁγίοις Ἰάκωβος εἴκοσι καὶ ἑκατὸν ἤδη γεγονὼς ἐνιαυτῶν προέγνω τῆς κλήσεως τὴν ἡμέραν διὰ τοῦ ἐνοικοῦντος ἐν αὐτῷ ἁγίου καὶ φωτουργοῦ πνεύματος, μὴ βουλόμενος ὄχλησίν τινα παρὰ τῶν ἀδελφῶν ὑπομεῖναι, λέγει τῷ ἀββᾷ Ἀντωνίῳ, εἰς ἐπίσκεψιν αὐτοῦ ἐληλυθότι· "Ἄπελθε εἰς τὸ κελλίον σου καὶ αὔριον

5 cod. ταβηθὰν; cf. Act. IX, 36-41. 21 cod. καροίῳ δ. ὑφείει.

ἀπὸ ταχὺ ποίησόν μοι ῥόφημα καὶ φέρε ἵνα λάβω αὐτό". Ποιήσας οὖν ὁ Ἀντώνιος κατὰ τὴν ἐντολὴν τοῦ γέροντος, ἦλθεν πρὸς αὐτόν, καὶ μαθὼν παρὰ τῶν μαθητῶν αὐτοῦ, ὅτι ἐπὶ τοῦ καθισματίου αὐτοῦ καθεύδει, ἡσύχασεν μικρόν· ὡς δὲ παραθεούσης τῆς ὥρας ἠχρειοῦτο τὸ βρωμάτιον, αὐτομολήσας εἰσῆλθεν ἰδεῖν τί ἄρα ποιεῖ ὁ ἅγιος· καὶ νομίσας κοιμᾶσθαι αὐτόν, πλησιέστερον αὐτοῦ γενόμενος, ἔγνω ὅτι πρὸς κύριον ἐνεδήμησεν καθεζόμενος, καὶ συγχυθεὶς τοῖς δάκρυσιν ἐξελθὼν ἀνήγγειλεν τοῖς ἀδελφοῖς.

37. Ταύτης τῆς φήμης πανταχοῦ διαδραμούσης, ὁ κουράτωρ τῆς βασιλίσσης Προκοπίας, παραλαβὼν βοήθειαν ἀνῆλθε πρὸς τὸ ὄρος λαβεῖν τὸ ἅγιον λείψανον καὶ ἀποκομίσαι αὐτὸ τῇ ἰδίᾳ δεσποίνῃ πρὸς κηδείαν πρεπωδεστάτην· ἦν γὰρ ἡ μακαρία Προκοπία ἐκ πολλοῦ διακονοῦσα τῷ ἁγίῳ γέροντι καὶ τρυγῶσα τὰς αὐτοῦ θεολήπτους πρεσβείας. Ὁ δὲ μακαρίτης Ἀντώνιος χάριν θέλων καταθέσθαι τοῖς μοναχοῖς τοῦ μοναστηρίου ὡς ἅτε ὑποδεξαμένοις καὶ τὰ πλείω ἐξυπηρετήσασι τὸν ἅγιον, λέγει πρὸς τὸν κουράτορα· "Τέκνον, ὁ μὲν κύριος ἀπεδέξατο τῆς κυρίας σου καὶ δεσποίνης καὶ τὴν πρόθεσιν καὶ τὸ ἔργον τῆς πίστεως, ὃ εἰργάσατο εἰς τὸν δοῦλον αὐτοῦ, καὶ μένει αὐτῇ ὁ ὑπὲρ τούτων μισθὸς ἐν τῷ μέλλοντι αἰῶνι· ἐὰν δὲ πεισθῇς μοι, οὐκ ἐλάττονα καὶ αὐτὸς ἕξεις τὴν τῆς ὑπακοῆς καὶ πραότητος μισθαποδοσίαν. Ὁ μακάριος πατὴρ ἡμῶν κατέκρινεν ἡμᾶς, ἵνα θάψωμεν αὐτὸν εἰς τὸ μοναστήριον, ἐν τούτῳ τῷ ὄρει, καὶ οὐκ ἐνδέχεται μὴ ποιῆσαι ἡμᾶς τὴν ἐντολὴν αὐτοῦ· διὸ ἔασον ἀκωλύτως τοῦτο γενέσθαι, ἐπεὶ ὀργὴν ἀντὶ εὐλογίας εὑρίσκεσθε κληρονομοῦντες". Ταῦτα ἀκούσας ἐκεῖνος ἐλώφησε τοῦ φρονήματος, καὶ οὕτως ἐξεγένετο κατατεθῆναι τὸν μέγαν Ἰάκωβον ἐν τῷ τῶν Εὐνούχων εὐαγεῖ μοναστηρίῳ.

38. Ἔλεγε τοίνυν περὶ τοῦ ἀοιδίμου τούτου Ἰακώβου ὁ πατὴρ ἡμῶν Ἀντώνιος, ὅτι εἰς τοιαῦτα μέτρα ἀπαθείας ἔφθασεν καὶ χάριτος, ὅτι εἰ μὴ ἤθελεν οὐκ ἐθεωρεῖτο παρὰ τῶν συνόντων αὐτῷ. "Καὶ γὰρ ἐγὼ αὐτός", φησί, "τοῦτο ἔγνων εἰς αὐτόν· διακινῶν γὰρ ἐν μιᾷ κατὰ τὴν ἔρημον, ὡς εἶδέν με ἐρχόμενον πρὸς

12 cod. πρεποδεστάτην. 15 cod. ὥσα τε. 17 cod. κουράτωρα.

αὐτόν, ἐκάθισεν ἐπὶ τῆς γῆς· ἐγὼ δὲ πλησιάσας ὅπου ἔδοξα αὐτὸν βλέπειν, περιαθρῶν οὐδὲν ἑώρων, καὶ ἐν τῷ με ὧδε καὶ ὧδε περιάγειν ἠσθόμην ὅτι ὁ πούς μου ἥψατο τοῦ ἱματίου αὐτοῦ, αὐτὸν δὲ ἰδεῖν οὐκ ἠδυνήθην, ἕως ὅτου ἐφώνησε πρός με λέγων· " Τί ζητεῖς, ἀββᾶ Ἀντώνιε "; Ἐγὼ δὲ πρὸς αὐτὸν εἶπον· " Ὄντως, δέσποτα, ἐὰν θέλῃς, βλέπει σέ τις· ἐὰν δὲ οὐ θέλῃς, οὐ βλέπῃ παρά τινος ". Λέγει οὖν μειδιάσας πρός με· " Καὶ σὺ οὐ δύνῃ τοῦτο ποιῆσαι; ἀληθῶς, εἰ οὔπω ἔφθασας ὧδε, οὐ γέγονας ἀκμὴν μοναχός ".

39. Τούτου τοῦ μεγάλου Ἰακώβου τῆς συνουσίας ἀπορφανισθεὶς ὁ Ἀντώνιος, καταλιπὼν τὸν Πάνδημον, εἰς τὸν Κρίλην μετοικίζεται· καὶ καταλύσας εἰς τὸ εὐκτήριον τοῦ ἐνδόξου μάρτυρος Παντελεήμονος ἠσκεῖτο αὐτόθι ἀγνωρίστως, πτωχοῦ ὑπόληψιν τοῖς πολλοῖς διὰ τὸ γεγυμνῶσθαι τῶν χρειῶν ὡς εἰκὸς παρεχόμενος. Αὐτὸς γὰρ γινώσκων λοιπὸν μὴ ἄρτῳ τρέφεσθαι τὴν ἀρετήν, μηδὲ ὄψοις τὴν τῆς ψυχῆς δύναμιν εὐεκτεῖν καὶ πιαίνεσθαι, ἀλλὰ τῷ ἀγαθῷ τροφὴν εἰδὼς τὴν σωφροσύνην γίνεσθαι, ἄρτον τὴν σοφίαν, ὄψον τὴν δικαιοσύνην, ποτὸν τὴν ἀπάθειαν, ἡδονὴν οὐχὶ τὴν τοῦ σώματος ποιὰν περὶ τὸ καταθύμιον σχέσιν, ἀλλὰ τὴν περὶ θεὸν μνήμην καὶ τοῦ νοῦ πρὸς αὐτὸν ἄσχετον ἀνάβασιν, κατὰ τὸ " ἐμνήσθην τοῦ θεοῦ καὶ εὐφράνθην ", οὐ σφόδρα τῆς σωματικῆς ἐπιμελείας λόγον ἐποιεῖτο, ἐπὶ κύριον τὴν ἑαυτοῦ ἐπιρρίπτων μέριμναν καὶ ὑπ' αὐτοῦ ἀεὶ προσφυῶς διατρεφόμενος.

40. Ὁ γοῦν μαθητὴς αὐτοῦ Σάβας ὑποστρέψας καὶ ζητήσας αὐτὸν μετὰ χρόνους ἱκανοὺς ἔμεινεν πάλιν σὺν αὐτῷ. Ἐν δὲ τῷ ἡσυχάζειν αὐτοὺς ἐκεῖ, ἐπεὶ ἄγνωστοι ἦσαν τοῖς αὐτόθι, ἔκτισαν ἑαυτοῖς μικρὸν φοῦρνον καὶ ἐποίουν δι' ἑαυτῶν τὸν ἄρτον. Ἐν μιᾷ τοίνυν εἰσενέγκαντες ἐν τῷ φούρνῳ τοὺς ἄρτους, ἐγένετο ὑετὸς ἀπροσδοκήτως, καὶ πρὶν ἢ αὐτοὺς ἐξοπτηθῆναι καλῶς, συνέπεσεν τὸ οἰκοδόμημα καὶ συνεφύρη ἡ πηλὸς τοῖς ἐντός· οὗπερ ὡς οἷόν τε διακρίναντες τοῦ χώματος, ἐξηλίασαν ἐπιμελῶς, καὶ τούτους καταλεάναντες ἐποίησαν τὸ λεγόμενον ῥουφίν, καὶ ἕως ὅτου ἐπληρώθη, ἐξ αὐτοῦ διετρέφετο ὁ Ἀντώνιος μόνος.

21 Psalm. LXXVI, 4.

